Αριθ. 7-8

ΑΓΙΟΡΕΙΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

**ΕΚΔΙΔΟΜΕΝΗ ΠΡΟΝΟΙΑ ΚΑΙ ΕΠΙΣΤΑΣΙΑ**

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΠΡ. ΛΕΟΝΤΟΠΟΛΕΩΣ

ΣΩΦΡΟΝΙΟΥ ΕΥΣΤΡΑΤΙΑΔΟΥ

(Ἐβραβεύθη ὑπὸ τοῦ ἐν Παρισίοις Συλλόγου πρὸς ἐνίσχυσιν τῶν Ἑλληνικῶν Σπουδῶν).

## (ΜΝΗΜΕΙΑ ΑΓΙΟΛΟΓΙΚΑ)

# ΘΕΟΤΟΚΑΡΙΟΝ

ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΠΡ. ΛΕΟΝΤΟΠΟΛΕΩΣ

ΣΩΦΡΟΝΙΟΥ ΕΥΣΤΡΑΤΙΑΔΟΥ

ΤΗ ΣΥΝΕΡΓΑΣΙᾼ ΣΠΥΡΙΔΩΝΟΣ ΜΟΝΑΧΟΥ ΛΑΥΡΙΩΤΟΥ

ΤΟΜΟΣ Α΄.



Ὁ χρόνος συμπληροῖ παρερχόμενος, ἀναστηλοῖ καὶ ἐξωραΐζει τὸ ἁγιορειτικὸν τρόπαιον.

CHENNEVIÈRES-sur-MARNE
(Seine-&-Oise)
L'Ermitage, 9, Rue du Pont
1931

Tous droits réservés.

Fg 55(33

BS 5500 E91

Universität München
Bibliothek des
Historicums

Institut für Byzantinistik
und
neugriechische Philologie
der Universität München

Τῌ ΜΙᾼ ΑΓΙᾼ ΚΑΘΟΛΙΚῌ

ΚΑΙ ΑΠΟΣΤΟΛΙΚῌ ΕΚΚΛΗΣΙᾼ

Institut für Byzantinistik
und
neugriechische Philologie
der Universität München

# ΠΡΟΛΟΓΟΣ

Εἰς τὸ θυμιατήριον τῆς πίστεως, τὸ περικλεῖον τὸν πεπυρακτωμένον τοῦ Ἠσαΐου ἄνθρακα, αἰῶνας ὅλους ἀνέπαυστος ἔκαιεν ἡ χριστιανικὴ ψυχὴ θυμίαμα εὔοσμον, καὶ ὁ καπνὸς τοῦ θυμιάματος ἀπὸ τὰ ὕψη τῶν ὀρθοδόξων θρόνων, ἀπὸ τὰ βάθη τῶν ἀσκητηρίων, ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, ὡς ἀπὸ ἡφαιστιώδους κρατῆρος ἐξετινάσσετο πρὸς τὰ ἄνω, εἰς τὸν θρόνον τῆς μεγαλωσύνης τοῦ Θεοῦ· ἡ εὐσεβὴς ψυχὴ δὲν ἐκοιμήθη· καὶ εἰς τὰ φῶτα τῆς ἡμέρας καὶ εἰς τῶν νυκτῶν τὰ σκότη ἐθυμία συνοδεύουσα τὴν εὐωδίαν τοῦ θυμιάματος μὲ τοὺς ὕμνους τῶν χειλέων της· ὡς ἀστραπαὶ ἀπὸ φωτεινῆς νεφέλης αἱ βολίδες τῆς πίστεώς της κατελάμπρυναν τοῦ οὐρανοῦ τὸ στερέωμα· αἱ δεσμίδες τοῦ τοιούτου φωτὸς αἱ ἐκπηδῶσαι ἀπὸ τὰ ἄκρα τοῦ ἐκκλησιαστικοῦ στερεώματος καὶ συναδελφούμεναι ἀπέτελουν μεγάλην καὶ εὐρύχωρον τῆς πίστεως θάλασσαν, τὸ δὲ κῦμα αὐτῆς ἠρέμα πελαγίζον, τερπνῶς ἀναδρασίζον ἀπεκοίμιζεν εἰς τὰς ἀγκάλας τοῦ Θεοῦ τὴν εὐσεβοῦσαν καρδίαν. Ἡ ψυχὴ ὑψουμένη πρὸς τὰ ἄνω ἐξίστατο· καὶ εἰς τὰς ὑψώσεις τῶν ἐκστάσεών της ἐδέχετο εἰς τὰ χείλη ἐκ τῶν χειρῶν τοῦ πλάστου της τῶν χαρισμάτων τὸν ἄνθρακα καὶ ἐπλάτυνε τὸ στόμα αὐτῆς εἰς ὕμνον τῶν θαυμασίων του. Ἡ γῆ Ζαβουλὼν καὶ ἡ γῆ Νεφθαλεὶμ ἀκούει μυστικοὺς ἐναρμονίους κρότους· ἀπὸ τὰς φάραγγας τῆς Ἐλὼμ καὶ ἀπὸ τοῦ σπηλαίου τῆς Βηθλεέμ, ἀπὸ τὰ ὕψη τῆς Σιὼν καὶ ἀπὸ τὴν ἔρημον τῆς Ἱεριχὼ ἀκούεται ψαλτήριον καὶ ᾠδή· οἱ ἐμπνευσμένοι καὶ πεφωτισμένοι λαλοῦσι καὶ ψάλλουσιν· οἱ προφῆται μεταδώσαντες τὴν λύραν τῶν ὀπτασιῶν των εἰς τοὺς ἑρμηνευτὰς τῶν ἀποκρύφων των σιγῶσιν· ὅσα ὡραματίσθησαν αὐτοὶ ἐν ἐκστάσει θὰ τεθῶσιν εἰς τὰς χορδὰς τῆς λύρας τῶν θεοπνεύστων, ὅσους ὁ ἄνθραξ ἐπύρωσε· καὶ ἀκούουσιν ὅσα ἐν ὁράματι καὶ ἐνυπνίοις καὶ σκιαῖς καὶ τύποις εἶδον ἐν αὐλῷ καὶ κιθάρᾳ ἀπὸ τὰ χείλη τῶν ζώντων « ἡ Παρθένος σήμερον τὸν ὑπερούσιον τίκτει » ἀποσυρόμενοι ἐκστατικώτεροι εἰς τὰ βάθη τῆς σκηνῆς. Ἡ ὀπτασία παρατρέχει, ἡ σκιὰ ὑποχωρεῖ εἰς τὴν ἀλήθειαν καὶ τὴν χάριν τοῦ ᾄσματος. Ἀπὸ τῆς Παλαιστίνης καὶ τῆς Συρίας πυρώδης ἦχος ἐξιστᾷ τὰς εὐσεβεῖς ψυχάς· ὁ ἀστὴρ τῆς Βηθλεὲμ γίνεται στόμα τοῦ οὐρανοῦ καὶ κηρύττει τὸν κρυφῇ γεννηθέντα· ὁ ποιμενικὸς αὐλὸς συνοδεύει τὸ ᾆσμα τῶν ἀγγέλων, αἱ πηγαὶ τῶν ὑδάτων ψάλλουσι, τὰ ὄρη δοξάζουσιν, οἱ παγετοὶ δοξολογοῦσιν. Οἱ θεόπνευστοι ἀφύπνισαν τὴν κτίσιν καὶ τὰ κτίσματα καὶ ἐκίνησαν αὐτὰ εἰς ὑμνῳδίαν τοῦ Θεοῦ· τὰς χορδάς των ἔκρουεν ἡ χάρις τοῦ Πνεύματος· τὸ ᾆσμα των ἦτο ᾆσμα ἀγγέλων καταβαῖνον ἐκ τοῦ οὐρανοῦ, κατακυλοῦν τὰ ὦτα τῶν πιστῶν καρδιῶν καὶ ἀνασῦρον αὐτὰς πρὸς τὰ ἄνω· τὰ κάτω τοῖς ἄνω ὁμοφωνοῦντα ἔψαλλον καὶ μία κοινὴ ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ ἐτελεῖτο δοξολογία ἀγγέλων καὶ ἀνθρώπων. Ἀπὸ τῆς Ἱερουσαλὴμ ἀκούεται ἡ φωνὴ τοῦ πατριάρχου Σωφρονίου λέγουσα « φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων »· ἀπὸ τοῦ χειμάρρου τῶν κέδρων μετὰ ἑκατὸν ἔτη ἐπαναλαμβάνεται ἡ ἠχώ· ἀπὸ τὰς σχισμὰς τῶν ἁγιοσαβιτικῶν βράχων αὐλὸς λιγυρὸς εἰς τὰ σκότη τῶν νυκτῶν

ταῦτα ὁ Κανών, οὗ ἡ ἀρχή· «῞Αγιόν σε τέμενος εὑρών». Ἐν φ. 137β εὕρηνται Στιχηρὰ τρία εἰς τὸν ὅσιον Νίκωνα τὸν μετανοεῖτε (ἦχος πλ. β')· αον) «῞Ολην ὑποθέμενος ἐν οὐρανοῖς τὴν ἐλπίδα»…. βον) «Λεπτύνας τὸ σῶμά σου καὶ τὴν ψυχὴν ἐκκαθάρας»…. γον) «Δεῦτε προσκυνήσωμεν λαὸς ἐν οἴκῳ Κυρίου»…. μετὰ ταῦτα ἕπονται δύο Ἐξαποστειλάρια εἰς τὸν αὐτὸν Νίκωνα.

Ἐν φ. 173 «Σὺ δέ μοι, πανύμνητε παρθενομήτορ κόρη,
σῶσον τὸν γράψαντα μοναχὸ Ἰωάννη (sic)
καὶ δός μοι τὴν ἄφεσιν τῶν ἐμοὶ ἐσφαλμένων
ὅπως ἀνυμνῶ τὴν δόξαν σου κυρία».

— ***Κῶδ. 354*** Ἐθνικῆς Βιβλιοθήκης Παρισίων· μεμβρ. αἰῶν. ιγ' φ. 314. Ἐν ἀρχῇ κεφαλαίοις γράμμασι διὰ κινναβάρεως· «Κανόνες σὺν Θεῷ ἁγίῳ παρακλητικοὶ καὶ ἐγκωμιαστικοὶ πρὸς τὴν ὑπεραγίαν Θεοτόκον, ψαλλόμενοι ἐν τοῖς ἀποδείπνοις». Ἀρχὴ τοῦ α' κανόνος· «Ποίαν σοι ἐπάξιον ᾠδήν».

— ***Κῶδ. 52*** Μονῆς τῶν Βλατέων· χαρτ. αἰῶν. ιε' 29×20 φ. 316 ἀκέφ. κολοβ. Περιέχει πολλοὺς Κανόνας Ἰωάννου Εὐχαΐτων τοῦ Μαυρόποδος εἰς τὴν Θεοτόκον, εἰς τὸν Χριστὸν καὶ εἰς τὸν Πρόδρομον καὶ ἄλλων ποιητῶν ἔργα [39].

— ***Κῶδ. Β 6*** Λαύρας· μεμβρ. αἰῶν. ιγ' 15×12 φ. 123 κολοβ. Περιέχει Κανόνας διαφόρους [40].

— ***Κῶδ. Γ 1*** Λαύρας· μεμβρ. 13×9 αἰῶν. ιδ' φ. 347 κολοβ. Γεροντικὸν καὶ Κανόνες εἰς τὴν Θεοτόκον [41].

Ἐν τέλει· «Σῶσόν με κυρία μου θεογεννῆτορ τὸν ἄθλιον καὶ ἀνάξιον ἱκέτην σου ***Κυρίων***· σὺ δὲ ὁ ψάλλων εὔχου καὶ ὑπὲρ ἐμοῦ τοῦ ἀθλίου διὰ τὸν Κύριον τὸν ἐξ αὐτῆς τεχθέντα Ἰησοῦν τὸν γλυκύτατον δεσπότην Χριστόν». Ἐν φ. 161α· «Τῷ γράψαντι ἀθλίῳ ***Κυρίωνι*** διὰ τὴν ἁγίαν Τριάδα εὔχεσθέ μοι».

— ***Κῶδ. Γ 11*** Λαύρας· μεμβρ. 21×14 αἰῶν. ιβ' φ. 186. Περιέχει τὴν Παρακλητικήν, διαφόρους κανόνας εἰς Χριστὸν καὶ τὴν Θεοτόκον, Ἰδιόμελα, Δοξαστικὰ καὶ εὐχὰς διαφόρους [42]. Ἐν τέλει· «***Διονυσίῳ τῷ ἱερομονάχῳ τῷ Θεταλιώτῃ*** καὶ ἁμαρτωλῷ καὶ ἀναξίῳ καὶ τοῦ ζῆν εὔχεσθαι ὑπὲρ αὐτοῦ πατέρες ἅγιοι ἵνα σωθῇ καλῶς ἐν ὥρᾳ κρίσεως».

— ***Κῶδ. Γ 79*** Λαύρας· χαρτ. 19×13 αἰῶν. ιζ' (1620) φ. 320 κολοβ. Περιέχει διαφόρους Κανόνας εἰς ἁγίους καὶ τὴν Θεοτόκον· ἐν φ. 303β· «Τὸ παρὸν βιβλίον ἐγράφη χειρὶ ***Κυρίλλου μοναχοῦ*** ἐν ἔτει ζρκη' (1620) μηνὶ Ἰανουαρίῳ, ὑπάρχει δὲ κτῆμα τῆς μεγίστης Λαύρας» [43].

— ***Κῶδ. Δ 33*** Λαύρας· μεμβρ. 28×21 αἰῶν. ιγ' φ. 85 ἀκέφ. κολοβ. Παρακλητικὴ μετὰ Κανόνων εἰς τὴν Θεοτόκον [44].

— ***Κῶδ. Η 62*** Λαύρας· χαρτ. 21×14 αἰῶν. ιε' φ. 320 ἀκέφ. κολοβ. Ἐν ἀρχῇ Ἀκολουθία καὶ βίος τοῦ ἁγίου Ἀντωνίου (φ. 1-55)· βον) «Θεοτοκάριον. Ἀρχὴ σὺν Θεῷ Κανόνων τῶν ὀκτὼ ἤχων τῆς ὑπεραγίας Θεοτόκου» (φ. 56-152)· γον) Στιχεροκαθισματάριον (φ. 153-292)· δον) «Κανόνες παρακλητικοὶ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν,

39) Σωφρονίου Εὐστρατιάδου, Κατάλογος τῶν ἐν τῇ Μονῇ Βλατέων ἀποκειμένων κωδίκων, σ. 80-89. Ἐν Θεσσαλονίκῃ 1918.

40) Σωφρονίου Εὐστρατιάδου καὶ Σπυρίδωνος Λαυριώτου, Κατάλογος τῶν κωδίκων τῆς μεγίστης Λαύρας, σ. 13, Paris 1925.

41) Ἔνθ' ἀνωτ. σ. 31.

42) Ἔνθ' ἀνωτ. σ. 32.

43) Ἔνθ' ἀνωτ. σ. 43.

44) Ἔνθ' ἀνωτ. σ. 55.



ποίημα ***Ἰωάννου μοναχοῦ [τοῦ Μαυρόποδος]***, οὗ τὸ ὄνομα ἐντέτακται ἑκάστῃ ἐννάτῃ ᾠδῇ» (8 κανόνες εἰς τοὺς ὀκτὼ ἤχους· φ. 293-311)· εον) Κανόνες παρακλητικοὶ (4) εἰς τὴν Θεοτόκον, ποίημα τοῦ αὐτοῦ Μαυρόποδος (φ. 312-320) [45].

— ***Κῶδ. Η 70*** Λαύρας· χαρτ. 20×13 αἰῶν. ιδ' φ. 121 ἀκέφ. κολοβ. Παρακλητικὴ μετὰ Κανόνων εἰς τὴν Θεοτόκον [46].

— ***Κῶδ. Η 184*** Λαύρας· χαρτ. 29×21 αἰῶν. ιστ' φ. 259 ἀκέφ. δίστηλ. Παρακλητικὴ μετὰ Κανόνων εἰς τὴν Θεοτόκον ψαλλομένων ἐν τοῖς ἀποδείπνοις (φ. 1-241)· τὰ ια' ἑωθινὰ εὐαγγέλια, Ἐξαποστειλάρια, Δοξαστικά, Τριαδικοὶ ὕμνοι, ἀποστολοευαγγέλια τῆς ὅλης ἑβδομάδος καὶ Κοντάκιον εἰς τὴν Θεοτόκον (φ. 259β) [47].

***Κῶδ. Θ 36*** Λαύρας· χαρτ. 21×14 αἰῶν. ιη' (1706) φ. 298·

«Βίβλος κατ' ἦχον τῇ Θεοῦ γεννητρίᾳ
πρεσβευτικὰς ἄδουσα τὰς μελουργίας».

Κανόνες παρακλητικοὶ καὶ ἐγκωμιαστικοὶ εἰς τὴν ὑπεραγίαν Θεοτόκον, ψαλλόμενοι ἐν ταῖς ἀποδείπνοις διαφόρων ποιητῶν.

Ἐν τέλει· «Νῦν ὀγδόας ἔδειξεν ἤχων ἑπτάκις
τὴν μητέρα ἄνανδρον εὐλογοῦσα παρθένον
τῆς Θεοτόκου τὸ δῶρον καὶ Ἰωνᾶ πόνος.

Ἐν ἔτει σωτηρίῳ αψστ' (1706) κατὰ μῆνα Μάρτιον δόξα τῷ ἁγίῳ Θεῷ» [48].

— ***Κῶδ. Θ 45*** Λαύρας· χαρτ. 22×15 αἰῶν. ιστ' φ. 333. Ἐν ἀρχῇ τὰ ια' ἑωθινὰ ***Λέοντος τοῦ Σοφοῦ***· βον) Παρακλητικὴ μετὰ Κανόνων εἰς τὴν Θεοτόκον ἰδίως τοῦ Μητροφάνους καὶ Ἰωσήφ. Ἐν τέλει· «***Γρηγόριος τοῦ Κυπρέου*** ἁμαρτωλὸς τάχα καὶ Λαυριώτης ὅπου τὸ ἔγραψε τὸ βιβλίον τοῦτο καὶ εὔχε ὑπὲρ τῶν πολλῶν μου ἁμαρτημάτων καὶ ὁ Θεὸς συγχωρήσει πάντας ἡμᾶς» [49].

— ***Κῶδ. Θ 61*** Λαύρας· χαρτ. 21×15 αἰῶν. ιζ' φ. 178 ἀκέφ. κολοβ. Παρακλητικὴ μετὰ Κανόνων εἰς τὴν Θεοτόκον καὶ ἁγίους [50].

— ***Κῶδ. Θ 66*** Λαύρας· χαρτ. 30×21 αἰῶν. ιε' φ. 290 ἀκέφ. κολοβ. Παρακλητικὴ (τῶν 4 πρώτων ἤχων, φ. 1-283)· βον) Τὰ ια' ἑωθινὰ εὐαγγέλια, Ἐξαποστειλάρια καὶ Δοξαστικὰ (φ. 283-290)· γον) Κανόνες εἰς τὴν Θεοτόκον ψαλλόμενοι εἰς τοὺς ἑσπερινούς [51].

— ***Κῶδ. Θ 69*** Λαύρας· χαρτ. 29×21 αἰῶν. ιε' φ. 523 ἀκέφ. κολοβ. Τριώδιον (μετὰ Συναξαρίων· φ. 1-269)· βον) Πεντηκοστάριον (φ. 269-445)· γον) Μεγαλυνάρια τοῦ μεγάλου Σαββάτου (φ. 445-447)· δον) Παρακλητικὴ (φ. 447-510)· ε') Τὰ ἕνδεκα ἑωθινὰ εὐαγγέλια, Ἐξαποστειλάρια καὶ Δοξαστικὰ (φ. 510-516)· στον) Ὕμνοι τριαδικοὶ (φ. 516-517)· ζον) Κανόνες εἰς τὴν Θεοτόκον ψαλλόμενοι ἐν τοῖς ἀποδείπνοις (φ. 517-523) [52].

— ***Κῶδ. Θ 71*** Λαύρας· χαρτ. 29×21 αἰῶν. ιδ' (1358) φ. 312 δίστηλ. Παρακλητικὴ μετὰ Κανόνων εἰς τὴν Θεοτόκον καθ' ἡμέραν.

Ἐν τέλει· «Ἐτελειώθη ἐν ἔτει ,στωξστ' (1358) ἡ βίβλος αὕτη ***Σοφονίου ἱερομονάχου***» [53].

45) Ἔνθ' ἀνωτ. σ. 113.

46) Ἔνθ' ἀνωτ. σ. 113.

47) Ἔνθ' ἀνωτ. σ. 126.

48) Ἔνθ' ἀνωτ. σ. 138.

49) Ἔνθ' ἀνωτ. σ. 139.

50) Ἔνθ' ἀνωτ. σ. 141.

51) Ἔνθ' ἀνωτ. σ. 141.

52) Ἔνθ' ἀνωτ. σ. 142.

53) Ἔνθ' ἀνωτ. σ. 142.

τὴν παρασχεθεῖσάν μοι σημαντικὴν συνεισφορὰν ἐκ τοῦ θησαυροῦ τῆς ἱερᾶς αὐτοῦ μονῆς, μεγίστης Λαύρας· διὰ τῆς ἀντιπαραβολῆς τῶν Λαυριωτικῶν Κωδίκων ἀπεκατέστη ἐν πολλοῖς ὀρθῶς ἡ χωλαίνουσα ἐν ἄλλοις Κώδιξι γραφὴ καὶ προσφέρεται σήμερον τῇ ἐκκλησίᾳ ὁ ὑμνολογικὸς οὗτος πλοῦτος ἐν τῇ ἀρχικῇ αὐτοῦ ῥυθμικῇ μορφῇ ἀπηλλαγμένος κηρῶν καὶ ἀταξιῶν, οἷαι ἀπαντῶσιν ἐν πλησμονῇ ἀτυχῶς εἰς τὰ ἔντυπα τῆς ἐκκλησίας βιβλία. Ἐν τῷ ἱερῷ τούτῳ βιβλίῳ, ἐν ᾧ ὡς ἐν σίμβλῳ ἐναπέθεσαν τὸ ἄρωμα καὶ τὸ μέλι τῆς καρδίας των αἱ τῶν ἁγίων ἡμῶν πατέρων ψυχαὶ εὑρίσκομεν οἱ εὐσεβεῖς καὶ πιστοὶ τὰ κλεῖθρα ἵνα ἀνοίξωμεν τὰς πύλας τοῦ ἐλέους καὶ τῆς εὐσπλαγχνίας τῆς ὑπεράγνου μητρὸς τοῦ Θεοῦ καὶ δροσίσωμεν τὴν κατεψυγμένην ἐκ τοῦ καύσωνος τῆς ἁμαρτίας ταλαιπωρουμένην ψυχήν μας εἰς τὰ θεῖα καὶ διαυγῆ ῥεῖθρα τῆς πηγῆς τοῦ ἁγιάσματος.

Ἔγραφον ἐν Chennevières-sur-Marne, ἐν τῇ villa l'Ermitage, κατὰ Φεβρουάριον τοῦ 1931.

† Ὁ πρώην Λεοντοπόλεως ΣΩΦΡΟΝΙΟΣ.

---

Τὴν ἔκδοσιν τῶν «Ἁγιολογικῶν Μνημείων» ἐπευλογεῖ καὶ ἐπικροτεῖ ἡ τοῦ Χριστοῦ Μεγάλη Ἐκκλησία διὰ τοῦ ἀκολούθου πατριαρχικοῦ Γράμματος:

***† Φώτιος, ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.***

Ἀριθ. πρωτ. 2388.

Ἱερώτατε Μητροπολῖτα πρώην Λεοντοπόλεως, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ τῆς ἡμῶν Μετριότητος κύριε Σωφρόνιε, χάρις εἴη τῇ ὑμετέρᾳ Ἱερότητι καὶ εἰρήνη παρὰ Θεοῦ.

Ἐλάβομεν ἀσμένως τὸ ἀπὸ κε' Ὀκτωβρίου γράμμα τῆς ὑμετέρας Ἱερότητος, σὺν αὐτῷ δὲ καὶ τὸ ἀποσταλὲν Α' ἐκτυπωθὲν ἤδη τεῦχος τῆς ἀρξαμένης μεγάλης ἐκδόσεως αὐτῆς τῶν Κανόνων τῆς Ὑπεραγίας Θεοτόκου.

Εἴδομεν καὶ ἐπισκοπήσαμεν τὸ τεῦχος τοῦτο μετὰ πολλῆς εὐχαριστήσεως καὶ ἐκτιμήσεως καὶ ἀσμένως ἐξ ἀποφάσεως συνοδικῆς γνωρίζομεν ἀπαντητικῶς αὐτῇ ὅτι ἡ Ἐκκλησία ἐπαινοῦσα τὸν ἱερὸν ζῆλον τῆς ὑμετέρας Ἱερότητος καὶ εὐλογοῦσα τοὺς ὑπὲρ τῆς ἐπιστημονικῆς ἐρεύνης μεγάλους καὶ ἀτρύτους πόνους αὐτῆς, εὔχεται αὐτῇ αἰσίαν μὲν τὴν ἀποπεράτωσιν τῆς ἐνεργουμένης ἐκδόσεως, αἰσίαν δὲ τὴν ἔκδοσιν καὶ τῶν λοιπῶν ἐπιστημονικῶν αὐτῆς μελετῶν καὶ ἐρευνῶν ἐπὶ τοῦ ὑμνολογικοῦ ἐκκλησιαστικοῦ θησαυροῦ, αἵτινες σπουδαίαν ποτὲ μέλλουσιν ἵνα παράσχωσι συμβολὴν εἰς τὸ ἔργον τῆς Ἐκκλησίας, ὅταν εὐκαίρως σὺν Θεῷ γένηται ὑπ' Αὐτῆς ἔγκυρος ἀναθεώρησις καὶ ἀνατύπωσις τῶν λειτουργικῶν βιβλίων.

Ὁ Κύριος εὐλογοῖ καὶ κρατύνει τὴν ὑμετέραν φίλην Ἱερότητα ἐν ταῖς ἀγαστοῖς καὶ τιμητικαῖς αὐτῇ τε καὶ γενικώτερον ἐπιστημονικαῖς ταύταις μελέταις καὶ ἐργασίαις αὐτῆς.

͵αϡλ', Νοεμβρίου κδ'.

† Ὁ Κωνσταντινουπόλεως ἀγαπητὸς ἐν Χῷ ἀδελφός.

---

# ΠΗΓΗ ΑΓΙΑΣΜΑΤΟΣ

Institut für Byzantinistik
und
neugriechische Philologie
der Universität München

# ΚΑΝΟΝΕΣ

ΕΙΣ ΤΗΝ

# ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

## ΗΧΟΣ ΠΡΩΤΟΣ

1

## ΚΑΝΩΝ

οὗ ἡ ἀκροστιχίς

« *Ἀπάρχομαί σοι τῶν ἐμῶν λόγων κόρη ὁ τλήμων Ἰωάννης.* »

Κωδ. Ι 77 Λαύρας
1162 Λαύρας.

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

---

*Ἦχος α΄. Ὠδὴ α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.*

**Ἅ**γιον εὑρών σε ἱερὸν
ὁ ἐν ἁγίοις ἀναπαυόμενος
ἅγιος Θεὸς ἡμῶν,
ὑπεραγία Θεοτόκε, ᾤκησε
τὴν ἡγιασμένην
καὶ θεοδόχον γαστέρα σου.

**Π**λῆθος ἀμετρήτων οἰκτιρμῶν
τῶν οἰκτιρμῶν τὸ ἀμέτρητον πέλαγος
ἔχεις ὡς κυήσασα·
εὐλογημένη πανάγια Δέσποινα,
τῶν ἀνομιῶν μου
διὸ τὰ πλήθη ἐξάλειψον.

**Ἄ**μπελος ἡ βότρυν τῆς ζωῆς
ἀγεωργήτως βλαστήσασα βλύζοντα
οἶνον τὸν εὐφραίνοντα
πιστῶν καρδίας τὴν ψυχήν μου πότισον
πόμα τῶν δακρύων
καὶ κατανύξεως οἶνον ἡδύν.

**Ῥ**έουσι χρηστότητος ἐκ σοῦ
καὶ συμπαθείας ἀέναοι ῥύακες,
κόρη ἀπειρόγαμε,
τῆς εὐσπλαγχνίας τὴν πηγὴν γὰρ ἔτεκες
ἧς μεταλαβεῖν με
καὶ ἀπολαῦσαι ἀξίωσον.

**Χ**αῖρε ἡ παγκόσμιος χαρά·
χαῖρε τοῦ γένους ἡμῶν ἡ εὐγένεια·
χαῖρε ἡ τιμήσασα
τῷ ὑπερτίμῳ καὶ ἀσπόρῳ τόκῳ σου,
πάντιμε Μαρία,
βροτῶν τὴν φύσιν τὴν ἄτιμον.

Ὠδὴ γ΄. Στερεωθήτω ἡ καρδία μου.

**Ὁ** ὑποστήσας τῷ βουλήματι
οὐρανὸν καὶ γῆν καὶ τὴν θάλασσαν
ὁ ἐκ μὴ ὄντων ἀγαγὼν
εἰς τὸ εἶναι τὰ σύμπαντα

ἑαυτὸν σωματικῶς ἐκ σοῦ,
σεμνή, νῦν παρήγαγεν.

**Μ**εμολυσμένος τὴν συνείδησιν
ἐμπαθείᾳ γνώμης προσέφυγον
πρὸς τὴν ἀμόλυντον ἁγνήν·
καὶ ψυχῇ με καὶ σώματι
μολυσμῶν με ψυχικῶν
καὶ σαρκικῶν ἐλευθέρωσον.

**Ἁ**γιωσύνης οἶκε τέμενος
καὶ σεπτὸς ναὸς καθαρώτατος
ὡς ἱερὰ τὸν ἐναγῆ,
παναγία, ἁγίασον
ἀκαθάρτων με καθαίρουσα
παθῶν καὶ σεμνύνουσα.

**Ἱ**εροτέρα, παναμώμητε,
ἱερῶν ἀγγέλων γεγένησαι
ὡς ἐν ἁγίῳ ἱερῷ
καὶ τραφεῖσα καὶ τέξασα
τὸν ἡμῶν ἀρχιερέα
Ἰησοῦν τὸν θεάνθρωπον.

**Σ**ὲ ὡς οἰκεῖον αὐτοῦ σκήνωμα
ὁ Θεὸς ὁ ὕψιστος, πάναγνε,
ὅλην ἡγίασε καὶ σοῦ
ἐν τῷ μέσῳ ἐσκήνωσε
συντηρήσας σε
ἁγνὴν μετὰ γέννησιν.

Ὠδὴ δ'. Ὄρος σε τῇ χάριτι.

**Ὄ**μβρησον σταγόνα μοι, σεμνή, κατανύξεως
κεχερσωμένῳ τὴν ψυχὴν
ἐξ ἐπομβρίας τῶν παθῶν
καὶ ὄμβροις ὀμβρίζειν με
καθαρτικῶν δακρύων, κόρη, ἀξίωσον
ἡ τὸν οὐράνιον ὄμβρον κυήσασα.

**Ἵ**λεων Δεσπότην καὶ οἰκτίρμονα τέτοκας
ὅν περ ἱλέωσαι κἀμοὶ
προσκεκρουκότι καὶ πολλὰ
τοῦτον παροργίζοντι
διηνεκῶς καὶ ἱλασμόν μοι πρυτάνευσον
ἁμαρτιῶν, ὑπεράμωμε Δέσποινα.

**Τ**είχισον τὸ τεῖχος τῶν πιστῶν ἀπειρόγαμε,
τῷ θείῳ φόβῳ τὴν ἐμὴν
ἠρειπωμένην ἡδοναῖς
διάνοιαν ἄβατον
ταῖς τῶν λῃστῶν ἐπιδρομαῖς ἀσφαλίζουσα
καὶ τῶν ἐχθρῶν ταῖς ἐφόδοις ἀνάλωτον.

**Ὤ**μοσεν ἀλήθειαν ἡ αὐτοαλήθεια
τῷ σῷ προπάτορι Ἀδὰμ
ἐκ τοῦ καρποῦ τοῦ τῆς αὐτοῦ
κοιλίας ὁ Κύριος
θήσειν, ἁγνή, ἐπὶ τοῦ θρόνου αὐτοῦ καὶ ἐκ σοῦ
τεχθεὶς ἰδοὺ ἐκπληροῖ τὴν ὑπόσχεσιν.

**Ν**ήπιον παιδίον διὰ ἔλεος ἄφατον
γεγενημένον σε, Χριστέ,
τὸν προαιώνιον Θεὸν
νεᾶνις ἀπείρανδρος
ὑπερφυῶς ἐγέννησε διορθούμενον
τὸν πλανηθέντα Ἀδὰμ ὥσπερ νήπιον.

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

**Ἐ**λεῆμον,
ἐλεήμονος Λόγου λοχεύτρια,
τὴν ψυχήν μου,
ἐν ἐλέει σου θείῳ ἐλέησον
καὶ τῆς κατεχούσης με
καὶ τυραννούσης ἁμαρτίας
καὶ συνηθείας ἀπάλλαξον.

**Μ**ὴ ἐάσῃς
ἐν τῇ κρίσει γενέσθαι με, Δέσποινα,
τῶν ζητούντων
συλλαβεῖν με δαιμόνων ἐπίχαρμα
ἀλλὰ ἀκατάκριτον
τῷ τοῦ υἱοῦ σου κριτηρίῳ
παραστῆναι ἀξίωσον.

**Ὡ**ς αἰτίαν
τῆς ἡμῶν, Θεοτόκε, θεώσεως
κατὰ χρέος
οἱ πιστοί σε ἀεὶ μεγαλύνομεν·
πολλὰ μεγαλεῖα γὰρ
ὁ δυνατὸς ἐποίησέ σοι
ὡς προεφήτευσας, ἄχραντε.

**Ν**εμομένην
τῶν παθῶν μου τὴν σῆψιν ἀνάστειλον



δραστηρίῳ
τοῦ ἐλέους σου ἰάσει, Δέσποινα,
καὶ τὴν ἀπορρέουσαν
αὐτῶν ἐνήδονον ἰκμάδα
ἐκ τῆς ψυχῆς μου ἀπόμαξον.

**Λ**άμπρυνόν μου
τὴν στολὴν τῆς ψυχῆς ἣν ἐζόφωσα
τῶν παθῶν μου
σκοτειναῖς ἀμαυρότησι, Δέσποινα,
καὶ πρὸς τὸν ἀκήρατον
Θεοῦ εἰσάγαγε νυμφῶνα
ἔνδυμα γάμου φοροῦντά με.

Ὠδὴ στ'. Ἐκύκλωσεν ἡμᾶς.

**Ὁ** ἔμψυχος καὶ λογικὸς παράδεισος
ὁ πᾶσιν ἀνεπίβατος
ἁμαρτίας λογισμοῖς, ἐν ᾧ ποτὲ
ὄφις οὐκ ἐπέτησε γεννήτωρ παθῶν,
τοὺς ῥυπαροὺς
ἐκ τῆς ψυχῆς μου λογισμοὺς δίωξον.

**Γ**εώργησον ἡ γῆ ἡ ἀγεώργητος
τὴν γῆν τῆς διανοίας μου
τὰς ἀκάνθας καὶ τριβόλους τῶν παθῶν
ἐξ αὐτῆς προρρίζους ἀνασπάσασα
καὶ τὸν ἁγνὸν
τοῦ Θεοῦ φόβον αὐτῇ ἐμφύτευσον.

**Ὡ**ς κύριον δεσπότην πάντων τέξασα
Κυρίαν σε καὶ Δέσποιναν
ἐπιστάμενος, Παρθένε, δυσωπῶ
ῥῦσαι τῶν παθῶν τῆς δεσποτείας με
καὶ τῆς αὐτῶν
κυρείας με ἐλευθέρωσον.

**Ν**εώνητον τοῖς πάθεσιν ἀνδράποδον
γεγένημαι ὁ δείλαιος·
ἐξαγόρασον αἰχμάλωτον ψυχήν,
Δέσποινα, ἡ τὸν ἐξαγοράσαντα
τῆς νομικῆς
ἡμᾶς κατάρας Θεὸν γεννήσασα.

**Κ**υκλώσαντες ἐκύκλωσάν με, πάναγνε,
κηρίον ὡσεὶ μέλισσαι·
ἐν ἀκάνθαις ἐξεκαύθησαν ὡς πῦρ
φλόγα διαέριον ἐξάραντες
οἱ ἐμπαθεῖς
ἐν τῇ ψυχῇ μου λογισμοί· σῶσόν με.

# ΚΑΘΙΣΜΑ

Ἦχος α'. Χορὸς ἀγγελικός.

**Τ**ὸ μέγα τῶν πιστῶν
καὶ ἀπόρθητον τεῖχος
τὴν τῶν ἁμαρτωλῶν
κραταιὰν προστασίαν
τὸ ἄσυλον φρούριον
καὶ στερρὸν καταφύγιον
ἱκετεύω σε,
θεογεννήτρια κόρη,
σύ μοι πρόστηθι
ἐν τῇ ἡμέρᾳ τῆς δίκης
καὶ σῶσον τὸν δοῦλόν σου.

Ὠδὴ ζ'. Σὲ νοητήν.

**Ὅ**λον ἰδού,
ἐμαυτὸν προσάγω σοι,
θεογεννῆτορ, ὁλικῶς
καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν
σοὶ προσανατίθημι
τὴν ἐπιθυμίαν μου
καὶ τὴν ἐνοῦσάν μοι ὄρεξιν
ὁλοσχερῶς ἀνατείνων
πρὸς σέ· σῶσόν με, Δέσποινα.

**Ρ**έων πολὺς
μέχρι σοῦ ὁ θάνατος
ἀκατασχέτως ὁ πικρὸς
τῆς ὀξείας αὐτοῦ φορᾶς
ἔστη τεκούσης σου
ζωὴν ἐνυπόστατον·
διό μου στῆσον, πανύμνητε,
τῶν ἀπρεπῶν λογισμῶν
τὴν φορὰν καὶ τῶν παθῶν τὴν ῥοήν.

**Ἤ**δη θρηνῶ
ἐμαυτὸν ὁ ἄθλιος
ἄξια θρήνων πεπραχὼς
καὶ ὡς ἤδη κατακριθεὶς
ὁ αὐτοκατάκριτος
πρὸ τῆς κατακρίσεως
ὀδυνηρῶς κατατρύχομαι,
μῆτερ Θεοῦ, ἡ ἐμὴ
βοηθὸς μὴ ἐπιλάθῃ μου.

**Ο**ἴμοι ψυχή
ὁ καιρὸς συντέτμηται
νῦν ἐπὶ θύραις ὁ κριτής

τὸ κριτήριον εὐπρεπὲς
θρόνοι ἑτοιμάζονται
ἄγγελοι προτρέχουσιν
οἱ ἐκλεκτοὶ συναθροίζονται
τί οὖν σαυτὴν οὐ πενθεῖς
καὶ θρηνεῖς ἀμετανόητε;

*Τ*όπος γενοῦ
ἀχυρὸς τοῦ σῶσαί με,
θεογεννῆτορ, καὶ σεπτὸς
θεῖος οἶκος καταφυγῆς·
σὺ γάρ μου στερέωμα
σύ μου καὶ κραταίωμα
καὶ ἀσυλότατον φρούριον
καταδρομῆς ἀφανῶν
δυσμενῶν ἐξαιρουμένη με.

Ὠδὴ η΄. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

*Λ*αμπομένη φέγγει νοητῷ
τῷ τῆς θεοτοκίας,
ὑπέρφωτε Θεοτόκε,
τὴν ζοφώδη μου ψυχὴν
φωτίσασα λάμπρυνον
ἐκμειοῦσα τῆς ἁμαρτίας
τὸ σκότος καὶ τὴν νύκτα
καὶ πρὸς μετανοίας
αὐγήν με ὁδηγοῦσα.

*Ἡ* ἁγία γῆ καὶ ἐκλεκτὴ
ἐν ᾗ κεκαλυμμένοι
καλύμματι ἀπιστίας
ἀμφιβόλων λογισμῶν
πόδες οὐκ ἐπάτησαν
τῶν γηΐνων δεῖξον φροντίδων
ἀνώτερον τὸν νοῦν μου
καὶ τῆς τῶν πραέων
γῆς καταξίωσόν με.

*Μ*ετανοίας οὗτος ὁ καιρὸς
ἐτάσεως ὁ μέλλων
καὶ τῆς τῶν βεβιωμένων
δοκιμῆς καὶ ἀμοιβῆς,
ψυχή, διεγέρθητι
μετανοίας ἔργα γνησίας
ἐπίδειξαι καὶ φύγης
τὰς ἠπειλημένας
βασάνους καὶ κολάσεις.

*Ὡ*ς ὡραίαν ὡς περικαλλῆ
ὡς ἅμωμόν σε κόρην
ὡς νύμφην ἐκλελεγμένην
ὡς νεᾶνιν καθαρὰν
παρθένον ὡς ἄσπιλον
ὡς ἁγίαν, ὡς τῆς ἁγνείας
καὶ τῆς ἁγιωσύνης
τὴν εὐλογημένην
ὑμνοῦμεν θεῖον οἶκον.

*Ν*ομικοί σε τύποι καὶ σκιαὶ
τὴν ἔμψυχον νεφέλην
ἐδήλουν, θεοκυῆτορ,
τεξομένην Ἰησοῦν
τὸν ἄδυτον ἥλιον
τὰς ἀκτῖνας ἱπαριέντα
τῆς γνώσεως καὶ τούτοις
τὴν ἐγκεκρυμμένην
ἀλήθειαν δηλοῦντα.

Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς λοχείας σου.

*Ἵ*να χαρμοσύνοις ᾄσμασι
χαριστηρίοις, κόρη, καταγεραίρω σε
ἵνα διὰ πάσης μου
ζωῆς μεγαλύνω σε
ἐξελοῦ με ἐκ στόματος λέοντος
δεινῶς ὠρυομένου
καὶ καταβρῶξαί με σφαδάζοντος.

*Ὤ*φθης ἱερὸν ἀνάκτορον
καὶ καθαρόν, Παρθένε, Χριστοῦ παλάτιον
τοῦ πρὸ τῶν αἰώνων
ἀληθῶς βασιλεύοντος
καὶ κρατοῦντος ἁπάσης τῆς κτίσεως·
διό μου τὴν καρδίαν
ἐξ ἀκαθάρτων παθῶν κάθαρον.

*Ἄ*νω τὴν ἐμὴν διάνοιαν
ἐκ τοῦ γεώδους βάθους ἄρασα, Δέσποινα,
τὰ ἐν οὐρανοῖς
διὰ παντὸς ἐνοπτρίζεσθαι
καὶ φαντάζεσθαι κάλλη ἀξίωσον
ὡς ἂν τῇ θεωρίᾳ
τῶν ἀϊδίων ἐναποφαίνηται.

*Ν*έφει τὸν τεθέντα Κύριον
τὴν ἑαυτοῦ ἐπίβασιν καὶ ταῖς πτέρυξι



ἐμπεριπατοῦντα
τῶν ἀνέμων ὀχούμενον
ἐπὶ σοὶ σωματικῶς ἐπιδέδεξαι
τοῦ τῆς δικαιοσύνης
ἡλίου ὄχημα, πανύμνητε.

*Ν*έος ὥσπερ ἄλλος πλούσιος
ἐνδεδυμένος βύσσον στολὴν ὑπέρμ-
βριον
ἀμεταβατῇ τε
πορφυρίδα τῷ λύθρῳ παθῶν
ἀφροδίσιτον βίον ἔζησα
τὸν Λάζαρον δὲ νοῦν μου
λιμῷ παρῆκα κατατήκεσθαι.

*Ἦ*ρα τὴν ψυχήν μου, Δέσποινα,
πρὸς σὲ καὶ πάσῃ γνώμῃ ἐπὶ σοὶ πέποιθα
μὴ καταισχυνθείην
εἰς τὸν αἰῶνα ὁ δοῦλός σου
μηδὲ ἐχθροί μου καταγελασάτωσαν
οἱ νοητοὶ ἐν ὥρᾳ
τῆς ἐκδημίας συλλαβόντες με.

*Σ*τάμνον ἱερὰν καὶ τράπεζαν
καὶ χρυσαυγῆ λυχνίαν καὶ θρόνον ἅγιον
ἀχειρότευκτον σκηνὴν
καὶ ἀχειρόπλοκον θάλαμον
καὶ πιστάδα χρυσῆν καὶ θεόγραφον
πλάκα καὶ θεοδόχον
κλίνην γινώσκομέν σε, Δέσποινα.

---

## 2

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

*« Πρώτην δέησιν προσφέρω σοι, Παρθένε, πένης Ἰωάννης. »*

Κωδ. Ι 77
Λαύρας
52 φ. 1β. Πλατέων

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

---

*Ἦχος α΄. Ὠδὴ α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.*

*Π*άντων ἡ τεκοῦσα τῶν καλῶν
τὸν χορηγὸν καὶ δοτῆρα καὶ πάροχον
γνώσεως τὴν ἄβυσσον
καὶ τῆς σοφίας τὴν πηγὴν τὴν ἄφθονον,
Δέσποινα, τὸν νοῦν μου
χαρίτωσον ἀνυμνῆσαί σε.

*Ρ*ύσαντας ἡμᾶς καὶ τῇ φθορᾷ
ὑποπεσόντας καὶ ᾅδην ἀλλάξαντας
τῆς Ἐδὲμ καὶ λάφυρον
γεγενημένους τοῦ θανάτου, πάναγνε,
πρὸς τὴν ἀφθαρσίαν
ἐκ τῆς φθορᾶς ἐπανήγαγες.

*Ὡ*ς πένθους σαπρὰν περιβολὴν
τὸν τῆς νεκρώσεως χοῦν τοῦ προπάτορος
ἀποτιναξάμενοι
ἐν τῇ ἀφθάρτῳ σου γεννήσει, Δέσποινα,
τῆς ἀθανασίας
φαιδρὰν στολὴν ἐνεδύθημεν.

*Τ*ὸ στόμα μου πλήρωσον, ἁγνή,
θείας αἰνέσεως ὅπως ὑμνήσω σου
τὴν δόξαν, πανύμνητε,
καὶ μεγαλύνω τὴν μεγαλοπρέπειαν
ὅλην τὴν ἡμέραν
τοῦ σὲ σεπτῶς μεγαλύναντος.

*Ἥ*λιον κυήσασα Χριστὸν
δικαιοσύνης, Παρθένε, τὸν ἄδυτον
φώτισόν με δέομαι
τὸν ἡδονῶν ἀχλύϊ σκοτιζόμενον
καὶ ἁμαρτημάτων
νυκτὶ βαθείᾳ καθεύδοντα.

Ὠδὴ γ'. Ὁ μόνος εἰδώς.

**Ν**ομὴν τοῦ θανάτου καὶ φθορᾶς
ἀνέτειλας κυήσασα
τὸν τῆς ζωῆς ταμίαν καὶ πρύτανιν·
διό σου, κόρη πάναγνε, δέομαι
τὴν ψυχήν μου φώτισον
καὶ τὸν νοῦν ἁγίασον
καὶ ζωῆς κοινωνόν με ἀνάδειξον.

**Δ**ολίως με δούλοις πονηροῖς
Θεοῦ ἀχαλισθήσασι
δεδουλωμένον καὶ ὑποκείμενα
ἐλευθερίας θείας ἀξίωσον
καὶ τοῖς δούλοις σύνταξον
τοῦ υἱοῦ σου, Δέσποινα,
καὶ αὐτῷ με δουλεύειν ἐνίσχυσον.

**Ἐ**λέους ὑπάρχουσα πηγή
καὶ πέλαγος χρηστότητος
καὶ συμπαθείας ἄβυσσος ἄπειρος
τὰς ἀναβλύσεις τῶν ἐγκλημάτων μου
ἐν ἐλέει ξήρανον,
ἐλεῆμον Δέσποινα,
καὶ ἐλέους σου δεῖξόν με μέτοχον.

**Ἡ** χώρα τὸν στάχυν τῆς ζωῆς
ἀσπόρως ἡ ἐκφύσασα
καὶ ἀνηρότως ἀναβλαστήσασα
λιμῷ τακεῖσαν ἐνθέου βρώσεως
τὴν ψυχήν μου στήριξον
ἄρτῳ θείων πράξεων
ἀρετῶν ἐν ἐλαίῳ πιάνασα.

**Σ**κηνώματος δόξης τοῦ Θεοῦ
σὲ τύπον ἐπιστάμενος
περικαλλῆ τε οἶκον ἠγάπησα,
θεογεννῆτορ, τὴν σὴν εὐπρέπειαν·
διὸ σκηνωμάτων με
τῶν ἐν ᾅδου λύτρωσαι
καὶ σκηναῖς οὐρανοῦ κατασκήνωσον.

Ὠδὴ δ'. Ὅρος σε τῇ χάριτι.

**Ἴ**θυνον ταῖς αὔραις τῆς πρεσβείας σου, πάναγνε
πρὸς τοὺς λιμένας τῆς ζωῆς
τὴν ναυτιῶσάν μου ψυχὴν
τῷ σάλῳ καὶ κλύδωνι
τῆς κοσμικῆς θαλάσσης καὶ καταστόρεσον
τὰ τῶν παθῶν μου παφλάζοντα κύματα.

**Ν**εύματι τὸν φέροντα τὰ πάντα ἐβάστασας·
διό με νεύμασιν ἐχθροῦ
πρὸς ἡδονὰς σωματικὰς
ἀεὶ κατανεύοντα,
μῆτερ Θεοῦ, νεύσει σου σῶσον καὶ δεῖξόν με
τοῖς τοῦ υἱοῦ σου πειθήνιον νεύμασιν.

**Π**ρόσωπον τὸ θεῖον καὶ σεπτόν σου ἐπίφανον
ἐπὶ τὸν δοῦλόν σου, σεμνή,
καὶ δίδαξόν με τοῦ ποιεῖν
Θεοῦ τὰ προστάγματα
καὶ τὰ αὐτοῦ διατηρεῖν δικαιώματα
ὡς εὐμενῶς τῷ προσώπῳ αὐτοῦ ἐποφθῶ.

**Ρ**εύσαντες οἱ χείμαρροι παθῶν τῆς καρδίας μου
τὸν οἶκον ἔπτωσαν, ἁγνή,
ἡ γεγονυῖα τοῦ Θεοῦ
οἶκος καθαρώτατος
καὶ ἱερὸν καὶ θεοδόχον ἀνάκτορον
οἶκόν με δεῖξον τοῦ Πνεύματος ἄξιον.

**Ὄ**ρος σε προεῖδε Δανιὴλ ἀλατόμητον
κατάσκιον ὁ Ἀββακοὺμ
τετυρωμένον ὁ Δαυῒδ
ὄρος ἄλλος ἅγιον
καὶ ἐμφανὲς καὶ πῖον ὄρος, πανύμνητε,
ὃ ὁ Θεὸς κατοικῆσαι ηὐδόκησεν.

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Στήσας βρόχους
ὡς στρουθίον ὁ δόλιος εἷλέ με
καὶ θηρεύσας
τὴν ψυχήν μου κατέχει αἰχμάλωτον
καὶ ὡς ἀργυρώνητον
αὐτὴν ἀνδράποδον δεσμήσας
κατάγχει. Δέσποινα, σῶσόν με.

**Φ**ρίξον μήπως
εἰς τὰς χεῖρας ἐμπέσῃς τοῦ ζῶντος Θεοῦ·
ὁ γὰρ λόγος
ἐνεργὴς ὁ ἐκείνου, ψυχή μου, καὶ ζῶν
καὶ διστόμου μᾶλλον
τομώτερός ἐστι μαχαίρας
διήκων μέχρι ψυχῆς μερισμοῦ.



**Ἕ**ως πότε
ἐπιλήσῃ μου, κόρη, εἰς τέλος, ἁγνή,
ἕως πότε
ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ
ἕως τίνος θήσομαι
βουλὰς ὀδύνας ὁ σὸς δοῦλος
ἐν τῇ ψυχῇ καὶ καρδίᾳ μου.

**Ρ**άβδος ἥν περ
ἐξαπέστειλε κόσμῳ δυνάμεως
ὁ Κύριος
ἐκ Σιών, Θεοτόκε, δι' ἧς τῶν ἐχθρῶν
κατακυριεύομεν
τῶν νοητῶν ἐν μέσῳ ῥάβδῳ
σκέπης τῆς σῆς με ὁδήγησον.

**Ὡ**ς τεκοῦσα
ὑπὲρ φύσιν καὶ λόγον Θεὸν ἀγαθὸν
ἐν σώματι
διὰ λόγου πρὸ πάντων αἰώνων, ἁγνή,
ὅν περ ἐξηρεύξατο
πατὴρ τῆς ἑαυτοῦ καρδίας
καθάρισον τὴν καρδίαν μου.

Ὠδὴ ϛ'. Ἐκύκλωσεν ἡμᾶς.

**Σ**αλεύει πνευμάτων πονηρῶν ἐμβολὴ
βιαίως ἀντιπνέουσα
καὶ κυμάτων ἐναντίων προσβολὴ
στρέφει καὶ ταράττει καὶ χειμάζει με,
μῆτερ Θεοῦ,
πρὸς γαληνούς με λιμένας ἴθυνον.

**Ὀ**δύρομαι καὶ στένω προορώμενος
τὸ γέμον φρίκης θέατρον
τὸ παγκόσμιον ἐκεῖνο παγγενῆ
ἐν ᾧ, Χριστέ, παραστησόμεθα
ἔνθα τῆς σῆς
μητρὸς πρεσβείαις μὴ καταισχύνῃς με.

**Ἰ**δέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν
οἱ πένητες τῷ πνεύματι
οἱ πλουτοῦντες ἐν ἐνθέοις ἀρεταῖς
ὅτι Θεὸς πᾶσι παρέσχετο
τὴν ἑαυτοῦ
ἁγνὴν μητέρα κοινὸν προσφύγιον.

**Π**αγίδα με, πανύμνητε, κεκρύφασιν
οἱ ὄντως ὑπερήφανοι
καὶ σχοινίοις τῶν ἐμῶν ἁμαρτιῶν
βρόχους τοῖς ποσί μου διετείναντο
οὓς, ἀγαθή,
ὡς ἀραχνίους μίτους διάλυσον.

**Ἁ**γίαν σε ἁγίων ὁ πανάγιος
Θεὸς εὑρὼν ἐσκήνωσε,
παναγία, ἐν ἁγίᾳ σου γαστρὶ
πλάττων ἑαυτῷ ἁγίως ἅγιον
ναὸν τοῖς σοῖς
ἁγίοις αἵμασι σάρκα ἔμψυχον.

## ΚΑΘΙΣΜΑ

***Ἦχος α'. Χορὸς ἀγγελικός.***

**Ἐ**λπὶς χριστιανῶν
ἀψευδὴς καὶ βεβαία
ἐλέους χορηγὲ
καὶ πηγὴ συμπαθείας
ἡ κλεὶς ἡ διανοίγουσα
τοῦ Θεοῦ τὴν χρηστότητα
πᾶσιν ἄνοιξον
τῆς εὐσπλαγχνίας τὴν πύλην
πᾶσι δώρησαι
τοῦ τῆς τρυφῆς παραδείσου
ἀλητεῖαν τὴν εἴσοδον.

Ὠδὴ ζ'. Σὲ νοητὴν Θεοτόκε.

**Ρ**εῖθρον ζωῆς
ἡ τεκοῦσα βλύσον μοι
ῥεῖθρα δακρύων καὶ πηγὴν
κατανύξεως τοῖς ἐμοῖς
ὀφθαλμοῖς ἀέναον,
Θεοτόκε, δώρησαι
καὶ μετανοίας ὑσσώπῳ με
τῶν ψυχικῶν μολυσμῶν
καθαρὸν δεῖξον ῥαντίσασα.

**Θ**αῦμα καινὸν
ἐπὶ σοὶ τεθέαται
φύσις ἡ ἔκπτωτος Θεοῦ
καὶ θαυμάτων ὡς ἀληθῶς
πέρα καὶ ἐπέκεινα,
κόρη θεοχώρητε,
τὸν γὰρ τῇ κτίσει ἀχώρητον
σωματικῶς χωρηθέντα
ἐν σοὶ Θεὸν ἐχώρησας.

**Ἔ**χων ψυχὴν
ἀναισθήτως ἔχουσαν

καὶ νοῦν τυφλώττοντα δεινῶς
καὶ ἀνάλγητον λογισμὸν
καρδίαν ἀσύνετον
φρένας καὶ διάνοιαν
ἠλλοιωμένας σὺ κέκτημαι
ἐμῆς ψυχῆς τῷ θανάτῳ
ἀνάνευσιν ἢ ἄνεσιν.

**Ν**ὺξ ἀφεγγὴς
ὄντως καὶ ἀσέληνος
τῆς καταιγίδος τῶν παθῶν
ὁ ζοφώδης καὶ σκοτεινὸς
γνόφος καὶ ἡ θύελλα,
κόρη, χρηματίζουσι
τῷ ὀπτικῷ τῆς καρδίας μου,
μόνη ἁγνή, πρεσβειῶν σου
φωτὶ ταύτην καταύγασον.

**Ε**ὕροιμί σε
κραταιὰν βοήθειαν
καὶ ὀχυρὰν καταφυγὴν
καὶ ὑπέρμαχον ἰσχυρὰν
ὅτε πρὸ τοῦ βήματος
τρέμων παραστήσομαι
τοῦ σοῦ υἱοῦ, ὑπεράμωμε,
καὶ διὰ σοῦ τῆς γεέννης
ῥυσθεὶς σωθείην, Δέσποινα.

Ὠδὴ η'. Ἐν καμίνῳ παῖδες.

**Π**ροστασία πάντων ἀψευδὴς
βοήθεια ἑτοίμη
ἐν ὥρᾳ τῆς ἐκδημίας
τῆς ἀθλίας μου ψυχῆς
προστάτις μου φάνηθι
ῥυομένη ταύτην παγίδος
ἐκ τῆς τῶν θηρευόντων
καὶ ἐνεδρευόντων
αὐτὴν κρυπτῶν λεόντων.

**Ἐ**κ παγίδος ῥῦσαι θηρευτῶν
δαιμόνων τὴν ψυχήν μου
καὶ σοῦ ἐν τοῖς μεταφρένοις
ἐπισκίασον κἀμοὶ
διὰ τῆς τεκούσης σε,
ἐλεῆμον, ὅπως ἐξ ὅλης
ἐλπίζω τῆς καρδίας
ὑπὸ τὰς ἀχράντους
καὶ θείας πτέρυγάς σου.

**Ν**έκρωσόν με ἅπαν τῆς σαρκός,
Παρθένε ζωοτόκε,
τὸ φρόνημα καὶ τὸν νοῦν μου
νεκρωθέντα ἡδοναῖς
αὖθις ἀναζώωσον
καὶ τῇ βίβλῳ κατωγραφῆναι
τῶν ζώντων ποίησόν με
ἡ τὸν ζωοδότην
Χριστὸν ἀποτεκοῦσα.

**Ἡ** πλησίον οὖσα τοῦ Θεοῦ
ὡς μήτηρ καὶ παρθένος
ἡ μῶμον μὴ κεκτημένη
σαρκικὸν ἢ ψυχικὸν
καλὴ δὲ καὶ ἄμωμος
ὅλη, κόρη, μώμου παντοίου
τὴν μωμητὴν ψυχήν μου
ῥῦσαι καὶ ἀμώμως
δίδου πορεύεσθαί με.

**Σ**ὲ ἐδήλου πάλαι κιβωτὸς
τοῦ νόμου ἢ τὰς πλάκας,
ἁγνή, τὰς θεοχαράκτους
κεκτημένη τυπικῶς·
ἐν σοὶ γὰρ τὴν ἄφεσιν
ὁ Δεσπότης ἔγραψε πάντων
καὶ τὴν χρεωλυσίαν
αἵματι οἰκείῳ
φοινίξας τοὺς δακτύλους.

Ὠδὴ θ'. Τὴν φωτοφόρον νεφέλην.

**Ἵ**να γεραίρω σε πίστει
ἵνα δοξάζω σε πόθῳ
ἵνα σε μέλπω εὐσεβῶς
ἵνα σε μεγαλύνω
ἵνα ὑμνῶ χρεωστικῶς,
Μαρία πανύμνητε,
ἐπίβλεψον
ἐπ' ἐμὲ φιλανθρώπως
καὶ δουλείας
ἐξελοῦ με τῶν παθῶν.

**Ὢ** οἷος μέγιστος φόβος!
ὢ οἷος κλόνος καὶ τρόμος!
ὢ οἷος πόνος καὶ κλαυθμός!
ὢ ἀγὼν ὢ δειλία!
ὢ οἷος τάραχος! ψυχή,
καὶ θόρυβος λάβῃ σε
ἡνίκα σε



διΐστασθαι τοῦ σκήνους
θεῖοι νόες
ᾧ συνέζευξαι νυνί.

**Ἀ**πὸ ψυχῆς κατωδύνου
ἀπὸ καρδίας ἐμπόνου
ἐκ διανοίας ταπεινῆς
καὶ ἐκ συντετριμμένης
ὑπὸ νόσου πεπονθυίας
ἐμφόβου τε πνεύματος
κραυγάζω σοι·
παναγία Παρθένε,
μὴ ἐάσῃς
ἀπολέσθαι με δεινῶς.

**Ν**οὸς ἀνέπτυκτον ὄμμα
ὁ Δανιὴλ κεκτημένος
προβλεπτικῶς προθεωρεῖ
τὴν περίφοβον ὥραν
καὶ τὴν ἡμέραν τὴν φρικτὴν
Χριστέ, τῆς ἐτάσεως
καὶ κρίσεως
ἐν ᾗ ῥῦσαί με πάσης
καταδίκης
τῆς μητρός σου ταῖς εὐχαῖς.

**Ν**ενοσηκότα με, κόρη,
καὶ τὴν ψυχὴν ἀρρωστοῦντα
καὶ προσεγγίσαντα σχεδὸν
τοῦ θανάτου ταῖς πύλαις
καὶ ἀπογνώσει παντελεῖ
λοιπὸν συνεχόμενον
ἐπίσκεψαι
ἡ ἐπίσκεψις πάντων
φιλανθρώπῳ
καὶ εὐσπλάγχνῳ σου ῥοπῇ.

**Ἡ** ἀδιόδευτος πύλη
ἡ ἀγεώργητος χώρα
ἡ θεοχώρητος παστὰς
ἡ θεόβλαστος ῥίζα
ἡ ἀχειρότευκτος σκηνὴ
ἡ κλίμαξ ἡ ἔμψυχος,
πανάχραντε,
δι' ἧς ἄνωθεν κάτω
Θεὸς ἦλθε
καθ' ἡμᾶς σῶσον ἡμᾶς.

**Σ**ὲ τῆς ψυχῆς μου τὴν σκέπην
καὶ τὸ ἀπόρθητον τεῖχος
τὴν ἀρραγῆ περιβολὴν
τὴν βεβαίαν ἐλπίδα
τὴν κραταιὰν καταφυγὴν
τὸ ἄσυλον φρούριον
τὴν πρόμαχον,
τὴν κρηπῖδα, τὸν πύργον,
τὴν μητέρα
τοῦ Θεοῦ μου ἀνυμνῶ.

## 3

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς

« ***Ψυχῆς ἐμῆς γένοιο, Δέσποινα, σκέπη Ἰωάννου μοναχοῦ.*** »

Κώδ. Ι 77
Λαύρας
52 φ. 4β. Βλατέων

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

### *Ἦχος α΄. Ὠδὴ α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.*

**Ψ**αλμικῶς τὰς χεῖρας οἱ πιστοὶ
δεῦτε κρατοῦντες συμφώνως ὑμνήσω-
[μεν
ὄρος τὸ πανάγιον
πύλην Θεοῦ τὴν ὄντως ἀδιόδευτον
κιβωτὸν τὴν θείαν
τοῦ νοητοῦ ἁγιάσματος.

**Ὕ**ψιστον κτήσασα Θεόν
ἀπὸ κοπρίας παθῶν μὲ ἀνύψωσον
τὸν νοῦν μου ἀνώτερον
τῶν χαμαιζήλων ἡδονῶν δεικνύουσα
καὶ τῇ σῇ γεννήσει
βροτῶν τὴν φύσιν ὑψώσασα.

**Χ**άρισαί μοι πένθος χαρμονῆς
καὶ παρακλήσεως θείας παραίτιον
χαρὰ καὶ παράκλησις
τῶν ὀρθοδόξων, Θεοτόκε Δέσποινα,
ἡ χαρὰν τῷ κόσμῳ
καὶ σωτηρίαν πηγάσασα.

**Ἥ**λιον γεννήσασα Χριστὸν
δικαιοσύνης, Παρθένε, τὸν ἄδυτον
φώτισόν μου δέομαι
τὰ τῆς ψυχῆς ἠμαυρωμένα ὄμματα
ἡδονῶν ἀχλύϊ
καὶ ἁμαρτίας παχύτητι.

**Σ**φύζει μου τὸ πνεῦμα συνωθοῦν
εἰς τὸ ὑμνεῖν σου τὴν χάριν τὴν ἔνθεον,
κόρη ἀπειρόγαμε,
ἀλλὰ πτωχὸς ὁ νοῦς καὶ ἄτονος
ὢν οὐ δύναταί μοι
τὸν πόθον ἀφοσιώσασθαι.

Ὠδὴ γ΄. Ὁ μόνος εἰδώς.

**Ἐ**μόλυνα πάθεσι σαρκὸς
ψυχῆς τὸ θεῖον ἔνδυμα
καὶ ἡδοναῖς αἰσχρῶς κατεσπίλωσα
καὶ νῦν αἰσχύνης ῥάκη περίκειμαι
ἀτιμίαν ὕβριν τε
τιμῆς ἀλλαξάμενος
καὶ ζωῆς προτιμήσας τὸν θάνατον.

**Μ**έλλοντα παρίστασθαι, σωτήρ,
τῷ θρόνῳ σου κατάκριτον
καὶ ἀπαιτεῖσθαι δίκας ὧν ἥμαρτον
πρεσβείαις σῶσόν με τῆς τεκούσης σε·
ἀπ᾿ ἐντεῦθεν φρίττω γὰρ
ὢν ἀναπολόγητος
καὶ πρὸ κρίσεως αὐτοκατάκριτος.

**Ἥ**μαρτον, ἱλάσθητι, σωτήρ,
ἠνόμησα, ἐλέησον
ὡς ἐλεήμων καὶ ἀναμάρτητος
καὶ δώρησαί μοι θερμῶν δακρύων πηγήν,
ὅλον με καθάρισον
καὶ παθῶν μου βόρβορον
ἀποκλύζουσαν ταῖς τῆς μητρός σου
[εὐχαῖς.

**Σ**ύ μοι παράστηθι, ἁγνή,
ἐν ὥρᾳ τῆς ἐτάσεως
καὶ κατακρίσεώς με κρινόμενον
παντοίας ῥῦσαι πυρὸς φλογίζοντος
σκώληκος ἐσθίοντος
καὶ ταρτάρου τρύζοντος
καὶ βρυγμοῦ τῶν ὀδόντων καὶ σκό-
[τους πικροῦ.



**Γ**έγονας, Παρθένε, λογικὸς
καὶ ἔμψυχος παράδεισος
πολλῷ τοῦ πρώτου τιμιώτερος·
ὁ φωτουργὸς γὰρ ἁπάσης φύσεως
ζωῆς ξύλον οἷά περ
μέσον ἀνεφύη σου
ἐξ οὗ τρώγοντες πάντες ζωούμεθα.

Ὠδὴ δ΄. Ὄρος σε τῇ χάριτι.

**Ε**ὕροιμι βοήθειαν ἐν ὥρᾳ σε κρίσεως
ἐξαιρουμένην με ποινῆς
καὶ τιμωρίας χαλεπῆς,
ἑτοίμη ἀντίληψις,
χριστιανῶν καὶ θλιβομένων παρά-
[κλησις
ἀβοηθήτων βοήθεια, Δέσποινα.

**Ν**όμους σὺ τῆς φύσεως ἐκαίνισας,
[ἄχραντε,
διὸ ἀνόμως με ἀεὶ
ἐκδαπανῶντα τὴν ζωὴν
πρὸς νόμους ὁδήγησον
θείους, ἁγνή, ὁδοῖς ζωῆς ἐμβιβά-
[ζουσα
ὡς τῷ νόμῳ Κυρίου πορεύσομαι.

**Ὅ**λον σοι διόλου ὁλικῶς ἀνατίθημι
ἐμαυτὸν ὅλον με
ῥῦσαι τῶν βελῶν
τοῦ βελίαρ, ὅλην σε
ἵνα ὑμνῶ τὴν σωτηρίαν ἐξ ὅλης ψυχῆς
τῆς παροικίας ἐν ὅλῳ τῷ χρόνῳ μου.

**Ἴ**αμα ἐκ θείας σου παλάμης ἐπίσταξον
τῇ τετρωμένῃ μου ψυχῇ
ὄφεως δήγματι δεινοῦ
ὅλη ἁγιάσματος
οὖσα πηγὴ ὅλη θαυμάτων ἀνάπλεως
ὅλη ἰάσεων κρήνη ἀείρρυτος.

**Ὄ**ρος σε προεῖδε Δανιὴλ ἀλατόμητον
κατάσκιον ὁ Ἀββακούμ
πύλην ὁ Ἰεζεκιὴλ
Ἰακὼβ δὲ κλίμακα
ὁ Σολομὼν καὶ Γεδεὼν κλίνην πόκον
[τε
ὁ Ἠσαΐας δὲ ῥάβδον, πανύμνητε.

Ὠδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.

**Δ**έδοικά σου
τὸ ἀλάθητον βῆμα καὶ ἄστεκτον
ἐν ᾧ μέλλω
παραστῆναι γυμνὸς ὡς κατάδικος
διὰ τῆς τεκούσης σε
ἐπιστροφῆς ἱμάτιον ἐνδύσας
οἰκτείρησόν με, φιλάνθρωπε.

**Ἐ**ν ψαλμοῖς τε
καὶ εὐχαῖς προσδοκῶν ἁγνοῦσθαι, ἁγνή,
τὸν υἱόν σου
τοὐναντίον ἀεὶ παροργίζω αὐτὸν
ὅλος ἐξελκόμενος
εἰς ῥυπαρὰς καὶ ἀκαθάρτους ἐννοίας
καὶ ἐνθυμήσεις αἰσχράς.

**Σ**τεναγμόν μου
τὸν ἐγκάρδιον πρόσδεξαι, Δέσποινα,
καὶ γενοῦ μοι
ἀγαθὴ παραστάτις καὶ πρόμαχος,
ὅτε ἡ ἀθλία μου
ψυχὴ χωρίζεται τοῦ σκήνους
πρὸς ἄλλον κόσμον ἀπαίρουσα.

**Π**άρεσό μοι
συνεργὸς ὑπερήγορος, Δέσποινα,
ἐν τῇ κρίσει
τῇ φρικώδει καὶ τὰ προτεινόμενα
κατ᾿ ἐμοῦ ἐγκλήματα
καὶ δικαιολογίας ὡς ἀράχνης
εὐλύτους μίτους διάσπασον.

**Ο**ἶδα ὅτι
ὑπὲρ ἅπαντας ἥμαρτον μόνος ἐγὼ
καὶ εἰσέτι
ἁμαρτάνω ἀλλ᾿ οὐκ ἀποστήσομαι
ἀπὸ σοῦ, μητρόθεε,
οὐδὲ πρὸς ἕτερον μεσίτην
διαπετάσω τὰς χεῖράς μου.

Ὠδὴ στ΄. Ἐκύκλωσεν ἡμᾶς.

**Ἴ**δοῦσα μου τὴν κάκωσιν, πανύμνητε,
ἣν ἡ ψυχὴ ὑφίσταται
κρατουμένη ἐν Αἰγύπτῳ τῶν παθῶν
καὶ πλινθοπλαστοῦσα τὴν πηλὸν τῆς
[σαρκὸς
δεῦρο ταχὺ
καὶ τῆς ἀτίμου δουλείας ῥῦσαί με.

**Ν**ῦν ἤγγικε, ψυχή, τὸ τέλος ἤγγικε·
ἀπόθου τοίνυν ἅπαντα
τὰ τοῦ σκότους καὶ νυκτὸς ἔργα δεινὰ
καὶ τὰ τοῦ φωτὸς ὅπλα ἐνδύθητι
περιπατεῖν
ὡς ἐν ἡμέρᾳ μαθοῦσα εὐσχήμως.

**Ἀ**πάλειψον πταισμάτων μου χειρόγραφα
τῷ σπόγγῳ τοῦ ἐλέους σου
τοῦ ἐλέους ἡ γεννήσασα Θεὸν
καὶ τοῖς ἥλοις τούτου τῶν χειρῶν καὶ ποδῶν
ῥῆξον αὐτὰ
καὶ ἐξαφάνισον κατασχίσασα.

**Σ**παράττομαι τὰ σπλάγχνα καὶ συστρέφομαι
τὸν χρόνον τελειούμενον
τῆς ζωῆς μου καθορῶν καὶ ἐμαυτὸν
χείροσιν ἑκάστοτε προκόπτοντα
καὶ ταῖς πληγαῖς
ἐπιτιθέντα πληγὰς καὶ μώλωπας.

**Κ**ατόρθωμα μηδὲν ἔχων ἐνέχειρον
δανείσασθαι, φιλάνθρωπε,
τοῦ ἐλέους σου δηνάριον ζητῶ
εἰς ἐπιστροφὴν καιρὸν αἰτούμενος
δῶρόν μοι δὸς
ἐγγυωμένης με τῆς τεκούσης σε.

## ΚΑΘΙΣΜΑ

**Ἦχος α΄. Χορὸς ἀγγελικός.**

**Ἱ**λέωσαι, ἁγνή,
τὸν υἱόν σου καὶ κτίστην
τοῖς πόθῳ σε ψυχῆς,
Θεοτόκον, φρονοῦσι
καὶ τοῦτον εὐΐλατον
ἐν ἡμέρᾳ τῆς κρίσεως
πᾶσιν ἔργασαι
τοῖς ἐπὶ σοὶ πεποιθόσι·
σὲ γὰρ ἔχομεν
μετὰ Θεόν, Θεοτόκε,
ἐλπίδα οἱ δοῦλοί σου.

Ὠδὴ ζ΄. Σὲ νοητὴν Θεοτόκε κάμινον.

**Ἔ**χων πληθὺν
ἐγκλημάτων ἄπειρον
τοῦ σοῦ ἐλέους τῇ πηγῇ,
Θεοτόκε, προσπεφευγὼς
κράζω σοι· ἐλέησον
ψυχὴν ἀδιόρθωτον
καὶ πρὸς μετάνοιαν ἴθυνον
τὸν ἐν βυθῷ τῆς κακίας
ἀεί με ἐνηχούμενον.

**Π**άθη σαρκὸς
ὡς ἀκρὶς κατέφαγε
τὰς ἐνσπαρείσας σοι, ψυχή,
πρὸς ἀνάληψιν ἀρετῆς
δυνάμεις· γεώδης δὲ
ἅπασα γεγένησαι
ἐξείρψας πλήθη βατράχων τε
τοὺς ὀχληροὺς πονηροὺς
λογισμοὺς καὶ ταραχώδεις ὁμοῦ.

**Ἥ**λοις, Χριστέ,
δι᾽ ἐμὲ τὰς χεῖράς σου
καὶ πόδας θείους ἡλωθεὶς
ἐκ τοῦ φόβου σου τὰς ἐμὰς
σάρκας συγκαθήλωσον
ἵνα πᾶς ἀκίνητος
πρὸς τὰς ὀρέξεις τοῦ σώματος
διατελῶ ἱκεσίαις
τῆς σῆς ἀχράντου μητρός.

**Ἵ**σταμαι νῦν
ὡσπερεὶ κατάδικος
πρὸ τοῦ ἀστέκτου καὶ φρικτοῦ
κριτηρίου τοῦ σοῦ υἱοῦ
πᾶσαν τὴν ἐλπίδα μου,
κόρη, ἀναθέμενος
τῆς σωτηρίας ἐν σοί, ἀγαθή,
διό, ἁγνή, μὴ ἐάσῃς
ἐκεῖ κατακριθῆναί με.

**Ὡ**ς νοητὴ
τοῦ ἡλίου, Δέσποινα,
οὖσα νεφέλη τοὺς ἐμοὺς
ἀποκάλυψον ὀφθαλμοὺς
τῆς περικειμένης μοι
λήμης καὶ παχύτητος
καὶ ἀμαυρᾶς ἐπιχύσεως,
κατανοεῖν τὰ θαυμάσια
δοῦναί μοι τοῦ τόκου σου.

Ὠδὴ η΄. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

**Ἀ**νατείνω χεῖρας ῥυπαρὰς
καὶ ὄμματα ἐπαίρω
πρὸς σέ, κεχαριτωμένη,
καὶ βοῶ ἐν στεναγμοῖς·



ἐλέησον, Δέσποινα,
τὴν ψυχήν μου σώσον ὡς θέλεις
κυβέρνησον ὡς οἶδας
ῥῦσαί με γεέννης
ὥσπερ αὐτὴ γινώσκεις.

**Ν**ομοδότην τέξασα Θεὸν
νομίμων δίχα, κόρη,
τῆς φύσεως τὸν πᾶσι
νομοθετοῦντα τὴν ζωὴν
ἀνόμως βιοῦντά με
καὶ ἀσώτως τάχιον πταίσαντα
ἐπίστρεψον, Παρθένε,
ἡ πρὸς σωτηρίαν
ἐπιστροφὴ τοῦ κόσμου.

**Ν**ῦν δακρύων δίδου ὀχετοὺς
καὶ ὄμβρους ἀειρρόους,
Παρθένε, τοῖς ὀφθαλμοῖς μου
καὶ κλαυθμὸν καὶ στεναγμὸν
πένθος καὶ κατάνυξιν
τῇ ψυχῇ μου ὅπως θρηνήσας
ὑπεξαλείψω πάθη
ἐξ ἀπροσεξίας
ἐμοὶ τὰ συμφυέντα.

**Ὁ** τελώνης πάλαι καὶ λῃστὴς
καὶ πόρνη τὸν Δεσπότην
ἐν δάκρυσιν ἱλεώσαντο·
διὸ καὶ παντελοῦς
ἔτυχον ἀφέσεως·
σὺ δὲ ἀθλία μίαν ῥανίδα
μὴ ἔχουσα δακρύων
ἆρα πῶς σωθήσει,
ψυχὴ πεπωρωμένη.

**Ὑ**πὲρ δούλων καὶ ἁμαρτωλῶν
ἀνθρώπων ὁ υἱός σου
δι᾽ ἔλεον, Θεοτόκε,
οὐκ ἀπενήνατο θανεῖν·
διό με τὸν ἅπαντας
ἐν κακίᾳ ὑπερνικῶντα
ἐλέησον καὶ σῶσον·
ἐπὶ σοὶ γὰρ μόνῃ
σαλεύω τὰς ἐλπίδας.

Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς λοχείας σου.

**Μ**έγας κοπετὸς καὶ θόρυβος
μέγας ἀγὼν καὶ φόβος ἀνεκδιήγητος
ἡνίκα ψυχὴ
τῆς συναφείας τοῦ σώματος
μετὰ βίας χωρίζεται τρέμουσα
καὶ μὴ ἐπισταμένη
ποῖος αὐτὴν τόπος ἐκδέξεται.

**Ο**ἴμοι! ἄρα τί γενήσομαι
τί δὲ καὶ πράξω τότε ὁ ἀδιόρθωτος
ὅταν ἐν πυρὶ
τὰ ἐν κρυφῇ πεπραγμένα μοι
δοκιμάζονται καὶ ἐξελέγχονται
ἐμῇ ἐπὶ ζημίᾳ
καὶ ἀπωλείᾳ συγκαιόμενα.

**Ν**έφει τὸν τιθέντα, πάναγνε,
τὴν ἑαυτοῦ ἐπίβασιν σὺ ἐβάστασας·
διὸ νέφει με
τῆς ζοφερᾶς καλυπτόμενον
ἁμαρτίας, νεφέλη θεόδροσε,
καταύγασον νεφέλαις
τὸν ἐντελλόμενον γεννήσασα.

**Ἄ**φνω ὁπηνίκα γένηται
κραυγὴ ἐν μέσῳ τῆς νυκτός· ἰδοὺ ἔρχεται
ὁ νυμφίος ὁ νῦν
πρὸς ὑπαντὴν αὐτοῦ δράμετε·
φαεινὴν ὑπανάψαι λαμπάδα μοι
παράσχου, Θεοτόκε,
καὶ τὴν αὐτοῦ δοξάσαι ἔλευσιν.

**Χ**αίροις ἡ τοῦ κόσμου Δέσποινα·
χαῖρε χαρᾶς αἰτία λύπης ἀναίρεσις·
χαῖρε θυμηδία
τῶν ψυχῶν καὶ παράκλησις
χαρμονὴ τῶν ἐν θλίψει ἀνάψυξις
τῶν ἐν κακοπαθείᾳ
χαῖρε πιστῶν ἄσυλον φρούριον.

**Ὄ**ρος τοῦ Θεοῦ πανάγιον
ὃ δεξιὰ Κυρίου προκατειργάσατο
ἀπωλείας με
περιπλανώμενον ὄρεσι
καὶ κρημνοῖς καὶ βαράθροις πλαζόμενον
ζητήσασα πρὸς ὄρος
τῆς ἀρετῆς με χειραγώγησον.

*Ὕ*ψος τὸ τοῦ μυστηρίου σου
κατανοῆσαι, κόρη, πάντη ἀδύνατον
οὐ μόνον βροτοῖς
ἀλλὰ καὶ νόων στρατεύμασι·
τὸν Θεὸν γὰρ τὸν πάντα ποιήσαντα
βουλήσει ἐκ μὴ ὄντων
ὑπερφυῶς ἐσωμάτωσας.

---

4

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

« ***Σώτειρα σῶσον σοί με προσπεφευγότα· ὕμνος Ἰωάννου.*** »

Κῶδ. 1 77
Λαύρας
52 φ. 12α. Βλατέων

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

---

## *Ἦχος α΄. Ὠδὴ α΄. Σοῦ ἡ τροπαιοῦχος.*

*Σ*άκκῳ καὶ σποδῷ καὶ στεναγμῷ
καὶ ἐγκλαυθμῷ καὶ νηστείᾳ καὶ δάκρυσι
πρὶν μετανοήσαντας
τοὺς Νινευΐτας ὁ υἱός σου ᾤκτειρε·
σὺ δὲ δωρεάν με,
θεογεννῆτορ, ἐλέησον.

*Ὡ*ς ἔμψυχος νέος οὐρανὸς
δικαιοσύνης ἀνέτειλας ἥλιον,
κόρη, καὶ ἐβλάστησας
ὡς λογικὸς καὶ μυστικὸς παράδεισος
ξύλον ζωηφόρον
ἐξ οὗ φαγόντες οὐ θνήσκομεν.

*Τ*ὸν ἄσωτον σῶσόν με υἱὸν
προσπεφευγότα τῇ σκέπῃ σου, Δέσποινα,
σὺ γὰρ τὸν σωτῆρά μου
ἐκυοφόρησας ἡ κοσμοσώτειρα
τὸν ἐλθόντα σῶσαι
κόσμον δεινοῦ κοσμοκράτορος.

*Ἔ*χων ἀκατάνυκτον ψυχὴν
καὶ πρὸς δακρύων γονὴν ὅλην ἄγονον
οἷα πέτραν ἄνικμον
ἀναισθητῶν εἰμι καὶ βαρυκάρδιος·
σὺ δέ, Θεομῆτορ,
τὴν πώρωσίν μου διάλυσον.

*Ἵ*λεων ἐν κρίσει τὸν κριτὴν
καὶ εὐμενῆ χρηματίσαι μοι, Δέσποινα,
δέομαι δυσώπησον
καὶ παριδεῖν μου τὰ πολλὰ ἐγκλήματα
ὅτε τῷ ἀπρέκτῳ
αὐτοῦ παρίσταμαι βήματι.

Ὠδὴ γ΄. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

*Ρ*αθύμως, ἁγνή, διαδραμὼν
τοῦ χρόνου τὴν περίοδον
καὶ τῆς ἐμῆς ζωῆς τὸ διάστημα
ἐν ἀμελείᾳ πολλῇ ἐβίωσα
καὶ τῷ τέλει ἤγγισα
καλῶν ἔργων ἔρημος·
δωρεάν με ἐλέησον, Δέσποινα.

*Ἀ*νάνηψον, ῥάθυμε ψυχή,
τὸν ὕπνον ἀποτίναξον
καὶ τὸ νωθρῶδες βάρος ἀπόρριψον
καὶ μετανοίας θερμοῖς ἐν δάκρυσι
τῇ μητρὶ τοῦ κτίστου σου
πρόσπεσον κραυγάζουσα,
Θεοτόκε Παρθένε, βοήθει μοι.

*Σ*τενάζω καὶ κλαίω καὶ θρηνῶ
τὴν ὥραν ἐνθυμούμενος
καὶ τὴν φρικτὴν ἡμέραν τῆς κρίσεως
καθ' ἥν, ἃ ἔργα τοῦ σκότους ἔπραξα,
ἀνακαλυφθήσονται
καὶ θριαμβευθήσονται
εἰς αἰσχύνην μου θεατριζόμενα.



*Ὠ*δῖνές ἀνερράγησάν μοι ἀπειλ...
εἰς βάθρον ἀπογνώσεως
χερσὶ φρονέσεως τοῦ παλαμναίου
[λῃστοῦ·
ἀντιλαβοῦ μου, κόσμου ἀντίληψις,
σὺ γὰρ εἶ, πανάμωμε,
ἰσχύς μου καὶ ὕμνησις
σύ μοι, Δέσποινα, καὶ σωτηρία γενοῦ.

*Σ*ειραῖς τῶν ἐμῶν ἁμαρτιῶν
συσφίγγομαι· σχοινία γὰρ
ἁμαρτωλῶν μοι περιεπλάκησαν
παγίδες δόλοι σατανικῶν λογισμῶν
καὶ ἐν τοῖς κρατίστοις μου
τοῖχοί μοι ἐπέπεσον
ἅπερ λῦσον, ἁγνή, ὡς ἀράχνης ἱστόν.

Ὠδὴ δ΄. Ὅρος σε τῇ χάριτι.

*Ὀ*νειδος ἀνθρώπων καὶ λαοῦ ἐξου-
[θένημα
τοῦ χριστωνύμου καὶ πιστοῦ
καὶ νεολέκτου Ἰσραὴλ
ἐπὶ τοῦ πανδήμου σου
καὶ φοβεροῦ καὶ παγκοσμίου θεά-
[τρου, Χριστέ,
τῆς Θεοτόκου πρεσβείαις μὴ δείξῃς με.

*Ν*εύματι ἀβύσσους ὁ ξηραίνων καὶ
[θάλασσαν
ὁ τήκων ὄρη ἀπειλῇ
ποιῶν τε τρέμειν πᾶσαν γῆν
φρικώδει σου βλέμματι,
Λόγε Θεοῦ, ἵλεῳ ὄμματι πρόσχες μοι
τῆς σῆς μητρὸς ἱκεσίαις καὶ σῶσόν με.

*Σ*βέσον μου, Παρθένε, τὴν φλογί-
[ζουσαν κάμινον
τῶν φλογοτρόφων ἡδονῶν
δρόσῳ ἁγνείας καὶ πυρὶ
ἀΰλῳ κατάφλεξον
ψυχῆς ἐμῆς τὰ ἀκανθώδη ζιζάνια
ὑλομαχοῦντα τὸν νοῦν μου καθαίρουσα.

*Ὅ*μοιος ἀλόγοις ὤφθην ζώοις καὶ
[κτήνεσιν
ὁ λογικὴν καὶ νοερὰν
ἔχων ψυχήν· καὶ γὰρ ὁρμαῖς
ἀλόγων ὀρέξεων
εἴκω σαρκὸς ὡς κτῆνος ἄνουν καὶ
[ἄλογον,
Λόγου λοχεύτρια Δέσποινα, σῶσόν με.

*Ἰ*σχῦ μου τὸν λόγον ἡ αἰσχύνη τῶν
[ἔργων μου
σβέννυσι δέ μου τὴν φωνὴν
ἡ τῆς ψυχῆς μου ἐντροπὴ
δεσμεῖ καὶ τὴν γλῶτταν μου
τὸ συνειδὸς καὶ τὴν εὐχὴν ἀναδύομαι
μόνῃ σιγῇ κράζων, Δέσποινα, σῶσόν
[με.

Ὠδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.

*Μ*ετανοίας
ὁ καιρός, ὦ ψυχή, μεταγνώσωμεν·
ἡ ἡμέρα
στεναγμῶν καὶ δακρύων δακρύσωμεν·
κλαύσωμεν, θρηνήσωμεν,
ἵνα διὰ καλῶν δακρύων
γεέννης δάκρυα φύγωμεν.

*Ἐ*ξελοῦ με
ἐξ ὑδάτων πολλῶν τῶν αἰσχρῶν λογισμῶν
ἐκ χειρός τε
ἀλλοτρίων υἱῶν τε δαιμόνων, ἁγνή,
ὧν περ ματαιότητα
σαφῶς ἐλάλησε τὸ στόμα
κατὰ Θεοῦ παντοκράτορος.

*Π*τερνοσκόπος
καὶ ἐπίβουλος ὄφις ἀρχέκακος
τοῦ ἀνθρώπου
ὁ τηρῶν οἷα πτέρναν τὰ ἔσχατα,
ὅτε ἡ ἀθλία μου
ψυχὴ χωρίζεται τοῦ σκήνους,
μή με συλλάβοι, πανάμωμε.

*Ρ*υπωθεῖσαν
μιασμοῖς ἡδονῶν τὴν ψυχήν μου, ἁγνή,
σπιλωθεῖσαν
μολυσμοῖς τε παθῶν τὴν καρδίαν μου
κάθαρον ἀπόλλυνον
θερμῶν δακρύων ἐπιρροίᾳ
καὶ κατανύξεως δάκρυσιν.

*Ὁ* ἐκ πέτρας
ἀκροτόμου ἐκβλύσας ὑδάτων πηγὰς
καὶ ποτίσας
ἐν ἐρήμῳ λαὸν μυριάριθμον
ἐκ μαζῶν σου, Δέσποινα,
βρεφοπρεπῶς θηλάζει γάλα·
ὃν ἐκδυσώπει σωθῆναι ἡμᾶς.

Ὠδὴ στ΄. Ἐκύκλωσεν ἡμᾶς

**Σ**τενάξωμεν, ψυχή μου, καὶ πενθήσωμεν·
ἡ κρίσις γὰρ ἐφέστηκεν
  ἐπὶ θύραις ὁ κριτὴς ὁ φοβερὸς
ὁ τοῖς μὴ πενθοῦσιν ἀδυσώπητος
  ἵλεως δὲ
μετανοοῦσι καὶ ἐπιστρέφουσιν.

**Π**λατεῖαν καὶ εὐρύχωρον καὶ ἄνετον
τρίβον, ψυχή, βαδίζουσα
  τὴν ὁδὸν τὴν τεθλιμμένην καὶ στενὴν
φεύγεις ὡς τραχεῖαν καὶ ἐπίπονον·
  ὅθεν σαυτὴν
πρὸς τιμωρίας πικρὰς ἑτοίμαζε.

**Ἐ**λέους ἡ τεκοῦσα μέγα πέλαγος
καὶ ἄβυσσον χρηστότητος
  ἐν πελάγει ῥυπαρῶν με λογισμῶν
καὶ παθῶν ἀβέσσῳ χειμαζόμενον
  τῷ γαληνῷ
τῆς μετανοίας ὅρμῳ προσόρμισον.

**Φ**ρικώδες τῆς φρικτῆς ἐσχάτης σάλπιγγος
ἠχούσης καὶ ἐξαίσιον
  ἐκπιπτόντων τῶν ἀστέρων οὐρανοῦ
ἀναρρηγνυμένης καὶ τρεμούσης τῆς γῆς
  καὶ τῶν νεκρῶν
ἐγειρομένων τίς οὐ τρομάξειε;

**Ἐ**κάλυψεν ἡ ἀρετὴ καὶ δόξα σου
τοὺς οὐρανούς, ὡς γέγραπται,
  καὶ ἐπλήσθη τῆς αἰνέσεως τῆς σῆς
ἅπασα ἡ γῆ, Θεογεννήτρια,
  πᾶσαι καὶ γὰρ
φυλαὶ καὶ γλῶσσαι σὲ μακαρίζομεν.

## ΚΑΘΙΣΜΑ

### *Ἦχος α΄. Χορὸς ἀγγελικός.*

**Λ**υχνία χρυσαυγής,
τοῦ ἡλίου τῆς δόξης
  λαμπὰς λευκοφαής
τοῦ φωτὸς τοῦ ἀδύτου
  νεφέλη πυρσεύουσα
τοῦ πατρὸς τὸ ἀπαύγασμα
  τῆς καρδίας μου
ἀμβλυωπούσας τὰς κόρας
  φωταγώγησον
μαρμαρυγαῖς ἀκηράτοις
  καὶ θείοις ἀμαρύγμασιν.

Ὠδὴ ζ΄. Σὲ νοητὴν Θεοτόκε κάμινον.

**Ὑ**περβολῇ
φυσικῆς χρηστότητος
  καὶ συμπαθείας ἐπ' ἐμοὶ
φιλανθρώπως μακροθυμεῖ
  τὴν ἐμὴν μετάνοιαν
μένων καὶ διόρθωσιν
  ὁ σὸς υἱός, ἐπιχαίρομαι,
διό μοι δὸς ἀγαθὸν λογισμὸν
  ἐπιστροφῆς ἀγαθῆς.

**Γ**ονυπετεῖν
μὴ ἰσχύων σώματι
  ἐξ ἀσθενείας τῶν νεφρῶν·
οἱ νεφροί μου γὰρ ψαλμικῶς
  πάλαι ἠλλοιώθησαν
οὐ καλὴν ἀλλοίωσιν·
  γόνυ καρδίας προσκλίνω σοι
καὶ δυσωπῶ τὴν ψυχήν μου,
  πανύμνητε, ἐλέησον.

**Ὁ** καταβὰς
οὐρανόθεν, Δέσποτα,
  πρὸς τοὺς ἐν γῇ διὰ στοργὴν
καὶ γαιόθεν πρὸς οὐρανὸν
  ἀναβὰς τὸ δεύτερον
εἰς γῆν μέλλων ἔρχεσθαι
  ἐξ οὐρανοῦ μετὰ δόξης πολλῆς
κρῖναι βροτοὺς ἱκεσίαις
  σῆς μητρὸς ἐλέησόν με.

**Τ**ί ἀμελεῖς
ἀνάλγητε, λήθαργε
  καὶ σκληροκάρδιε ψυχή;
τί νυστάζεις ὡς ἐν νυκτὶ
  τί καθεύδεις ῥέγχουσα;
ὥρα πανηγύρεως
  καιρὸς καλοῦ συναλλάγματος·
κλαῦσον πικρῶς, συνηθείας
  κακῆς ἀλλοτριώθητι.

**Ἀ**ποσκοπῶν
τὴν δευτέραν ἔλευσιν
  τοῦ σοῦ υἱοῦ, μῆτερ Θεοῦ,
τὴν φρικώδη τοῖς κατ' ἐμὲ
  καὶ τὴν ἀνυπόστατον
ὄντως ἀπειλὴν αὐτοῦ
  καὶ σὺν ὀργῇ ἀγανάκτησιν
τρόμῳ ληφθεὶς εἰς τοὺς σοὺς
  οἰκτιρμοὺς προσφεύγω· σῶσόν με.



Ὠδὴ η΄. Ὃν φρίττουσιν ἄγγελοι.

**Υ**ἱὸν ἡ γεννήσασα
Θεῖον υἱὸν Θεοῦ,
  υἱὸν γεγονότα με
γέννης καὶ νυκτὸς
  φωτὸς κληρονόμον
καὶ ἡμέρας υἱὸν
  καὶ τῆς βασιλείας
μέτοχον δεῖξον, κόρη.

**Μ**αρία πανύμνητε
ἐλπὶς χριστιανῶν
  ἀμνὰς ἡ κυήσασα
ποιμένα καὶ ἀμνὸν
  τῆς ἐκ δεξιῶν με
καταξίωσον
  μοίρας τῶν προβάτων
καὶ μάνδρας οὐρανίου.

**Ν**υκτὶ συσχεθέντα με
ἀτόπων ἡδονῶν
  χοῖ συγχωσθέντα με
ἐκτόπων λογισμῶν
  ἀνάψασα λύχνον
εὐσπλαγχνίας τῆς σῆς
  ζήτησον, Παρθένε,
καὶ σῶσον ἐφευροῦσα.

**Ο**ὐ κέκτημαι δάκρυα
οὐ κέκτημαι κλαυθμὸν
  οὐκ ἔχω κατάνυξιν
οὐκ ἔχω στεναγμὸν
  ἐκπεπωρωμένης
ἀναισθήτου ψυχῆς
  ἀπόπλυνον, κόρη,
πέτραν σκληρᾶς καρδίας.

**Σ**υνέχομαι πάντοθεν
δεινῶς ἀμηχανῶν
  τὴν ὥραν τῆς κρίσεως·
λαμβάνων κατὰ νοῦν
  αὐτή μου, Παρθένε,
τότε πρόστηθι,
  θερμὴ προστασία
τοῦ γένους τῶν ἀνθρώπων.

Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς λοχείας σου.

**Ἵ**ππος δυσπειθὴς δυσήνιος
ἐπαυχένιος ἔχων, θρασὺς, ἀγέρωχος,
  ἄτακτα σκιρτῶν
ἐν πολικῷ τῷ φρυάγματι
  περηνὴς μου τὸ σῶμα κατέβαλε
τὸν νοῦν τὸν ἐπιβάτην
  πρὸς ἁμαρτίας βαθὺ βάραθρον.

**Ὢ** πῶς τῷ φρικώδει βήματι
καὶ τῷ ἀπέκτῳ θρόνῳ παραστασθήσομαι
  δίκας τῶν ἐμῶν
ἁμαρτιῶν εἰσπραττόμενος
  καὶ εὐθύνας πικρὰς ἀπαιτούμενος
ὧν ἔπραξα ἐν βίῳ
  σύ μοι, Παρθένε, πρόστηθι.

**Ἅ**παξ τῆς ζωῆς ὁ χρόνος μου
εἰς τὸ μηδὲν ὡς ῥέον ὕδωρ ἐχώρησε
  κίνδυνοι δὲ ᾅδου
καὶ ὠδῖνες κυκλοῦσί με
  καὶ παγίδες θανάτου συνέχουσι,
Παρθένε, μὴ μακρύνῃς
  τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ τοῦ πτωχοῦ.

**Ν**ίψαι, ψυχή, σου τὸ πρόσωπον
τοῖς τῶν θερμῶν δακρύων ζέουσιν ὕδασι
  τὸν ἐξ ἁμαρτίας
μολυσμὸν ἀποπλύνουσα
  καὶ τὸ δύσμορφον αἶσχος καθαίρουσα
ἵνα τῷ σῷ νυμφίῳ
  φανῇς ὡραία καὶ ἐπίχαρις.

**Ν**όες ἀγαθοί, πανύμνητε,
τὴν ταπεινὴν ψυχήν μου παραλαβέτωσαν
  νοῦν τὸν ἀλαζόνα
καὶ ἀσσύριον τύραννον
  τὴν αὐτοῦ τε μισάνθρωπον φάλαγγα
ζητοῦσαν συλλαβεῖν με
  σταυροῦ τῷ δόρατι σκεδάζοντες.

**Ὅ**τε νοερῶν δυνάμεων
αἱ στρατιαὶ καὶ φάλαγγες σαλευθήσονται

πίπτει δὲ τὰ ἄστρα
καὶ σκοτίζεται ἥλιος
οὐρανὸς ὡς βιβλίον εἱλίσσεται
ἡ γῆ κλονεῖται φόβῳ
σύ μου, Παρθένε, τότε μνήσθητι.

*Ὕ*λην πυρὶ καὶ ὑπέκκαυμα
βορὰν τροφὴν δαπάνην ἀπλήστῳ σκώ-
[ληκι
σκώληκα τεχθέντα
σαφῶς καὶ οὐκ ἄνθρωπον
μὴ ἐάσῃς γενέσθαι με, Δέσποινα,
τῇ σῇ δὲ μεσιτείᾳ
πάσης κολάσεώς με λύτρωσαι,

---

5

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

« ***Δέξαι δέησιν δευτέραν σῶν οἰκετῶν.*** »

Κῶδ. Θ 66
φ. 21 Λαύρας.
370 φ. 10β. Ἐθν.
Βιβλ. Παρισίων.

---

***Ἦχος α΄. Ὠδὴ α΄. Σοῦ ἡ τροπαιοῦχος.***

***Δ***ώρησαι δακρύων μοι πηγὴν
καὶ καθαράν, Θεοτόκε, ταπείνωσιν
βίον ἀνεπίληπτον
καὶ πολιτείαν ἀκραιφνῆ, πανάμωμε,
ἵνα σου δοξάζω
τὸν πλοῦτον τῆς ἀγαθότητος.

*Ἔ*χων σε βοήθειαν, ἁγνή,
καὶ ἀσφαλῆ καὶ βεβαίαν ἀντίληψιν
πάσας ὑπερβήσομαι
τὰς μεθοδείας τοῦ ἐχθροῦ, πανάμωμε,
καὶ ἐν ταπεινώσει
διατελέσω τὸν βίον μου.

*Ξ*ίφει τῆς πρεσβείας σου, ἁγνή,
τοὺς δερματίνους χιτῶνας διάρρηξον
οὕς περ νῦν ἐνδέδυμαι
καὶ σωτηρίου ἔνδυσον ἱμάτιον
καὶ τῆς εὐφροσύνης
χιτῶνα, θεοχαρίτωτε.

*Ἄ*βυσσον ἐκύησας, ἁγνή,
τῆς εὐσπλαγχνίας Χριστὸν τὸν Θεὸν
[ἡμῶν·
ὅθεν ἱκετεύω σε
τῶν ἀμετρήτων μου κακῶν τὴν ἄβυσσον
ξήρανον, Παρθένε,
ταῖς εὐπροσδέκτοις πρεσβείαις σου.

Ὠδὴ γ΄. Ὁ μόνος εἰδώς.

*Ἰ*άτρευσον, Δέσποινα ἁγνή,
τὰ πάθη τῆς καρδίας μου·
τὸν ἰατρὸν γὰρ πάντων ἐκύησας
τὰς ἀσθενείας ἡμῶν βαστάσαντα
καὶ τὰς νόσους ἄραντα
Χριστὸν τὸν Θεὸν ἡμῶν,
Θεοτόκε παρθένε πανύμνητε.

*Δ*ολίως ἁρπάσαι με ζητεῖ
ὁ ὄφις ὁ παμπόνηρος
καὶ ἑαυτοῦ ποιῆσαι κατάβρωμα
ἀλλ᾽ οἰκτειρόν με καὶ τῆς ἐνέδρας αὐτοῦ,
Θεοτόκε, λύτρωσαι
τὸν ἐν σοὶ κατέχοντα
τῆς ἐλπίδος, Παρθένε, τὴν ἄγκυραν,

*Ἐ*κύκλωσαν κύνες με πολλοὶ
ζητοῦντες τὴν ἀπώλειαν
τῆς ταπεινῆς μου ψυχῆς, πανάμωμε,
ἀλλὰ τῆς τούτων ἐπιδρομῆς χαλεπῆς
δυσωπῶ ἀπάλλαξον·
ἐπὶ σὲ γάρ, Παρθένε,
ἀδιστάκτῳ καρδίᾳ κατέφυγον.

Ὠδὴ δ΄. Ὄρος σε τῇ χάριτι.

*Ἡ* κρίσις ἐφέστηκε, ψυχή μου, γρη-
[γόρησον



τῆς ῥᾳθυμίας τὸν βαθὺν
ὕπνον ἀπόθου καὶ Χριστῷ
ἀγρύπνως νῦν βόησον
τῆς σῆς μητρὸς ταῖς ἱκεσίαις ἐλέησον
τὸν εἰς βυθόν με κακίας ἐλάσαντα.

*Σ*ειράς μου, Παρθένε, τῶν πταισμά-
[των διάλυσον
καὶ τῷ συνδέσμῳ τῆς Χριστοῦ
ἀγάπης σύνδησόν με νῦν
καὶ τῶν αἰωνίων με
καὶ φοβερῶν ἀπάλλαξον δέομαι
τὸν προσδραμόντα τῇ σῇ ἀγαθότητι.

*Ἰ*σχύς μου καὶ στήριγμα χαρά μου
[καὶ στέφανος
καὶ τῶν δεινῶν ἀπαλλαγὴ
καὶ τῆς ψυχῆς μου φωτισμὸς
ὑπάρχεις, πανάμωμε,
διὸ τὴν σὴν ἐπικαλοῦμαι βοήθειαν
κλῖνον τὸ οὖς σου καὶ πρόσχες μοι,
[Δέσποινα.

*Ν*αόν σε γινώσκομεν Θεοῦ καθιερώ-
[μενον
τοῦ ποιητοῦ τῶν οὐρανῶν
καὶ πάσης κτίσεως, ἁγνή,
ὅθεν σοι κραυγάζομεν
ναοὺς ἡμᾶς τοῦ θείου Πνεύματος
[ποίησον
τοὺς τὴν θερμήν σου πρεσβείαν πλου-
[τήσαντας.

Ὠδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.

*Δ*ουλωθέντα
τῇ χειρὶ τοῦ δεινοῦ κοσμοκράτορος
τῆς αὐτοῦ με
τυραννίδος, ἁγνή, ἐλευθέρωσον
καὶ ὑπὸ τὴν χεῖρά με
τὴν κραταιὰν ταπεινωθῆναι
τοῦ σοῦ υἱοῦ καταξίωσον.

*Ε*πλήθυναν
ὑπὲρ ψάμμον θαλάσσης τὰ πταίσματα
τῆς ψυχῆς μου
καὶ οὐκ ἔστι μοι ἄνεσις, Δέσποινα,
ὡς τεκοῦσα πέλαγος
τῆς εὐσπλαγχνίας λύτρωσαί με
τῆς κατεχούσης κακώσεως.

*Ὑ*περῆρον
αἱ πολλαί ἀνομίαι μου, πάναγνε,
τὴν ἀθλίαν
κεφαλήν μου
καὶ βάρει καμπτόμενος
τῶν πλημμελημάτων μου
οἰκτείρησόν με τὸν δοῦλόν σου.

*Τ*ὸν κλύδωνα
τῶν πολλῶν μου πταισμάτων κατεύ-
[νασον
καὶ τὸν σάλον
τῶν παθῶν μου, ἁγνή, καταπράϋνον
καὶ πρὸς ἀπαθείας με
βαθεῖαν ἴθυνον γαλήνην
τὸν σὲ γνησίως δοξάζοντα.

Ὠδὴ ς΄. Ἐκύκλωσεν ἡμᾶς.

*Ἐ*πίβλεψον, ἁγνή, ἐπὶ τὸν δοῦλόν
[σου
καὶ πᾶσαν διασκέδασον
τῆς ψυχῆς μου τὴν ἀχλὺν τῷ σῷ φωτὶ
καὶ ἐπὶ τὸ φῶς τῶν προσταγμάτων Θεοῦ
ὡς ἀγαθὴ
ὁδήγησόν με, Θεοχαρίτωτε.

*Ρ*ομφαίᾳ τοῦ ἐχθροῦ τὴν ταπεινήν
[μου ψυχὴν
ἐτρώθην ὁ ταλαίπωρος·
ἡ τεκοῦσα τὸν τρωθέντα τὴν πλευρὰν
ἴασαι τὸ ἄλγημά μου δέομαι
καὶ εἰς χαρὰν
τὴν τῆς ψυχῆς μου λύπην μετάβαλε.

*Ἀ*νάγαγε, ἁγνή, ἐκ κατωτάτου με
βυθοῦ τῆς ἀπογνώσεως
καὶ πρὸς ὅρμον μετανοίας ἀληθοῦς
ἴθυνόν με δέομαι τὸν δοῦλόν σου·
καὶ γὰρ πρὸς σὲ
τοὺς ὀφθαλμούς μου ἦρα, πανάμωμε.

Ὠδὴ ζ΄. Σὲ νοητήν.

*Ν*οῦν καὶ ψυχὴν
καὶ σαρκὸς ἀσθένειαν
σοὶ ἀνατίθημι βοῶν·
Θεοτόκε, ἡ κραταιὰ
σκέπη τῶν τιμώντων σε
ἵλεως γενοῦ ἡμῖν
τοῖς μελῳδοῦσι τῷ τόκῳ σου

ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Σ**άρκα λαβὼν
ἐξ ἁγνῶν αἱμάτων σου
ὁ ὑπερούσιος Θεὸς
σὲ προστάτιν τῶν γηγενῶν
ἔδειξε, πανάμωμε,
ὅθεν σοι δεόμεθα
πάσης ἀνάγκης ῥῦσαι τοὺς ψάλλοντας·
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Ὡ**ς καθαρὸν
Θεοῦ ἐνδιαίτημα
τὴν μολυνθεῖσάν μου ψυχὴν
τῶν παθῶν ταῖς ἐπαγωγαῖς,
πάναγνε, καθάρισον
καὶ βοᾶν ἀξίωσον
ἐν καθαρᾷ καρδίᾳ τῷ κτίσαντι
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η΄. Ἐν καμίνῳ παῖδες.

**Ν**εμομένην ἄσχετον ὁρμήν,
Παρθένε, τῶν κακῶν μου
ἀνάστειλον· τὸν γὰρ μόνον
ἀναμάρτητον Θεὸν
ἀφράστως ἐκύησας
ᾧ βοῶμεν πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Ὁ** τῶν ὅλων κτίστης καὶ Θεός,
φιλάνθρωπε σωτήρ μου,
πρεσβείαις τῆς σὲ τεκούσης
τοὺς ἐλπίζοντας εἰς σὲ
διάσωσον ψάλλοντας
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Ἵ**να πάντες, Δέσποινα ἁγνή,
φωναῖς χαριστηρίοις
δοξάζωμεν ἐκ πόθου
καὶ τιμῶμέν σε πιστῶς
διάσωσον ἅπαντας
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Κ**ρίμινόν μου νῦν τοῦ λογισμοῦ
τὰς ἐμπαθεῖς κινήσεις
παθῶν τε τῶν ψυχοφθόρων
τὰ ἰνδάλματα, ἁγνή,
εἰς τέλος ἐξάλειψον ἵνα μέλπω·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς.

**Ἔ**χεις εὐσπλαγχνίας ἄβυσσον
ὡς τετοκυῖα, Θεοτόκε πανύμνητε,
ἀγαθότητος
Χριστὸν τὸ ἄπειρον πέλαγος
διὰ τοῦτο τοὺς σὲ μεγαλύνοντας
ἐλέησον καὶ ῥῦσαι
τῆς αἰωνίου κατακρίσεως.

**Τ**ί σοι, ὦ ψυχὴ ταλαίπωρε,
καὶ ταῖς βεβήλοις πράξεσιν αἷς ἠχρείωσαι
ἀλλὰ πρόφθασον
καὶ τῷ Δεσπότῃ σου βόησον
τῇ ὀργῇ σου, Χριστέ, μὴ παιδεύσῃς με
πρεσβείαις τῆς μητρός σου
ἀλλ᾽ οἴκτειρον καὶ σῶσόν με.

**Ὥ**ραν τοῦ θανάτου δέδοικα
διὰ τὸ πλῆθος τῶν κακῶν μου, πανάμωμε,
ἀλλά, Δέσποινα,
ἐν τῷ καιρῷ τῆς ἐξόδου μου
τὴν ψυχήν μου ἐξάρπασον δέομαι
ἐπιδρομῆς δαιμόνων
καὶ ἀναπαύσεως ἀξίωσον.

**Ν**έμοις ἱλασμὸν καὶ ἄφεσιν
τοῖς προσκυνοῦσι τὸν σὸν τόκον, πανύμνητε,
καὶ ἀξίωσον
ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως
τῶν δικαίων τυχεῖν τῆς λαμπρότητος
τοὺς πίστει σε καὶ πόθῳ
ἀξιοχρέως μεγαλύνοντας.



## 6
## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κώδ. 354 φ. 273α.
Ἐθν. Βιβλ. Παρισίων
I 67 Λαύρας.

***Ἦχος α΄. Ὠδὴ α΄. Πικρᾶς δουλείας.***

**Ὑ**πείκει φόβῳ, παντάνασσα,
ἀγγέλων τάξις ἅπασα λαμπρύνειν σε,
ὑμνεῖ δὲ δι᾽ ἀγαθότητα
ἅπας νοῦς ὡς μητέρα
τοῦ πλαστουργοῦ·
οὐ γὰρ ἐγκωμίων
ὑπερβέβηκας θεσμοὺς
Χριστὸν γεννήσασα.

**Δ**εινοῖς κινδύνοις πεδούμενος
ἐχθρῶν ἐκ δυσμενῶν ὁ ταλαίπωρος
κλαυθμῷ προσφωνῶ· ὑψόθεν μοι
ἔκτεινον πανολβίαν
χεῖρα τὴν σὴν
καὶ ἐξαιρουμένη
ἀκινδύνως με βιοῦν
δεῖξον πρεσβείαις σου.

**Ψ**υχῆς τὰ κρύφια πταίσματα
φαρμάκῳ συμπαθείας θεράπευσον
καὶ παῦσον σαρκὸς ἀείθανον
ὅρμημα, Θεοτόκε,
καὶ τῶν ἐχθρῶν
δόρατα καὶ βέλη
ἀντωθήσασα στερρῶς
καρδίαις ἔμπηξον.

**Ν**ομὴν ἀρχαίαν ἠφάνισε
νηδὺς παρθενικὴ βροτοκτόνον
Χριστὸν ἐμφανῶς κυήσασα·
ὅθεν πᾶσα ἡ κτίσις
χαίρει, ἁγνή,
νῦν ὡς ζωωθεῖσα
καὶ συμφώνως ἀνυμνεῖ
τὸν σὸν υἱὸν καὶ Θεόν.

Ὠδὴ γ΄. Τῷ πρὸ τῶν αἰώνων.

**Ἰ**ακὼβ ὁ μέγας
ἐν ὁδῷ τοὺς ἀγγέλους καθεύδων ποτὲ
ἀφικνουμένους ἐξ ὑψόθεν
διὰ κλίμακος, κόρη,
ἐν γῇ καθορῶν ἐκπέπληκτο
καὶ ἀφυπνώσας προυγράφει σαφῶς
πύλην σε οὐράνιον.

**Χ**ρονιακρατορίᾳ
πειρασμοῖς βεβλημένος ὁ τάλας ἐγὼ
καὶ ταῖς νιφάσι τῶν κινδύνων
μαστιζόμενος οἴμοι!
βοῶ· ἡ Θεὸν κυήσασα
τὸν ἀνυψοῦντα τὸ κέρας ἡμῶν
σῶσόν με πρεσβείαις σου.

**Ο**ὐρανόθεν χεῖρα
κραταιὰν ἔκτεινόν σου Χριστέ, ὁρατῶν
καὶ νοουμένων κατεάξας,
Ἰησοῦ μου, τὰς κάρας
ἐχθρῶν ἐν ποσὶ κατάβαλε
τῶν Θεοτόκον μητέρα τὴν σὴν
πίστει κηρυττόντων σου.

**Ἠ**σαΐας πάλαι
καθαρθεὶς τῇ λαβίδι τοῦ Πνεύματος
ἐκ σῆς νηδύος ἀριδήλως,
πανολβία Παρθένε,
υἱὸν ἐκβοᾷ τεχθήσεσθαι
ὃν ἐπ᾽ ἐσχάτοις καιροῖς δι᾽ ἐμὲ
ἄτερ ἀνδρὸς τέτοκας.

Ὠδὴ δ΄. Ῥάβδος ἐκ τῆς ῥίζης.

**Σ**ὲ μόνην ὡς οὖσαν γυναικῶν
ὡραίαν καὶ ὑπέρτιμον
ὡς ἐξ ἐρήμου ἀναβαίνουσαν
καὶ στέλεχος τὸν Χριστὸν
ἐν ἀγκάλαις φέρουσαν,
μῆτερ τοῦ Θεοῦ, προδιετύπου
ὁ εἰρηνάρχης βοῶν
δόξα τῇ δυνάμει σου, Κύριε.

**Κ**λῖνόν μοι τὸ οὖς σου, ἀγαθή,
καὶ ἴδε μου τὴν κάκωσιν
καὶ τῶν κινδύνων τὸ ἐπάλληλον·

ἐν σοὶ γὰρ τὸ τῆς ψυχῆς
ἀνατείνας, Δέσποινα,
ὄμμα ἐν κλαυθμῷ τὸ γόνυ κλίνας
νῦν ἐξαιτῶ σε βοῶν
παῦσον πειρασμῶν μου τὸν τάραχον.

*Τ*εῖχός σε ἀπόρθητον ἰδὼν
ἐπάλξει τῆς πρεσβείας σου
ὁ σὸς οἰκέτης νῦν προσπέφευγα
καὶ βέλη τὰ τῶν ἐχθρῶν
ὡς νηπίων ἥγημαι
θίξιν ἀδρανῆ, ὦ πανολβία,
διὸ καὶ χαίρων βοῶ
δόξα, Θεομῆτορ, τῷ τόκῳ σου.

*Δ*ύναμις ὑψίστου ἐπὶ σέ,
Παρθένε, ἐπεσκίασεν
τῇ ἐπελεύσει θείου Πνεύματος
καὶ τότε ὑπερφυῶς
ὁ ἁπάντων Κύριος
σάρκα καὶ ψυχὴν ζωοπλαστήσας
προσήνωσεν ἑαυτῷ
μένων ἐν ταὐτότητι φύσεως.

Ὠδὴ ε΄. Θεὸς ὢν εἰρήνης.

*Θ*εῖόν σε προβλέπων
παῖς Δανιήλ
ἀλατόμητον ὄρος, πανύμνητε,
ἐβόα προφανέστατα τμηθήσεσθαι ἐκ σοῦ
λίθον θεοτοκίας
Χριστὸν σωτῆρα κόσμου
ὃν πίστει νῦν σέβοντες
ἀνευφημοῦμέν σε, θεόνυμφε.

*Κ*ινδύνοις ὁ τάλας
πολλοῖς πεπτωκὼς
ἐν ὀδύνῃ καὶ πένθει καρδίας μου
λιτάζω ἀνενδότως ὁ λάτρης σου βοῶν·
ῥῦσαι, θεομῆτορ,
δεινῶν τῶν συνεχόντων
τὴν ἐμὴν ταπείνωσιν
καὶ θυμηδίας με ἐμφόρησον.

*Π*αθῶν μου, ἡ αἴθυς
ἐκτὸς ἀγαθή,
ἀγριαῖνον κατεύνασον πέλαγος
τῷ σθένει τῆς πρεσβείας σου ὡς τέξασα
[Χριστὸν
ὅπως σε ἐν γαλήνῃ
ψυχῆς νῦν βιοτεύων
τὸ λοιπὸν ἐν ταινίαις
τῆς βιοτῆς μου ἐκθειάζω σε.

*Θ*εὸν πῶς ἐν ἀγκάλαις
εἰπὲ γαλουχεῖς
τὸν τὰ πάντα χειρὶ περιέποντα,
ὦ κόρη παμμακάριστε;
ἐγώ, φησιν, ἁγνὴ
μένω καὶ μετὰ τόκον
Χριστὸν Θεὸν τεκοῦσα
τοῦ Ἀδὰμ τὸ ὄφλημα
καὶ τῆς προμήτορος ἐξαίρουσα.

Ὠδὴ στ΄. Σπλάγχνων Ἰωνᾶν.

Ὤ*π*ται μὴ ἐκστὰς
κόλπων τοῦ γεννήτορος
ἐν κόλποις μητρὸς υἱὸς προχρόνιος.
ἐπ' ἐσχάτων γὰρ
ὁ πρὸ πάντων αἰώνων συνὼν τῷ πατρὶ
ἐκ νηδύος τῆς Παρθένου προελήλυθε
πάντας πρὸς ζωὴν ἀκήρατον
ἐπανάγων ἀρρήτῳ χρηστότητι.

*Β*ρόχοις πεδηθεὶς
ἐχθρῶν ἐκ κακότητος
ἐν ᾅδου μυχοῖς οἴμοι! ἀπέρριμμαι
ἀλλὰ πάρεσο
οὐρανόθεν φοιτῶσα, θεόπαις ἁγνή,
ἀνιστῶσα ταῖς πρεσβείαις με τὸν λά-
[τρην σου·
χεῖρα βοηθείας νέμεις γὰρ
τοῖς ἐνθέως ὑμνοῦσι τὸν τόκον σου.

*Β*άθει συμφορῶν
ὁ ἄθλιος πέπτωκα
καὶ θῆρες πολλοὶ περιστοιχοῦσί με
ἀλλά, Δέσποινα,
προσευχῶν σου ταῖς λίθοις ἀπέλασον
καὶ ἀπήμαντον σὸν δοῦλον διαφύλαξον·
λίθον ἀκρογωνιαῖον γὰρ
τὸν Χριστὸν ἐν σῇ μήτρᾳ ἐβάστασας.

*Π*άλαι προφητῶν
θεῖος προηγόρευσε,
Παρθένε, χορὸς τόκου σου σύμβολα
φῶς νεφέλην σε
καὶ λυχνίαν καὶ στάμνον καὶ τράπεζαν
καὶ οὐράνιον ψεκάδα ἄρτον μάννα τε



πύλην θρόνον καὶ παλάτιον
ῥάβδον κῆπον Χριστὸν ὡς ἀνθήσασαν.

Ὠδὴ ζ΄. Οἱ παῖδες εὐσεβείᾳ.

Ὀ*θ*όνην διὰ πάλης ἐξ ἀβύσσου
εὐπλεκῶς, παντάνασσα, ὁ προσιόντας
[τῆς σῆς
καὶ ἁγνείας σου τὰ σήμαντρα
σῷα δείκνυσι, σεμνή, καὶ μετὰ γέννησιν,
ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

*Κ*λίνῃ βεβλημένος ἐπωμέτροις
ταῖς φλογμοῖς συγκαίομαι ἐκ ψυχοτρό-
[πων τε
δεινῶν· ἀλλ' αὐτὴ δρόσον με, Δέ-
[σποινα,
ἐπομβρήσαις, ἀγαθή, ταῖς σαῖς δεήσεσι
καὶ παρατρύναις βοᾶν ὁ Θεὸς εὐλο-
[γητὸς εἶ.

*Π*άθεσιν ἐγγηράσας καὶ ἀσχέτοις
πειρασμοῖς καὶ θλίψεσι καὶ πρὸς τοῦ
[βίου μου
δυσμὰς πεφθακὼς ἀρετῶν ἄμοιρος
ἀμελείᾳ συντραφεὶς βοῶ σοι, Δέσποινα·
παρηγορία βροτῶν ἐλέησόν με.

*Τ*ριάδα ἐν μονάδι ὀρθοδόξως
οἱ πιστοὶ λατρεύοντές σε, μητροπάρθενε
[ἁγνή,
ὡς Θεὸν σαρκὶ κυήσασαν
καταγγέλλοντες βροτοὶ ἐνθέως ψάλλο-
[μεν·
ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Θαύματος ὑπερφυοῦς.

*Λ*όγιον πανάληθὲς τοῦ ἱερέως
ἐξιστόρησε τόκον σου, κόρη,
ἀληθῶς γὰρ τέτοκας Λόγον θεῖον
καὶ τὴν νηδὺν οὐδ' ἤνοιξε,
Παρθένε, ἣν διῆλθε Θεός·
διὸ γεγηθότες Θεοτόκον σε
κατὰ χρέος συμφώνως πάντες γεραί-
[ρομεν
καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄ*κ*ανθαν τὴν ἐμφυῆ τῆς ἀπραξίας
πυρὶ σύμφλεξον, πάναγνε, θείῳ
ἐν ψυχῇ μου θάλλουσαν σαῖς πρε-
[σβείαις
καὶ ἀρετῶν ἐξανάτειλον
λειμῶνα πολυκαρπίας Χριστοῦ·
ἐκ σοῦ γὰρ τὸ ἄνθος τὸ ἀείζωον
ἐκβλαστῆσαν τὴν κτίσιν πᾶσαν πυρέ-
[πεισε,
θεοκυῆτορ ἁγνή, μητέρα στέργειν.

*Φ*άρμακον ἐν τοῖς δεινοῖς, θεογεν-
[νῆτορ,
ἀκεσώδυνον δίδου μοι τάχος·
πεπτωκὼς γὰρ θλίψεσι καὶ ἀνάγκαις
σοῦ τὴν ῥοπὴν εἰς ἀντίληψιν
ὁ τάλας προσκαλοῦμαι θρηνῶν·
διό, πανυγία, ἐπιτάχυνον
τοῦ ἐξάραι καὶ ῥῦσαι πάσης κολάσεως
ὅπως ἀνυμνῶν εὐλογῶ τὴν σὴν λοχείαν.

*Π*άλαι σε ὑπερφυῶς Ἀαρωνίτις
ἐξεικόνισε, Παρθένε, ῥάβδος·
σὺ γὰρ μόνη τέτοκας συναφείας
ἄτερ ἀνδρὸς τὸν οὐράνιον
νῦν ὄμβρον δεξαμένη γαστρί·
διὸ γεγηθότες Θεοτόκον σε
κατὰ χρέος συμφώνως πάντες γεραί-
[ρομεν
καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Παράδοξον τὸ τῆς Παρθένου μυστήριον.

Ὁ*ρ*ῶντές σε μόνην Θεοῦ ὡς ὑπέρ-
[βασιν
οὐρανῶν αἴγλην, ἄσπιλε,
θρόνον χερουβικὸν καὶ παστάδα
καὶ κλίνην ἁγίαν
βροτοὶ εὐφημοῦντες μεγαλύνομεν
Χριστὸν τὸν Θεόν, ὃν
ἐκ λαγόνων ἁγνῶν τέτοκας.

*Κ*υκλόθεν μοι θλίψεις πολλαὶ καὶ
[ἐπάλληλοι
συμφοραὶ συμπίπτουσι
πόνοι τε καὶ δειναὶ νῦν ἁμαρτίαι
εἰς βόθρον καθεῖλξαν·
διό σε λιτάζω ἐν πικρίᾳ μου
ψυχῆς, πανυγία
Θεοτόκε, λύτρον εὕροιμι.

*Ε*ἰρήνευσον κόσμον, Χριστέ, ταῖς ἐν-
[τεύξεσιν
τῆς ἁγνῆς θεόπαιδος
κάμπτων ἐχθρικὴν δυναστείαν

πρὸς πόδας ἀνάκτων
πιστῶν καὶ γαλήνην ἀνεκλάλητον
αὐτοῖς πρυτανεύων
εἰς αἰῶνας διαφύλαξον.

**Ν**ῦν γόνυ σοι κλίνω ψυχῆς ἐν κλαυ-
[θμῷ
ἐξαιτῶν τὴν λύτρωσιν
πόνων καὶ συμφορῶν καὶ κινδύνων
ῥύσασθαι, Χριστέ μου,
ἐν σοὶ καὶ πταισμάτων τὴν συγχώ-
[ρησιν
τὴν σὴν προβαλλόμενος
ἁγνὴν μητέρα πρέσβιν ἀρίστην.

---

# 7

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς κατ' ἀβ.

ἐν δὲ τοῖς ὑστέροις Τροπαρίοις « Κ[λ]ήμεντος »

ΠΟΙΗΜΑ ΚΛΗΜΕΝΤΟΣ

Κώδ. 354 φ. 10β.
Ἐθν. Βιβλ. Παρισίων
I 67 Λαύρας.

***Ἦχος α'. Ὠδὴ α'. Ὠδὴν ἐπινίκιον.***

**Ἀ**γίασμα ἄχραντον
χαῖρε, Παρθένε·
ἀγγέλων ἐγκώμιον
καὶ δοχεῖον Πνεύματος
καὶ νύμφη ἄμωμε
πατρὸς ἀνάρχου τοῦ Θεοῦ
καὶ μήτηρ Λόγου Θεοῦ.

**Β**ασίλισσα πέφυκας
ὡς βασιλέως
θυγάτηρ βλαστήσασα,
Θεοτόκε Δέσποινα,
καὶ βασιλέα Θεὸν
Θεὸν γεννήσασα μετὰ σαρκὸς
καὶ βασιλεύουσα.

**Γ**εραίρει τὴν δόξαν σου
Δαυὶδ ὁ ψάλλων
ὑμνεῖ Ἡσαΐας δὲ
τὴν νηδὺν τὴν ἄχραντον,
Μαρία πάναγνε,
χριστιανῶν δὲ λαὸς
ᾄδει τὸν τόκον σου.

**Κ**ηρύττει τὸν τόκον σου
ἡ ἐκκλησία,
Παρθένε θεόνυμφε,
ὀρθοδόξοις δόγμασι
καὶ πράγμασι θεϊκοῖς·
τὰ σύμβολα γὰρ τῆς σαρκὸς
τοῦ σοῦ υἱοῦ προσκυνεῖ.

Ὠδὴ γ'. Λίθον ὃν ἀπεδοκίμασαν.

**Δ**όξαν παρθενίας ἔχουσα
ἀνεδύσω χάριν Πνεύματος ἁγίου
φανεῖσα Θεοτόκος
καινὸν τὸ μυστήριον
καὶ ἀποκεκρυμμένον·
πῶς γὰρ Θεὸν τεκοῦσα παρθενεύεις.

**Ἔ**ργον ὃ εἰργάσω, Κύριε, τίς ἀνευ-
[φημήσει ;
ἣν γὰρ κατηράσω ἐν λύπαις τίκτειν
[τέκνα
υἱὸς ἐδείχθης ταύτης
καὶ χαίρει τοῦ θήλεως
ἡ ἀπωσθεῖσα φύσις σοι
τῷ Θεῷ διὰ τῆς Θεοτόκου.

**Ζ**άλης ἐγκλημάτων λέλυται διὰ σοῦ
ὁ κόσμος,



ἄχραντε Μαρία Θεοτόκε μόνη·
διὰ σὲ ὡς λιμένα
σωτήριον σέβοντες
ἀνευφημοῦμεν οἱ πιστοὶ
ᾄδοντες τὰ μεγαλεῖά σου.

**Ἤ**σε παρθενίᾳ τίκτειν σε ὁ προφή-
[της πάλαι
ἄχρονον ἐν χρόνῳ καὶ ὑπὲρ λόγον
τὸν ἕνα τῆς Τριάδος
Χριστὸν τὸν Θεὸν ἡμῶν
ὅνπερ ἡ ἐκκλησία μήτηρ,
ἁγνή, τιμᾷ τὰ σύμβολα.

Ὠδὴ δ'. Ἐν πνεύματι προβλέπων.

**Ἡ** πάμφωτος διάπρα
τῶν θείων προφητῶν
πολυτρόπως ἤνιξε
τὰ σύμβολα τὰ σά·
ἡμεῖς δὲ ἔργῳ τῶν τύπων σου τὰς
[ἐκβάσεις
ἀπολαβόντες Θεοτόκον σε κυρίως
πράγματι εἰδότες δοξάζομεν.

**Θ**εοῦ σε ἐπαξίως
μητέρα ἀληθῶς
Θεοτόκον σέβοντες
δοξάζομεν ἡμεῖς
οἰκειοτέραν προσφέροντες τὴν φωνήν
[σοι
τῆς ἐν τῷ νόμῳ καὶ προφήταις κηρυ-
[χθείσης·
μεῖζον γὰρ μητρὸς οὐ συγχαίρει υἱός.

**Ἰ**δοὺ τὸ θεῖον ὄρος
ὃ εἶδεν Ἀββακοὺμ
ἀρεταῖς κατάσκιον
ὑπάρχει ἐμφανῶς
ἡ Θεοτόκος ἀνέτειλεν ἐν τῷ κόσμῳ
δι' ἧς οἱ πάλαι ἀπωσθέντες παραβάσει
αὖθις τῷ Θεῷ προσελήφθημεν.

**Μ**ακάριον τὸ ἔθνος,
πανύμνητε ἁγνή,
ὃ τιμᾶν ἠξίωται
τὸν τόκον σου πιστῶς
ὀρθοδοξίᾳ καὶ δόγμασι καὶ τοῖς ἔργοις
τῆς ἀληθείας ἐμφανίζον
πᾶσιν τοῦ υἱοῦ σου τὴν σάρκωσιν.

Ὠδὴ ε'. Ἐκ νυκτὸς ὀρθρίζοντες.

**Κ**ρυφιομύστως ἐδήλου
ὁ Μωϋσῆς σε
βάτον ἀφλεκτον,
Θεοτόκε Δέσποινα,
τῆς ἐνύλου γαστρός σου
μὴ φλεχθείσης τῇ θεότητι.

**Λ**όγου Θεοῦ σε μητέρα
ἀνυμνοῦντες,
Θεοτόκε ἁγνή,
τὴν ἐκ λόγων φέρομεν
προσφυῶς δωρεάν σοι
ᾗ περ χαίρειν σοι πιστεύομεν.

**Μ**εμολυσμένων χειλέων
μὴ ἀπώσῃ
τὰ ἐγκώμια,
Θεοτόκε ἄχραντε,
οὐ γάρ ἐστιν ἀξίως
ἐπὶ γῆς ὁ σὲ ὑμνῆσαι τολμῶν.

**Ε**ἷς ὑπάρχει ἐν δύο
ταῖς οὐσίαις
ἐκ Παρθένου τεχθεὶς
ὡς Θεὸς ἀόρατος
ὡς δὲ ἄνθρωπος ἑκὼν
δι' ἡμᾶς καθωμοιώθη βροτοῖς.

Ὠδὴ ς'. Τὸν προφήτην Ἰωνᾶν.

**Ν**οερὰν σε λυχνίαν
τὴν ἑπτάφωτον ὁρῶ
ὁ προφήτης, Παρθένε,
προδεικνύων ἐμφανῶς
τοῦ Πνεύματος
τὰς ἐνεργείας
ἀπαστραπτούσας ἐν σοί.

**Ξ**ύλον ὤφθης, Παρθένε,
ζωηφόρον ἀληθῶς
τῷ καρπῷ θανατοῦσα
τῆς ἀπάτης τὸν ὄφιν
ἀνθρώποις δὲ
ζωὴν τεκοῦσα
Χριστὸν τὸν Κύριον.

**Ο**ὐχ ὡραῖος ὁ αἶνος
ἐκ χειλέων ῥυπαρῶν
σοὶ προσφέρεται, μῆτερ
τοῦ Θεοῦ ἡμῶν ἁγνή,

ἀλλ' ἴδε μου
ψυχῆς τὸν πόθον
καὶ τοῦτον πρόσδεξαι.

**Ν**αυτιῶσι τῷ σάλῳ
ἀπιστίας τῆς πικρᾶς
ὡς βλέπουσι μόνον
ὀρθοδόξων τοὺς χορούς
οἱ ἄνομοι
ἀσπαζομένους
τὴν σήν, Παρθένε, μορφήν.

Ὠδὴ ζ'. Τοὺς ἐν καμίνῳ παῖδάς σου.

***Π***εποικιλμένη ὤφθης ἀρεταῖς,
θεόνυμφε, δόξῃ καὶ τιμῇ παρθενικῇ·
ὡραῖος γὰρ
τοῦ εὐπρεποῦς κάλλους σου ὄντως
ἐρασθεὶς ὁ Κύριος
σὲ προηγάγετο
μητέρα θείαν αὐτοῦ.

***Ρ***άβδος ἁγνή, εὐθύτητος σαφῶς
γεγένησαι ῥάβδος βασιλείας τιμαλφής·
ὅθεν καρπὸν
τὸν τοῦ Θεοῦ Λόγον βλαστάνεις
καὶ τὸ θαῦμα πόρρωθεν
ἡ Ἀαρὼν ἐμφανῶς
ῥάβδος ὑπέφηνεν.

**Σ**ωματικοῖς με πάθεσι πολλοῖς
ῥυπώσαντι σῶμά τε καὶ λόγον καὶ ψυχὴν
πῶς σου, ἁγνή,
τῶν ἀρετῶν ᾄσω τὸ κάλλος
ἀπορῶ καὶ δέδοικα·
ἀλλ' αὐτὴ γενοῦ μοι
ταῖς σαῖς εὐχαῖς βοηθός.

***Τ***ῆς σῆς, Χριστέ, σαρκώσεως τιμῶ
τὴν ἕνωσιν ταύτης καὶ τὸ εἶδος προσκυνῶ
θεοπρεπῶς
ὅτι Θεὸς ὢν πρὸ αἰώνων
ἐκ Παρθένου γέγονας
βροτὸς ἀφύρτως αὐτὸς
κατ' ἄμφω τέλειος.

Ὠδὴ η'. Ὃν φρίττουσιν ἄγγελοι.

***Τ***ὸ θεῖον ἁγίασμα
ὑμνείσθω τοῦ Θεοῦ
δι' ἧς ἐλυτρώσατο
τὸν κόσμον ἐκ φθορᾶς·
ἀνάστητε πάντες
οἱ πεσόντες ποτέ·
Μαρία γὰρ τίκτει
Χριστὸν τὴν σωτηρίαν.

**Ὑ**μνοῦμέν σε, ἄχραντε
καὶ μῆτερ τοῦ Θεοῦ,
καὶ τίς οὐ δοξάζει σε
τὴν ὄντως ἀγαθὴν
τὴν ὄντως ἐλπίδα
τῶν ψυχῶν ἡμῶν·
διό, Παναγία,
τὴν δέησίν μου δέξαι.

**Φ**αιδρύνθητε σήμερον
τοῖς ᾄσμασι πιστῶς
δοξάσατε ἄνθρωποι
καὶ ἄγγελοι ὁμοῦ·
διάβολος πίπτει
καὶ ἀπόγνωσις·
Μαρία γὰρ τίκτει
ἐλπίδα σωτηρίας.

***Ο***ὐ γράφω θεότητα
μὴ ψεύδεσθε τυφλοί·
ἁπλῆ γὰρ ἀόρατος
ἀνείδεός ἐστι·
σαρκὸς δὲ τὸν τύπον
ἱστορῶν προσκυνῶ
καὶ πίστει δοξάζω
τὴν τεκοῦσαν Παρθένον.

Ὠδὴ θ'. Τὴν φωτοφόρον νεφέλην.

**Χ**αίροις Μαρία τὸ μέγα
πάσης κτίσεως θαῦμα·
χαῖρε θυγάτηρ μὲν Δαυὶδ
τοῦ Κυρίου δὲ μήτηρ·
χαῖρε τὸ ᾆσμα Γαβριήλ·
χαῖρε καταφύγιον
καὶ στήριγμα
καὶ βοήθεια πάντων,
Παναγία,
τῶν ἐν γῇ ἁμαρτωλῶν.

**Ψ**άλλει ἐν πνεύματι θείῳ
ᾄδει εὐχάριστον ᾆσμα
Ἰωακεὶμ ὁ θαυμαστὸς
καὶ ἡ ἔνθεος Ἄννα



ὅτι κατεῖδον ἀπὸ γῆς
μητέρα τοῦ κτίσαντος
ἣν ἔτεκον
θυγατέρα Μαρίαν
ὧν πρεσβείαις
σῶσον πάντας ὁ Θεός.

***Ὦ*** παναγία Παρθένε,
μῆτερ Θεοῦ τοῦ ὑψίστου,
σοῦ ἡ λοχεία ἐπὶ γῆς
σωτηρία ἐδείχθη
ἁμαρτωλοῖς καὶ ταπεινοῖς·
ἐν σοὶ γὰρ ἐσώθημεν
πιστεύσαντες·
ἀλλὰ σώζεις καὶ νῦν με
καὶ εἰς πάντα
τὸν αἰῶνα τῆς ζωῆς.

**Σ**ωματωθέντα τὸν Λόγον
ἀλλ' οὐ τραπέντα γινώσκω·
ὅθεν ὑμνῶ αὐτὸν πιστῶς·
δύο μὲν τὰς οὐσίας
τὴν δὲ ὑπόστασιν ἐν ᾗ
σαφῶς καθωράθη καὶ
ὡς ἄνθρωπος
μίαν αὖθις καὶ ταύτην
δογματίζων
τὴν ᾠδὴν ἀποπληρῶ.

---

# 8
# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κῶδ. 354 φ. 15α
Ἐθν. Βιβλ. Παρισίων.
I 67 Λαύρας.
Θ 66 φ. 4. Λαύρας.

*Ἦχος α'. Ὠδὴ α'. Σοῦ ἡ τροπαιοῦχος.*

***Ὁ*** ταῖς στρατιαῖς τῶν οὐρανῶν
ἀκατανόητος, κόρη πανάμωμε,
σάρκα ἀνελάβετο
ἐκ τῆς σαρκὸς τῆς σῆς καὶ ἀνεπλάσατο
τοὺς καταφθαρέντας
τῇ παραβάσει τὸ πρότερον.

**Ὕ**μνοις μακαρίσωμεν πιστοὶ
τὴν τοῦ Θεοῦ ὑπὲρ λόγον λοχεύτριαν·
αὕτη γὰρ ἡ πάναγνος
τῶν γηγενῶν ἐδείχθη ἐγκαλλώπισμα
πάντων τε προστάτις
ἁμαρτωλῶν γεγένηται.

***Ὤ***φθης πλατυτέρα οὐρανῶν
τὸν ποιητὴν τῶν ἁπάντων χωρήσασα,
μῆτερ ἀειπάρθενε·
ὅθεν βοῶ στενοχωρίας πάσης με
θανάτου γεννώσης,
Θεοχαρίτωτε, λύτρωσαι.

***Δ***ὸς ἡμῖν βοήθειαν, ἁγνή,
χειμαζομένοις τῷ σάλῳ τῶν θλίψεων
θραῦσον τῶν ἐχθρῶν ἡμῶν
τὰς πονηρὰς ἐπάρσεις καὶ πρυτάνευσον
πᾶσι σωτηρίαν
τοῖς εὐσεβῶς σε δοξάζουσιν.

Ὠδὴ γ'. Ὁ μόνος εἰδώς.

***Ὁ*** πλήρης κενοῦται δι' ἡμᾶς
καὶ δέχεται ὁ ἄναρχος
ἐκ σοῦ ἀρχήν, Παρθένε πανάμωμε,
καὶ θεωρεῖται ὁ ἀθεώρητος
καὶ ὁ τρέφων ἅπαντας
γάλακτι ἐκτρέφεται
καινουργῆσαι βροτοὺς προμηθούμενος.

***Ἴ***ασαι τὸ σύντριμμα ἡμῶν,
Παρθένε ἀπειρόγαμε,
τὸν ἰατρὸν τεκοῦσα καὶ Κύριον
τὸν τὰς εἰσόδους ἡμῖν γνωρίσαντα
τῆς ζωῆς ἐν χάριτι
ὃν ἀπαύστως αἴτησαι
οἰκτειρῆσαι καὶ σῶσαι τοὺς δούλους σου.

***Ἡ*** μόνη τὴν φύσιν τῶν βροτῶν
θεώσασα, πανάμωμε,

τῷ ὑπὲρ φύσιν τόκῳ σου αἴτησαι
ἁμαρτημάτων ἡμῖν συγχώρησιν
καὶ τὴν ἀγαλλίασιν
τὴν διαιωνίζουσαν,
Παναγία Παρθένε πανύμνητε.

**Ῥ**αθύμως ἀνύων τὴν ζωὴν
προσπίπτω σοι, πανάμωμε,
ταῖς πρὸς Θεὸν ἀεὶ ἱκεσίαις σου
διέγειρόν μου τὸν νοῦν καὶ λάμπρυνον
ὅλον ἀμαυρούμενον
μετανοίας λάμψεσιν
ἵνα πίστει καὶ πόθῳ δοξάζω σε.

Ὠδὴ δ'. Ὄρος σε τῇ χάριτι.

**Θ**εῖόν σε παλάτιον τοῦ Λόγου γινώσκομεν
ἐν ᾧ οἰκήσας σαρκικῶς
ἐκαινοποίησεν ἡμᾶς
φθαρέντας τοῖς πάθεσιν·
ὅθεν, ἁγνή, Θεοῦ μητέρα σε σέβομεν
καὶ τὸν ἐκ σοῦ γεννηθέντα δοξάζομεν.

**Ὤ**κησε τὴν μήτραν σου ὁ Λόγος σαρκούμενος
καὶ τὴν οἰκήσασαν τὸ πρὶν
ἀρὰν τὴν φύσιν τῶν βροτῶν,
Παρθένε, ἐξώκισε
καὶ τῇ αὐτοῦ θείᾳ ἑνώσει ἐθέωσε·
θεοπρεπῶς διὰ τοῦτο ὑμνοῦμέν σε.

**Ἔ**στησας τὴν ῥύμην τοῦ θανάτου κυήσασα
ἀθανασίας τὴν πηγὴν
Χριστὸν τὸν Κύριον, ἁγνή,
αὐτὸν οὖν ἱκέτευε
τὰ τὴν ἐμὴν ψυχὴν νεκροῦντα ἰάσασθαι,
θεοχαρίτωτε, πάθη καὶ σῶσαί με.

**Ν**έκρωσιν ὑπέστη ὁ Ἀδάμ, παναμώμητε
ἐξ οὗ ἐγεύσατο καρποῦ
φθοροποιοῦ νῦν δὲ τῇ σῇ
κυήσει ἐζώωται
καὶ ἐν σκηναῖς τοῦ παραδείσου αὐλίζεται
χρεωστικῶς διὰ τοῦτο ὑμνοῦμέν σε.

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

**Ἀ**νέτειλεν
ἐκ γαστρός σου ὁ ἄδυτος ἥλιος, πανάμωμε,
καὶ τὸ σκότος
τελείως ἠφάνισε καὶ τὴν γῆν ἐφαίδρυνε
ταῖς ἐπιγνώσεσι ταῖς θείαις·
ὅθεν πιστῶς ἀνυμνοῦμέν σε.

**Τ**ὸ χαῖρέ σοι
τοῦ ἀγγέλου κραυγάζομεν, ἄχραντε,
ἐκύησας
τῆς μεγάλης βουλῆς γὰρ τὸν ἄγγελον
καὶ πατρὶ συνάναρχον
σάρκα γενόμενον, Παρθένε,
διὰ τὸ σῶσαι τὸν ἄνθρωπον.

**Ὁ** Κύριος
κατοικήσας, ἁγνή, τὴν γαστέρα σου
ἐρρύσατο
εὐσεβῶς εἰς αὐτὸν τοὺς πιστεύοντας
κατακυριεύοντος
ἐχθροῦ· διὸ μεγαλοφώνως
πάντες ὑμνοῦμέν σε, ἄχραντε.

**Φ**ορέσας με
ὁ Δεσπότης ἐκ σοῦ προελήλυθε, πανάμωμε,
καὶ φθαρεῖσαν
τὴν φύσιν ἐθέωσεν·
ἀλλ' αὐτὸν ἱκέτευε
γυμνὸν ἁπάσης ἁμαρτίας,
θεογεννῆτορ ποιῆσαί με.

Ὠδὴ στ'. Ἐκύκλωσεν ἡμᾶς.

**Ἀ**σπόρως ἐν γαστρὶ Θεὸν συνέλαβες
παρθένος διαμείνασα
μετὰ κύησιν, πανάμωμε, φρικτήν·
ὅθεν ἐν αἰνέσει σε δοξάζομεν
οἱ διὰ σοῦ
λελυτρωμένοι κατάρας, ἄχραντε.

**Ἡ** κλίμαξ Ἰακὼβ ἣν ἐθεάσατο
τὸ ὄρος τὸ κατάσκιον
ἡ ὁλόφωτος νεφέλη τοῦ φωτὸς
πύλη ἣν ὁ Θεὸς μόνος διώδευσεν
ἐν γυναιξὶν
εὐλογημένη σὺ εἶ, πανάμωμε.



**Ν**οσίμων ψυχικῶν τέτοκας ἄνωθεν,
Παρθένε ἀπειρόγαμε,
ἀναπλάττοντα ἡμῶν τὴν συντριβὴν
Λόγον τοῦ Θεοῦ τὸν ἐνυπόστατον·
ὃν ἐκτενῶς
σωθῆναι πάντας ἡμᾶς ἱκέτευε.

**Ν**οσοῦσαν τὴν ψυχὴν ταῖς παραβάσεσι
προσφέρων ἀνακράζω σοι·
Παναγία ὑπερένδοξε ἁγνή
ἴασαί με πᾶσαν μεσιτείας σου
ὅπως ὑμνῶ
καὶ μεγαλύνω τὴν προστασίαν σου.

Ὠδὴ ζ'. Σὲ νοητὴν Θεοτόκε.

**Ν**όμου σκιαὶ
καὶ τὰ πρὶν αἰνίγματα
τῶν θεηγόρων προφητῶν
τὸν σὸν ἄσπορον τοκετὸν
ἤδη προεδήλωσαν,
ἄχραντε πανάμωμε,
ὃν ἀνυμνοῦντες κραυγάζομεν
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Ἀ**νατολὴ
τοῦ ἡλίου γέγονας,
θεοχαρίτωτε ἁγνή,
τοῦ φωτίσαντος τῶν πιστῶν
πάντα τὰ πληρώματα
νύκτα τε μειώσαντος
τῆς δυσσεβείας· ὅθεν τιμῶμέν σε
τὸν αἰνετὸν τῶν πατέρων
Θεὸν ἀποκυήσασαν.

**Β**άτος ποτὲ
ἄφλεκτος, πανάμωμε,
τὴν σὴν εἰκόνιζε νηδύν·
οὐ γὰρ ἔφλεξέ σε τὸ πῦρ
ὅλως τῆς θεότητος·
ὅθεν ἱκετεύω σε
πυρὸς ἀσβέστου με λύτρωσαι
ὅπως ὑμνῶ ἀσιγήτως,
ἁγνή, τὰ μεγαλεῖά σου.

**Μ**ῆτερ Θεοῦ
τῶν πιστῶν βοήθεια
ἁμαρτανόντων ἱλασμὸς
ἀγαθῶν πάντων παροχή,
δέξαι με προσπίπτοντα
καὶ τῇ εὐσπλαγχνίᾳ σου
τῇ συμπαθεῖ προσερχόμενον
μετὰ κλαυθμοῦ καὶ αἰτοῦντα
λύσιν τῶν πταισμάτων μου.

Ὠδὴ η'. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

**Ν**ομικοί σε τύποι καὶ τὰ πρὶν
αἰνίγματα, Παρθένε,
Κυρίου ἁγνὴν μητέρα
προεδήλωσαν σαφῶς·
ἡμεῖς δὲ τὴν ἔκβασιν
τῶν πραγμάτων νῦν κατιδόντες
ὑμνοῦμέν σε συμφώνως
καὶ δοξολογοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

**Ὡ**ραιώθης θείαις καλλοναῖς
ἀσύγκριτον ἐν κάλλει
τὸν Λόγον ἀποκυήσασα,
πανάμωμε, Θεοῦ
τὸν ταῖς ὡραιότησι
ταῖς ἐνθέοις πάντων καρδίας
λαμπρύνοντα τῶν πίστει
ἀνυμνολογούντων
αὐτὸν εἰς τοὺς αἰῶνας.

**Ἱ**εραῖς σε πόρρωθεν φωναῖς
ἐδήλωσαν προφῆται
μητέρα δὲ τοῦ Δεσπότου,
γενήσεσθαι Θεοῦ
ᾧ πάντες κραυγάζομεν
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Ὡ**ραιώθης ὡς περικαλλής,
Παρθένε, τὸν ὡραῖον
ἐν κάλλει ὑπὲρ αἰτίαν
ἀποκυήσας Χριστὸν
ᾧ πάντες κραυγάζομεν·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τύπον τῆς ἁγνῆς λοχείας σου.

**Φ**ύσις ἡ τὸ πρὶν κατάκριτος
τῶν γηγενῶν, Παρθένε, τῷ ὑπὲρ φύσιν σου

θείῳ τοκετῷ
ἀθανασίας ἐπέτυχε
καὶ τὸ κάλλος τὸ πρώην ἀπέλαβε
ὑμνοῦσά σε συμφώνως
χαριστηρίοις μελῳδήμασι.

Φέρεις τὸν τὰ πάντα φέροντα
καὶ γαλουχεῖς τὸν πᾶσι τροφὴν παρέχοντα
μέγα καὶ φρικτὸν
τὸ ὑπὲρ νοῦν σου μυστήριον,
κιβωτὲ τοῦ θείου ἁγιάσματος
Παρθένε Θεοτόκε·
ὅθεν σε πάντες μακαρίζομεν.

Φῶς μοι τῷ κειμένῳ, πάναγνε,
ἐν ἀμελείας σκότει νῦν ἐξανάτειλον
τὰ τυφλοῦντά μου
τῶν λογισμῶν πάθη λύουσα
καὶ εἰρήνην βαθεῖαν, πανάμωμε,
ἀεὶ ἐργαζομένη
ἐν τῇ ψυχῇ μου τοῦ δοξάζειν σε.

Φρίττω βῆμα τὸ ἀδέκαστον
καὶ τὸν κριτήν, πανάμωμε, τὸν ἀλάθητον·
ἔχω γὰρ πληθὺν
ἁμαρτημάτων ἀμέτρητον
ἀμελείᾳ συζῶν ὁ πανάθλιος·
διό με, Θεοτόκε,
κατοικτειρήσασα ἐλέησον.

---

## 9

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1]

Κώδ. 254 φ. 25α
Ἐθν. Βιβλ. Παρισίων.
Ι 67 Λαύρας.

[ΠΟΙΗΜΑ ΙΩΣΗΦ ΤΟΥ ΣΤΟΥΔΙΤΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ]

### *Ἦχος α'. Ὠδὴ α'. Πικρᾶς δουλείας.*

**Ἐ**ν ἀπογνώσει συνέχομαι
τὸ πλῆθος ἐννοῶν τῶν πταισμάτων μου
καὶ τὴν τοῦ κριτοῦ ἀπόφασιν,
Δέσποινα Θεοτόκε,
σύ μοι γενοῦ
θεία μεσιτεία
καταλλάσσουσα αὐτῷ
τῇ εὐσπλαγχνίᾳ σου.

**Χ**ριστιανῶν καταφύγιον
πιπτόντων ἐπανόρθωσις, πάναγνε,
πταιόντων τὸ ἱλαστήριον
ῥῦσαί με καταδίκης
τῆς φοβερᾶς
καὶ πυρὸς ἀσβέστου
τὴν αἰώνιαν ζωὴν
παρεχομένη μοι.

1) Πολλὰ Τροπάρια τοῦ παρόντος Κανόνος εἰσὶ κοινὰ πρὸς τὰ τοῦ Κανόνος τοῦ φερομένου ἐν τῷ Θεοτοκαρίῳ τοῦ Νικοδήμου (σελ. 9, ἔκδ. Ἀθηνῶν 1906) ἐπ' ὀνόματι Ἰωσὴφ τοῦ Ὑμνογράφου ἐσφαλμένως. Καὶ φέρει μὲν ἐν τῇ θ' ᾠδῇ ὁ παρὰ τῷ Νικοδήμῳ Κανὼν ἀκροστιχίδα «Ἰωσήφ», ἀλλὰ τοῦτο δὲν σημαίνει ὅτι τοῦ καλλιεποῦς Ἰωσὴφ τοῦ Ὑμνογράφου ἐστὶ ποίημα, ἀλλὰ τοῦ Στουδίτου Ἰωσὴφ τοῦ ἐπιθέτοντος καὶ τούτου τὸ ὄνομα ἐν ταῖς θ' ᾠδαῖς τῶν Κανόνων, τοῦ δυσκινήτου καὶ ἀκολούθως τούτου στιχουργοῦ, ὅστις οὐδαμῶς δύναται νὰ συγκριθῇ πρὸς τὸν μελισταγῆ ὑμνογράφον, ὡς φαίνεται ἐκ τῆς ἁπλῆς καὶ μόνης ἀναγνώσεως τῶν ἔργων αὐτῶν. Ἐπεὶ δὲ τὸ ὕφος καὶ ἡ ἄχαρις πλοκὴ τοῦ παρόντος Κανόνος ὁμοία ἐστὶ τῇ τοῦ Κανόνος τοῦ ἐν τῷ Θεοτοκαρίῳ τοῦ Νικοδήμου, πολλὰ δὲ καὶ Τροπάρια κοινά, ἐπέγραψα τοῦτον ἐπ' ὀνόματι τοῦ Στουδίτου Ἰωσὴφ καὶ οὐχὶ τοῦ Ὑμνογράφου, ὡς θέλει ὁ Νικόδημος.



**Σ**ὲ μόνην πάντες κεκτήμεθα,
Παρθένε, προστασίαν πιστεύοντες·
σὺ γὰρ τὸν Θεὸν ἐκύησας·
ὅθεν ἐν ἐγκωμίοις
πάντες, ἁγνή,
σὲ μακαριοῦμεν
γενεαὶ πάσης τῆς γῆς
κατὰ τὸ ῥῆμά σου.

**Ἐ**ν τῷ σταυρῷ κατιδοῦσα, σεμνή,
τὸν κτίστην καὶ υἱόν σου, πανάμωμε,
θάμβους ἐνεπλήσθης λέγουσα·
τί τοῦτο τὸ ξένον ὅτι
οἱ δυσσεβεῖς
ἀνταπέδωκάν σοι
ἀντὶ τῶν θαυματουργιῶν
ὧν ἐνεδείξω αὐτοῖς;

Ὠδὴ γ'. Τῷ πρὸ τῶν αἰώνων.

**Π**άντες οἱ προφῆται
σὲ μητέρα Θεοῦ ἀνεκήρυττον
διὰ συμβόλων παραδόξων
ὧν ἡμεῖς τὰς ἐκβάσεις
τρανῶς ἰδόντες πιστεύομεν
καὶ ἐξαιτοῦμεν τυχεῖν
διὰ σοῦ θείας ἱλαρότητος.

**Δ**έσποινα τοῦ κόσμου
σωτηρία πιστῶν καὶ ἀντίληψις
τοὺς ἐκ βαθέων στεναγμούς μου
πεμπομένους καρδίας,
σεμνή, καὶ δακρύων τοὺς ὀχετοὺς
προσδεδεγμένη πταισμάτων πολλῶν
λύτρωσαι καὶ σῶσόν με.

**Ἔ**χουσα ὡς μήτηρ
παρρησίαν, ἁγνή, πρὸς Χριστὸν τὸν Θεὸν
ἐκ τῶν τῆς Ἄγαρ ἀπογόνων
λυτρωθῆναι δυσώπει
ἀεὶ καὶ ἐκ πάσης βλάβης ἡμᾶς
καὶ εὐχαρίστως δοξάζειν αὐτὸν
πανάμωμε, στήριξον.

**Ἐ**ν σταυρῷ ἠρμένον
τὸν υἱόν σου ὁρῶσα ἠλάλαζες
καὶ ἐν ὀδύνῃ τῆς καρδίας
ἀνεφώνεις βοῶσα·
υἱέ, τί σοι διεπράξαντο
οἱ ἐμπλησθέντες τῶν σῶν δωρεῶν
δυσσεβεῖς παράνομοι.

Ὠδὴ δ'. Ῥάβδος ἐκ τῆς ῥίζης.

**Κ**ατάβαλε θράσος πονηρὸν
ἐχθροῦ καὶ πανουργεύματα
τὰ κατ' ἐμοῦ ἐπιφερόμενα
καὶ ἔνδυσόν με τὴν σὴν
ἰσχύν, παναμώμητε,
ἄτρεπτον ἀεὶ διατηροῦσα
ἀπήμονα ἀβλαβῆ
τὸν εἰλικρινῶς σε γεραίροντα.

**Τ**ρεπούμενος νόμῳ τῆς σαρκὸς
ἑκάστοτε ἀπεργάζομαι
παρανομίας ὁ πανδείλαιος
καὶ παντελῶς οὐ τολμῶ
διᾶραι τὸ στόμα μου,
Δέσποινα σεμνή, χρωμένη νόμῳ
τῆς εὐσπλαγχνίας τῆς σῆς
σῶσόν με τὸν ἄθλιον, σῶσόν με.

**Μ**όνην σε πιστοὶ μετὰ Θεὸν
ἐλπίδα ἀκαταίσχυντον
καὶ προστασίαν ἔχομεν, Δέσποινα,
ταῖς σαῖς πρεσβείαις ἡμᾶς
ἐκ παντοίων λύτρωσαι
ἐχθρῶν ὁρατῶν καὶ ἀοράτων
καὶ βλάβης καὶ πειρασμῶν
ἵνα σε ἀπαύστως δοξάζωμεν.

**Ἀ**σπόρως ὃν ἔτεκες υἱὸν
ὁρῶσα, παναμώμητε,
ἐπὶ ξύλου καθηλούμενον
ἠλάλαζες μητρικῶς
καὶ σὺν θρήνοις ἔλεγες·
τί τὸ ἐπὶ σοὶ υἱέ μου
βλέπω παράδοξον
καὶ καινὸν καὶ ἀκατανόητον θέαμα.

Ὠδὴ ε'. Θεὸς ὢν εἰρήνης.

**Π**ρεσβείαν ἀκοίμητον
ἔχουσα καὶ θερμὴν
προστασίαν εἰς δούλους τοὺς σοὺς
ἐν πᾶσι κινδυνεύοντας τοῦ βίου χαλεποῖς
προφθάσασα, Παρθένε,
ἐξάρπασον καὶ σῶσον
ἵνα μὴ ἀθυμίᾳ
καταποθῶμεν καὶ ὀλώμεθα.

***Μ***αρία Θεοῦ οἰκητήριον
ἐμὲ τῶν πονηρῶν
οἰκητήριον ὑπάρξαντα πνευμάτων
διὰ πράξεων αἰσχρῶν
καὶ τούτων ἐκπληροῦντα
τὸ θέλημα ἀφρόνως
διὰ τῆς μετανοίας
δεῖξον Θεοῦ κατοικητήριον.

Νοσοῦντας ψυχὰς
ὁμοῦ καὶ τὰ σώματα
ἐκ παθῶν ἁμαρτίας ἡμᾶς χαλεπῶς
ἰάτρευσον ὡς εὔσπλαγχνος καὶ μήτηρ
[τοῦ Θεοῦ
σὺ γὰρ τὸν μέγαν ὄντως
ψυχῶν τε καὶ σωμάτων
ἰατρὸν ἐγέννησας
Χριστὸν τὴν ἄληκτον πηγὴν τῆς ζωῆς.

***Ἐ***ν ξύλῳ δρῶσα
σταυροῦ τὸν υἱὸν
συνεχύθης τὰ σπλάγχνα καὶ δάκρυσιν
ἐκραύγαζες, πανάμωμε, ἐκπλήττομαι τὸ
[σὸν
μακρόθυμον υἱέ μου
καὶ βλέπουσα θαῦμα
ἀναμάρτητος πέλων
πῶς καταδίκων φέρεις θάνατον.

Ὠδὴ ϛ´. Σπλάγχνων Ἰωνᾶν.

***Μ***ύρου νοητοῦ
δοχεῖον γεγένησαι
τοῦ πᾶσαν τὴν γῆν εὐωδιάσαντος
τῆς θεότητος
τοῖς ἀτμοῖς, παναγία Θεόνυμφε,
διό περ τῇ εὐωδίᾳ τῆς καρδίας σου
πᾶσαν ἀηδίαν ἀπέλασον
ἐκ ψυχῆς τῆς ἐμῆς παραπτώσεων.

***Π***ῦρ τῶν ἡδονῶν
σφοδρῶς κατακαίει με
καὶ θλίβει τὴν ταπεινήν μου ψυχὴν
καὶ πρὸς ἄτοπον
ἐργασίαν συνωθεῖ καὶ ἄθεσμον
ἡ τὸ πῦρ τὸ θεϊκὸν ἀποκυήσασα
σβέσον τοῦτο κατιμάρανον
ἡ ἐμὴ σωτηρία, Θεόνυμφε.

***Ρ***ῦσαι πειρασμῶν,
Παρθένε πανύμνητε,
ἐχθρῶν ὁρατῶν καὶ ἀοράτων ἡμᾶς
καὶ συντήρησον
ὀρθοδόξους τῇ πίστει, Μητρόθεε,
κυρίως Θεοτόκον ἀνυμνοῦντάς σε·
ἔχεις ἀεὶ γὰρ τὸ δύνασθαι
ὡς τεκοῦσα τὸν τὰ σύμπαντα κτίσαντα.

***Π***αρὰ τῷ σταυρῷ
ἑστῶσα καὶ βλέπουσα
τὸν σὸν υἱὸν σαρκὶ κρεμάμενον,
πανάμωμε,
κατεφλέγου τῇ λύπῃ τὰ σπλάγχνα σου
καὶ δάκρυσι συγκεχυμένη ἀνεκραύγαζες·
τέκνον, ὄντως ἀνυπέρβλητον
ἐπὶ πάντας βροτοὺς σοῦ τὸ εὔσπλαγχνον.

Ὠδὴ ζ´. Οἱ παῖδες εὐσεβείᾳ.

***Ο***ὐ φέρω τὴν ἐπίθεσιν τῶν δαιμόνων
καὶ τὴν ἐνόχλησιν τοῦ νοῦ κατεξανί-
[σταται
ἡ φλογώδης τῆς σαρκὸς ἡδονή,
παναγία Θεοτόκε, μὴ παρίδῃς με·
τὴν γὰρ ἐλπίδα ἐν σοὶ ἐπανεθέμην.

***Ἀ***νύμφευτε Παρθένε παναγία,
τὰς τῶν πταισμάτων μου σειρὰς διαρ-
[ρήξασα
τῷ δεσμῷ τῆς ἀγάπης Χριστοῦ
σύναψον τοῦ ἐναρέτους
καρποὺς ἀνθηφορεῖν με.

***Ἁ***πάντων τῶν ἐν κόσμῳ προστασία
ὑπάρχεις ἀκαταίσχυντος, ἁγνὴ Μαριάμ,
διὰ πίστει σε τιμῶντες
ἐκβοῶμεν Χριστῷ·
ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ·

***Ἡ*** πάναγνος Παρθένος θεωροῦσα
τὸν υἱὸν κρεμάμενον ἐπὶ σταυροῦ θαμ-
[βητικῶς
κατεπλήττετο καὶ ἔλεγε·
πῶς ὑποίσω θανατούμενόν σε βλέπουσα
τὸν ἀρχηγὸν τῆς ζωῆς καὶ ζωοδότην.

Ὠδὴ η´. Θαύματος ὑπερφυοῦς.

***Δ***έσποινα τοῦ κόσμου Θεοτόκε,
τὸν εἰς βάθος δεινὸν ἀπωλείας



ἐμὲ καταντήσαντα κακοφρόνως
δι' ἡδονῶν σαρκικῶν
καὶ προσπαθείας τῆς ἐνύλου
ἐπανάγαγε μόνη συμπαθείᾳ σου·
οὐ γὰρ ἔχω ἐλπίδα ἄλλην σωτήριον·
ὅλος γὰρ ὑπάρχω σαθρή, ἀπεγνωσμένος.

***Σ***ὺ εἶ σωτηρία πάντων τῶν ἀν-
[θρώπων
ἡ Θεὸν γεννήσασα ἀφράστῳ τρόπῳ
σὺ πιστῶν διάσωσμα, Θεοτόκε,
καὶ τῶν τυφλῶν ὁδηγία
καὶ πιπτόντων ἐπανόρθωσις
σὲ εὐφημοῦντες Χριστῷ κραυγάζομεν·
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον
καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶ-
[νας.

***Ἄ***γκυραν ἀσφαλῆ σε κεκτημένοι
σωτηρίας ἡμῶν τὰς ἐλπίδας
ἐπὶ σοὶ πιστεύομεν, Θεομήτορ,
ἀλλὰ γενοῦ τοῖς οἰκέταις σου
λιμὴν καὶ τεῖχος ἄρρηκτον
καὶ πρὸς τὸ βοᾶν ἀπαύστως ὕμνον·
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον
καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶ-
[νας.

***Σ***πλάγχνοις μητρικοῖς σπαρασσομένη
ἡ ἁγνῶς τεκοῦσά σε
στεναγμοῖς ἀπαρακλήτοις ἀνεκραύ-
[γαζεν·
ὠδῖνας φυγοῦσα ἐν τῷ τόκῳ σου
υἱέ μου ὀδύνας νῦν καθυφίσταμαι
βλέπουσα τὸ εἶδος τὸ σὸν ἠτιμωμένον.

Ὠδὴ θ´. Παράδοξον τὸ τῆς Παρθένου.

***Κ***ατέχουσα τῆς ἀτιμίας τοῖς πάθεσι
τὴν ψυχὴν ὁ ἄθλιος
ὅλος τε ψυχοφθόροις ἡδοναῖς
ἐμολύνθην τὴν σάρκα·
ἀλλ' ὡς καθαρά τε καὶ ἀμόλυντος,
ἁγνή, σύ με κάθαρον
τῷ πλήθει τοῦ ἐλέους σου.

***Ο***ὐ κέκτημαι πλήν σου, ἁγνή, κατα-
[φύγιον
οὐ γνωρίζω, Δέσποινα,
ἄλλην ἐπὶ τῆς γῆς προστασίαν
βεβαίαν καὶ σκέπην
διὰ σοῦ λαβεῖν
πταισμάτων ἀπολύτρωσιν.

***Π***ανύμνητε, τοὺς σοὺς οἰκέτας νῦν
[ἵλεως
ἐποπτεύοις ἄνωθεν
πίστει τῇ εὐσεβείᾳ συντηροῦσα
ταῖς σαῖς ἱκεσίαις
πασῶν λυτρουμένη περιστάσεων
ἡμᾶς τοὺς κυρίως
σὲ τιμῶντας Θεοτόκον ἁγνήν.

***Ἡ*** ἄσπορον κυοφορίαν γνωρίσασα
[ἐπὶ σοί,
φιλάνθρωπε, ξύλῳ
τῷ τοῦ σταυροῦ κρεμασθέντι
ὡς εἶδεν ἐβόα·
υἱὲ καὶ Θεέ μου παντοδύναμε,
βροτοὺς σῶσαι θέλων
καταδέχῃ νῦν τὴν σταύρωσιν.

# 10

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κώδ. Γ 67 Λαύρας.
354 φ. 30β
Ἐθν. Βιβλ. Παρισίων.
Θ 66 Λαύρας.
52 φ. 14β Βλατέων.

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ
ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

**Ἦχος α΄. Ὠδὴ α΄. Ὠδὴν ἐπινίκιον.**

**Σ**ωτήριος πέφυκας
λιμὴν καὶ σκέπη
τῶν προσκαλουμένων σε,
Θεοτόκε ἄχραντε,
διὸ κἀγὼ ἐκ ψυχῆς
ἐπικαλοῦμαί σε θερμῆς,
Δέσποινα, σῶσόν με.

**Μ**αρία πανάχραντε,
τοῦ κτίστου μήτηρ
νοσοῦσαν τοῖς πάθεσι
καὶ τοῖς ἁμαρτήμασι
τὴν ταπεινήν μου ψυχὴν
θεράπευσον ὡς ἀγαθὴ
καὶ εὐδιάλλακτος.

**Ἀ**νύμφευτε Δέσποινα,
μὴ ἀποκάμῃς
πρεσβεύουσα πάντοτε
ὑπὲρ τοῦ προστρέχοντος
ἀεὶ τῇ σκέπῃ σου
καὶ τῷ ποιητῇ μου καὶ Θεῷ
τυχεῖν ἐλέους με.

**Π**αλάτιον ἔμψυχον
τοῦ βασιλέως
καὶ θρόνε πυρίμορφε,
σὺν ἁγίοις μάρτυσι
καὶ ἀποστόλοις Χριστοῦ
ἀεὶ δυσώπει πειρασμῶν
ἡμᾶς λυτρώσασθαι.

Ὠδὴ γ΄. Λίθον ὃν ἀπεδοκίμασαν.

**Σ**κότος τὸ τῶν παραπτώσεων
τὴν ἐμὴν συνέχει,
Δέσποινα, καρδίαν
καὶ οὐ τολμῶ διᾶραι
πρὸς οὐρανὸν τὸ ὄμμα·
διὸ κράζω· φώτισον
ἐν ταῖς προστάγμασι Χριστοῦ
νοῦν καὶ ψυχὴν καὶ τὴν διάνοιαν.

**Β**λέπων ἐν τῷ θείῳ τύπῳ σου
καὶ τῷ χαρακτῆρι
σὲ τὴν τοῦ Δεσπότου
πάναγνον μητέρα
ὡς πρωτότυπον σέβω
καὶ τοῦτον ἀσπάζομαι
καὶ προσκυνῶ καὶ εὐφημῶ
μίαν εἰδὼς σου καὶ αὐτοῦ τὴν τιμήν.

**Σ**τῆσον τὰς ὁρμὰς τοῦ σώματος
τὰς χαλεπωτάτας
σβέσον καὶ τὴν φλόγα
τῶν παθῶν, Παρθένε,
δι᾽ ὧν ἁμαρτημάτων
σειρὰς πολυπλόκους μοι
συρράπτει ὄφις ὁ δεινὸς
μέλλων χειροῦσθαι πρὸς ἀπώλειαν.

**Ὅ**λον τὸν Ἀδὰμ ἐφόρεσεν
ἐκ σοῦ, Θεοτόκε,
ὅλος σαρκοφόρος
προελθὼν ὁ Λόγος·
αὐτὸν οὖν ἐκδυσώπει
παθῶν ἡμᾶς ῥύσασθαι
καὶ πειρασμῶν παντοδαπῶν
καὶ πυρὸς τοῦ αἰωνίζοντος.

Ὠδὴ δ΄. Ἐν πνεύματι προβλέπων.

**Κ**υήσασα τὸν κτίστην
καὶ πάντων ποιητὴν



δυναστείαν ἄμαχον
καὶ ἄμαχον ἰσχὺν
ἔχεις, Παρθένε, καὶ διασώζεις
τοὺς πίστει σοι προσιόντας·
διὰ τοῦτό σοι κραυγάζω,
Δέσποινα τοῦ κόσμου, βοήθει μοι.

**Ἁ**γνὴ εὐλογημένη
ἡ μόνη τῆς ἀρᾶς
πάντας ἀπαλλάξασα,
Παρθένε Μαριάμ,
σὺν ἀποστόλοις μάρτυσι καὶ προφήταις
τὸν ἐκ γαστρός σου προελθόντα ἐκδυσώπει
σῶσαι τὰς ψυχὰς τῶν ὑμνούντων σε.

**Π**ολέμους ἀοράτους
ἐχθρῶν τῶν νοητῶν
Κατάβαλε, Δέσποινα,
τῶν μάχην τῇ ἐμῇ
ψυχῇ ἐπιθεμένων ἀθλίως
καὶ εἰρήνην δώρησαι, εὐλογημένη,
ἵνα εὐφραινόμενος γεραίρω σε.

**Ἐ**λπὶς ἀπηλπισμένων
βοήθεια πτωχῶν
πενθούντων παράκλησις
πταιόντων ἱλασμὸς
χειραγωγία τῶν πλανωμένων
νοσούντων ἡ θεραπεία ἐπανόρθωσις πιπτόντων,
Δέσποινα τοῦ κόσμου, βοήθει μοι.

Ὠδὴ ε΄. Τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

**Δ**ιάσωσόν με, Δέσποινα,
ἐκ βάθους πειρασμῶν
καὶ τῶν συμφορῶν
καὶ τῶν θλίψεων
καὶ παθημάτων τῶν τοῦ σώματος
καὶ ἐν γαλήνῃ θείᾳ
φύλαξον τὴν ψυχήν μου.

**Ὑ**πῆρξας θερμοτάτη μοι
φρουρὸς καὶ ἀσφαλὴς
ἐν πάσῃ ζωῇ,
παναμώμητε,
διὸ αἰτῶ σε μετὰ θάνατον
τὴν σήν μοι εὐσπλαγχνίαν
ἐφαπλῶσαι πλουσίαν.

**Τ**ὸν κτίστην ἡ κυήσασα
καὶ ῥύστην τοῦ παντὸς
ῥῦσαί με παθῶν
τῶν τοῦ σώματος
τῶν φλογιζόντων τὴν καρδίαν μου
καὶ συγκαταφερόντων
πρὸς πράξεις ἀθεμίτους.

**Ὡ**ς τόπος ἁγιάσματος
φανεῖσα νοητοῦ
ὅλον με ἁγίασον,
παναμώμητε,
καὶ σὺν ἁγίοις καθικέτευε
καὶ σοφοῖς ἀποστόλοις
σωθῆναί με, Παρθένε.

Ὠδὴ στ΄. Τὸν προφήτην Ἰωνᾶν.

**Σ**ὺ καὶ ζῶντα με φρουρεῖς
λυτρουμένη πειρασμῶν
ἐκχωροῦντά τε τῆς γῆς
πρὸς αἰώνιον ζωὴν
ὁδήγησον
Παρθενομῆτορ, τῇ εὐσπλαγχνίᾳ σου.

**Σ**ὺ εἶ τεῖχος ἀρραγὲς
σὺ εἶ σκέπη κραταιά,
Θεοτόκε ἀγαθή,
σὺ προστάτις ἀσφαλὴς
τοῦ δούλου σου·
καὶ διὰ τοῦτό σε παρακαλοῦμαι ἀεί.

**Σ**ὺ πρεσβείαν δυνατὴν
κεκτημένη πρὸς Θεόν,
Θεοτόκε ἀγαθή,
μὴ παρίδῃς με θερμῶς
κραυγάζοντα
ἐλέησόν με μήτηρ τοῦ πάντων Θεοῦ.

**Μ**ὴ ἀπώσῃ με, Χριστέ,
μὴ βδελύξῃ με, σωτήρ,
ἱκετεύει σε ἁμνάς
ἡ τεκοῦσά σε σαρκὶ
οἱ μάρτυρες
σὺν τοῖς προφήταις καὶ ἀποστόλοις σου.

Ὠδὴ ζ΄. Τῶν ἐν καμίνῳ παίδων σου.

**Ἀ**πεγνωσμένον ὄντα με, σεμνή,
τοῖς πταίσμασι καὶ ταῖς ἡδοναῖς ταῖς σαρκικαῖς

καὶ πρὸς βυθὸν
ὠθούμενον ὀλέθρου,
παναγία Δέσποινα,
φθάσασα λύτρωσαι
τῇ εὐσπλαγχνίᾳ σου.

**Κ**αταφυγὴ καὶ σκέπη κραταιὰ
καὶ λύτρωσις πάντων, Θεοτόκε, τῶν [πιστῶν
σύ μοι γενοῦ
χειραγωγὸς πρὸς τὸν ποιητὴν
τῶν πταισμάτων λύτρωσιν
παρεχομένη
τῇ εὐσπλαγχνίᾳ σου.

**Σ**ὺ τὴν ἀρὰν ἐμείωσας, ἁγνή
πανάμωμε, ἡ τὴν χαρὰν γεννήσασα [Χριστόν·
σὺ τὴν ἀρὰν
τὴν ἐκ τῆς ἁμαρτίας
προσγενομένην μοι
λῦσον δυνάμει τῇ σῇ
καὶ δώρησαί μοι χαράν.

**Σ**έ, Παναγία ἄχραντε σεμνή,
οἱ δοῦλοί σου πάντοτε ἡμέρας καὶ νυκτὸς
δεόμενοι
συντετριμμένῃ διανοίᾳ
δυσωποῦμεν λύτρωσιν
ἁμαρτημάτων ἡμῖν
δίδου ταῖς σαῖς προσευχαῖς.

Ὠδὴ η΄. Ὃν φρίττουσιν ἄγγελοι.

**Ἀ**νάστηθι πρόφθασον
πολέμησον ἐχθροὺς
τοὺς μάτην ταράσσοντας
καὶ θλίβοντας ἡμᾶς
τὴν σὴν δυναστείαν
ἐμφανίζου,
ἁγία Παρθένε
βοήθεια τοῦ κόσμου.

**Τ**ὸν κόσμον διέσωσας
θανάτου καὶ φθορᾶς
τῇ θείᾳ κυήσει σου,
Παρθένε ἀγαθή,
καὶ νῦν δὲ πρεσβείᾳ
καὶ ἡμᾶς ἐκ παθῶν
τοὺς σὲ εὐφημοῦντας
ἐξάρπασον καὶ σῶσον.

**Π**ολλή σου καὶ ἄφατος,
Παρθένε, ἡ ἰσχύς·
πολλοὶ καὶ ἀνείκαστοι
οἱ θεῖοι οἰκτιρμοὶ
καὶ ἡ εὐσπλαγχνία·
διὸ σῶζε ἡμᾶς
τοὺς ἐν ἀληθείᾳ
σὲ ἐπικαλουμένους.

**Ὡ**ς ἔμψυχος ἄμπελος
ἐξήνθησας ἡμῖν
τὸν βότρυν τὸν πέπειρον
πηγάσαντα ἡμῖν,
Παρθένε, τὸν οἶνον
τῆς ἀφέσεως
καὶ τῆς ἁμαρτίας
ξηράναντα τὴν μέθην.

Ὠδὴ θ΄. Τὴν φωτοφόρον νεφέλην.

**Ἐ**ν τῇ θαλάσσῃ τοῦ βίου
κλυδωνιζόμενος σφόδρα
ὑφ' ἡδονῶν τῶν τῆς σαρκὸς
σοὶ προσπίπτω βοῶν σοι·
ἐλέησόν με τὸν εἰς σὲ
προστρέχοντα, Δέσποινα,
καὶ χεῖρά μοι
σωτηρίας ἐπίδος
ῥυομένη
ἀπωλείας ἐκ βυθοῦ.

**Σ**οὶ τὰς ἐμὰς ἁμαρτίας
ἐξαγορεύω, Παρθένε,
σοῦ πρὸ προσώπου τὴν ἐμὴν
στηλιτεύω αἰσχύνην
καὶ ἐκβοῶ ἀπὸ ψυχῆς
ἐλέησον οἴκτειρον,
πανάχραντε,
ὅτι σοὶ τὰς ἐλπίδας
μετὰ Θεὸν
ἀνεθέμην ἀσφαλῶς.

**Σ**ὲ τὴν ἀσπόρως τεκοῦσαν
τὸν ποιητὴν καὶ Δεσπότην
ἐπικαλοῦμαι ἐκ ψυχῆς
καὶ ἐκτενῶς κραυγάζω·
σύ με διάσωσον φθορᾶς
πολλῶν παραπτώσεων
καὶ ῥῦσαί με



τοῦ πυρὸς τοῦ ἀσβέστου,
παναγία
Θεοτόκε ἀγαθή.

**Ἡ** ἀδιόδευτος πύλη
τοῦ παραδείσου ἡ θύρα
τῶν σωζομένων ἡ ὁδὸς
σωτηρίας ἡ τρίβος
μετὰ μαρτύρων προφητῶν
δικαίων ὁσίων τε
καὶ τῶν θείων
ἀποστόλων δυσώπει
τοῦ σωθῆναι
τὰς ψυχὰς ἡμῶν, ἁγνή.

---

## 11
## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κώδ. 350 φ. 103β
Ἐθν. Βιβλ. Παρισίων.
Θ 59 φ. 1 Λαύρας.
Ι 67 Λαύρας.

ΠΟΙΗΜΑ ΤΟΥ ΕΥΣΕΒΕΣΤΑΤΟΥ ΒΑΣΙΛΕΩΣ
ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΛΑΣΚΑΡΗ

***Ἦχος α΄. Ὠδὴ α΄. Σοῦ ἡ τροπαιοῦχος.***

**Χ**αίροις ἱλαστήριον ψυχῶν,
Παρθενομῆτορ, χαρὰν ἡ κυήσασα·
χαῖρε ἡ βασίλισσα·
χαῖρε ναὲ Χριστοῦ· χαῖρε ἡ πάνσεμνος·
χαῖρε προστασία
ψυχῶν ὁμοῦ καὶ κραταίωμα.

**Χ**αῖρε εὐζωΐας ἀπαρχή·
χαῖρε ἀρᾶς ἡ ἀναίρεσις, Δέσποινα·
χαῖρε θεονύμφευτε·
χαῖρε Χριστοῦ νεφέλη ὑπέρφωτος·
χαῖρε θεία ῥάβδος
παθῶν πελάγη ἡ ῥήσσουσα.

**Χ**αῖρε γαλουχὸς ἡ τῆς ζωῆς·
χαῖρε τοῦ Λόγου ἡ μήτηρ, θεόνυμφε·
χαῖρε στάσις γνώσεως·
χαῖρε ἀγγέλων δοξασμὸς καὶ καύχημα·
χαῖρε Θεομῆτορ·
χαῖρε λυχνία αὐγάζουσα.

**Χ**αῖρε ἡ χωρήσασα Θεόν·
χαῖρε τῆς πρὶν παραπτώσεως ὕψωμα.
χαῖρε ἡ ἀνίκητος·
χαῖρε προστάτις κόσμου· χαῖρε ἄχραντε·
χαῖρε βασιλείας
Χριστοῦ τοῦ Θεοῦ ἡ οἰκείωσις.

**Δ**ώρησαι δακρύων μοι πηγὰς
καρδιακήν, Θεοτόκε, ταπείνωσιν
βίου ἀνεπίληπτον
καὶ πολιτείαν καθαράν, πανάμωμε,
ἵνα σου δοξάζω
τὸν πλοῦτον τῆς ἀγαθότητος.

Ὠδὴ γ΄. Ὁ μόνος εἰδώς.

**Χ**αῖρε ὄλβος ἄσυλος πιστῶν·
Χριστοῦ χαῖρε διάδημα·
χαῖρε ἀστὴρ Κυρίου λαμπρότατε·
τηλίκον ὕψος χάριν μοι ὄρεξον
τοῦ βοᾶν σοι, Δέσποινα,
χαῖρε μόνη ἄνασσα
ἡ παστὰς Ἰησοῦ τοῦ παντάνακτος.

**Χ**αῖρε νύμφη πάναγνε Θεοῦ·
χαῖρε θεοχαρίτωτε
δι' ἧς βροτοὶ ἐθεώθημεν·
χαῖρε ἡ βάτος ἡ ἀκατάφλεκτος·
χαῖρε τὸ γαλήνιον·
χαῖρε ἡ ἀφάντωσις
τῆς ἀρᾶς· χαῖρε μόνη πανύμνητε.

**Χ**αῖρε ὁ λιμὴν ὁ σωστικός·
λειμὼν χαῖρε ὁ εὔοσμος·

χαῖρε λαμπτὴρ ψυχῶν, πανάχραντε·
χαῖρε ἁπάντων τὸν κτίστην ἡ τέξασα·
χαῖρε ἣν ἀνύμνησε
προφητῶν ὁ σύλλογος·
Γαβριὴλ δὲ τὸ χαῖρε προσήγαγε.

**Χ**αῖρε ἡ βασίλισσα βροτῶν,
ἀγγέλων, χαῖρε Δέσποινα·
χαῖρε ἀρχῶν αὐτῶν ὑπερέχουσα·
ταμεῖον χαῖρε Χριστοῦ πανάμωμον·
χαῖρε πύλη ἄβατε·
χαῖρε πόλε ἔμψυχε·
χαῖρε μόνη ἐλπὶς τῶν ψυχῶν ἡμῶν.

**Ἰ**σχύς μου καὶ πύργος ἀσφαλὴς
γενοῦ, Θεοχαρίτωτε,
καὶ θυρεὸς καὶ ὅπλον ἀήττητον
τῶν νοουμένων ἐχθρῶν τὰς φάλαγγας
ἀπ᾽ ἐμοῦ διώκουσα
τοῦ ἐν πίστει καὶ πόθῳ,
Παρθένε, σὲ μεγαλύνοντος.

Ὠδὴ δ᾽. Ὄρος σε τῇ χάριτι.

**Χ**αῖρε μητροπάρθενε ἁγνή· χαῖρε πύρινε
στῦλε φωτὸς ἡλιακέ·
χαῖρε σεμνὴ περιστερά·
χαῖρε τιμαλφέστατον
τοῦ βασιλέως παλάτιον·
χαῖρε τῶν βροτῶν τὴν πτῶσιν μειώσασα.

**Χ**αῖρε ἀλόφωτος νεφέλη· χαῖρε πανάχραντε,
ναὲ Θεοῦ· χαῖρε σεμνή·
χαῖρε νυμφὼν ὁ εὐπρεπής·
χαῖρε σέλας ἄδυτον
τοῦ νοητοῦ φωσφόρου· χαῖρε ἀείφωτε
κόσμου λαμπτήρ· χαῖρε πάναγνε Δέσποινα.

**Χ**αῖρε βασίλισσα σκέπη βροτῶν ἀκατάληπτε
κόσμου μεσίτρια τερπνή·
χαῖρε ἀστὴρ ἀειλαμπής·
χαῖρε ἀλάβαστρον
φρικτὸν τοῦ μύρου τῆς χάριτος
τοῦ νοητοῦ φυτοῦ τοῦ βλαστήσαντος
ἐκ Θεοῦ καὶ πατρός· χαῖρε πάναγνε Δέσποινα.

**Χ**αῖρε ἡ πολύπτυχος Χριστοῦ βίβλος ἄνυσσα
τῶν διεστώτων συνδρομή·
χαῖρε τὸ ῥεῖθρον τῆς ζωῆς·
χαῖρε τὸ ξύλον τῆς τρυφῆς·
χαῖρε ἡλιόμορφε
τριαδικῆς μορφῆς ἁγνὸν οἰκητήριον
τράπεζα χαῖρε καὶ στάμνε καὶ γέφυρα.

**Δ**αιμόνων ἀπάτη χαλεπῶς ἐξελκόμενον
τῶν ἐντολῶν με τοῦ Θεοῦ
μὴ ὑπερίδῃς, ἀγαθή,
ἀλλ᾽ οἴκτειρον δέομαι
καὶ τῆς αὐτῶν ἀπάτης δεῖξον ἀνώτερον
προσκαταφεύγοντα ἀεὶ τῷ ἐλέει σου.

Ὠδὴ ε᾽. Ὁ φωτίσας τῇ ἐλλάμψει.

**Χ**αῖρε λίθε
τὸν ἀκρόγωνον λίθον ἡ τέξασα·
χαῖρε πύργε
τῶν ἐχθρῶν ἀπαντῶσα τὸ φρύαγμα·
χαῖρε φῶς ἀΐδιον
τῆς ὑπεράρχου θεαρχίας
εἰσδεξαμένη, πανάμωμε.

**Χ**αῖρε στάσις
κινουμένων ἐξ ὕλης, πανάμωμε,
χαῖρε φαῦσις
φωτισμὸν τοῖς ἐν ζόφῳ παρέχουσα·
χαῖρε ὄντως Δέσποινα·
χαῖρε λυχνία· χαῖρε ξίφος
τὰς ἀσθενείας ἡ τέμνουσα.

**Χ**αῖρε τόμε
ὁ Θεοῦ τὴν σοφίαν δεξάμενος
χαῖρε πλάξ
γεγραφυῖα τὸν Λόγον τῷ Πνεύματι·
χαῖρε θεοπάροχον
δῶρον βροτῶν εἰς σωτηρίαν
εὐλογημένη μόνη πανύμνητε.

**Χ**αῖρε ἄνθος
ἁγνισθὲν ταῖς ἀρδείαις τοῦ Πνεύματος·
χαῖρε ἄστρον
τηλαυγέστερον πάσης καθάρσεως
χαῖρε ἀδιάδοχε
κρατὴρ πιστῶν ἀειζωΐας,
Μαρία μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Institut für Byzantinistik
und
neugriechische Philologie
d... Universität München



**Τ**ὸν κλύδωνα
τῶν πολλῶν μου πταισμάτων κατεύνασον
καὶ τὸν σάλον
τῶν παθῶν μου, ἁγνή, καταπραΰνον
καὶ πρὸς ἀπαθείας με
θαλάσσιον ἴθυνον γαλήνην
τὸν σὲ γνησίως δοξάζοντα.

Ὠδὴ ϛ᾽. Τὸν προφήτην Ἰωνᾶν.

**Χ**αῖρε λύχνε φαεινέ·
χαῖρε φῶς ἀειλαμπές·
χαῖρε πλοῦτε νοητέ·
χαῖρε μήτηρ τοῦ Χριστοῦ
πανάμωμε·
χαῖρε ἡ μόνη Θεὸν κυήσασα.

**Χ**αῖρε βάσις ἀσφαλής·
χαῖρε στάσις ἀστραπῆς·
χαῖρε νεφέλη τοῦ Πατρός·
χαῖρε μήτηρ τοῦ Χριστοῦ
πανύμνητε,
τοῦ κόσμου σκέπη· χαῖρε ἡ πάντων ἐλπίς.

**Χ**αῖρε λύσις τῆς ἀρᾶς·
χαῖρε φύλαξ εὐσεβῶν·
χαῖρε ὁπλίτη κατ᾽ ἐχθρῶν·
χαῖρε τεῖχος ἀσκητῶν,
πανύμνητε,
Θεοῦ τοῦ Λόγου μῆτερ ἀνύμφευτε.

**Χ**αῖρε κλίμαξ νοητή
ἀπὸ γῆς πρὸς οὐρανόν·
χαῖρε πύλη τοῦ φωτός·
χαῖρε καύχημα πιστῶν
ἀκήρατε
πάντων κτισμάτων ὡς ὑπερέχουσα.

**Ἐ**πὶ σὲ διὰ παντὸς
καταφεύγω, ἀγαθή,
σὲ γὰρ μόνην ἀσφαλῆ
καὶ βεβαίαν ἐν δεινοῖς,
πανύμνητε,
ὁ σὸς οἰκέτης ἄγκυραν κέκτημαι.

Ὠδὴ ζ᾽. Σὲ νοητὴν Θεοτόκε.

**Χ**αῖρε ψυχῶν
ὅρμος ὁ γαλήνιος

χαῖρε παστὰς χρυσοειδής·
χαῖρε κλίνη βασιλική,
θρόνε ἀστεροπόμορφε·
χαῖρε μητροπάρθενε
δι᾽ ἧς ἡμῖν ἐξανέτειλεν
ὁ φωτισμὸς τοῖς ἐν σκότει
Χριστὸς ὁ ὑπερένδοξος.

**Χ**αῖρε σαφὴς
νοσημάτων ἴασις
τῶν προστρεχόντων ἐπὶ σοί·
χαῖρε σκέπη πολυτελής·
χαῖρε εὐσυμπάθητε·
χαῖρε ῥοῦς ἀέναος
τὸν ἱλασμὸν πελαγίζουσα
καὶ νοσημάτων κρουνοὺς
ἀποξηραίνουσα.

**Χ**αῖρε ζωῆς
ἀπαρχὴ καὶ γέφυρα
διαβιβάζουσα λαοὺς
ἀπὸ γῆς πρὸς τὸν οὐρανόν·
χαῖρε οἰκητήριον,
ἄχραντε ἀκήρατε,
Θεοῦ τοῦ Λόγου ὡς ηὐδόκησε·
χαῖρε πιστοῖς φωσφοροῦσα
λυχνία τὰ χαρίσματα.

**Χ**αῖρε πηγὴ
ἀενάου νάματος·
χαῖρε παράδεισε τρυφῆς·
χαῖρε τεῖχος τὸ τῶν πιστῶν·
χαῖρε ἀειπάρθενε·
χαῖρε μόνη Δέσποινα
δι᾽ ἧς ἡμῖν ἐξανέτειλεν
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Ν**οῦν καὶ ψυχὴν
καὶ σαρκὸς ἀσθένειαν
σοὶ ἀνατίθημι βοῶν·
Θεοτόκε ἡ κραταιὰ
σκέπη καὶ βοήθεια
ἐκ τῆς ἀγνοίας με λύτρωσαι
καὶ ῥαθυμίας καὶ λήθης,
παντευλόγητε.

Ὠδὴ η᾽. Ἐν καμίνῳ παῖδες.

**Χ**αῖρε αὔγας ἡλίου Χριστὸν
εἰσάξασα τῷ κόσμῳ,

τὸ κάλλος τῆς βασιλείας τοῦ Χριστοῦ·
χαῖρε ἁγνῆς χαρᾶς,
ἁγνή, ἡμῖν πρόξενος·
εὐλογοῦμεν πάντα τὰ ἔργα
τὸν ἄναρχον υἱόν σου
καὶ σὲ κατὰ χρέος
γεραίρομεν ἀπαύστως.

**Χ**αῖρε στάμνε πάγχρυσε Θεὸν
ὡς μάννα δεξαμένη
ὡς ῥεῖθρον ἀειζωΐας
τοῖς λαοῖς χαῖρε σεμνή·
ὦ χαῖρε ἀκήρατε
Θεομῆτορ· χαῖρε ὀρθοδόξων
λιμὴν καὶ προστασία·
χαῖρε τῆς ζωῆς μου
ἐλπὶς ἀρραγεστάτη.

**Χ**αῖρε ῥάβδος ἡ νικοποιὸς
πάντων τῶν ἀντιπάλων
συνθλῶσα τῇ σῇ πρεσβείᾳ
τὰς ἐπάρσεις κραταιῶς·
ὦ χαῖρε Θεόνυμφε
παναγία· χαῖρε μοναζόντων
κραταίωμα καὶ φύλαξ·
χαῖρε τῆς ψυχῆς μου
καταφυγὴ καὶ σκέπη.

**Κ**οίμισόν μου δὴ τὰς ἐμπαθεῖς
ὀρέξεις, παθῶν τε
τῶν ψυχοφθόρων
τὰ ἰνδάλματα, ἁγνή,
εἰς τέλος ἐξάλειψον,
Θεομῆτορ, ἵνα σε δοξάζω
ἀεὶ καὶ εὐλογῶ σε
τὴν μόνην αἰτίαν
τῆς πάντων σωτηρίας.

Ὠδὴ θ'. Τύπον τῆς ἁγνῆς.

**Χ**αῖρε Θεοτόκε Δέσποινα·
χαῖρε τὸ ὕψος τῆς σοφίας ἡ τέξασα
σοφίαν καὶ Λόγον
τοῦ πατρὸς ἐνυπόστατον·
χαῖρε πέλαγος γνώσεων ἄπειρον
χαρᾶς ἀδιαδόχου
καταξιοῦσα τοὺς τιμῶντάς σε.

**Χ**αῖρε χελιδὼν ἡ εὔσημος
περιστερὰ τὴν γαλήνην εὐαγγέλισασα·
χαῖρε ἄσπιλε·
χαῖρε τὸ ἄνθος τῆς φύσεως·
ἀλατόμητον ὄρος, παντάνασσα,
ὦ χαῖρε Θεοτόκε
ἐλπὶς ἀνθρώπων ἀκαταίσχυντε.

**Χ**αῖρε τὴν ζωὴν ἡ τέξασα·
χαῖρε λαβὶς ἡ τὸν θεῖον ἄνθρακα φέ-
[ρουσα·
χαῖρε πορφυρὶς
βασιλικὴ φοβερώτατε·
χαῖρε νόμων Χριστοῦ φυλακτήριον
ἡ πάλαι τὰς προρρήσεις
τῶν προφητῶν χαῖρε περάνασα.

**Χ**αῖρε ὁ ναὸς ὁ ἔμψυχος·
χαῖρε Χριστοῦ ἡ πύλη ἡ ἐπουράνιος·
ὄρος τοῦ Θεοῦ
χαῖρε σεμνὴ τὸ κατάσκιον·
χαῖρε βάσις καὶ στάσις καὶ κίνησις
μαρτύρων καὶ ὁσίων
καὶ ἀποστόλων τὸ ἑδραίωμα.

**Ἆ**ρον τὸ βαρὺ φορτίον μου
τῶν ἐγκλημάτων, Παναγία πανύμνητε,
καὶ τὸν ἐλαφρὸν
ζυγὸν καταξίωσον
τοῦ υἱοῦ καὶ Θεοῦ σου βαστάζειν με
καὶ τρίβον διοδεύειν
τὴν πρὸς τὴν ἄνω λῆξιν φέρουσαν.

---



12

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

## ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΙ ΕΓΚΩΜΙΑΣΤΙΚΟΣ

οὗ ἡ ἀκροστιχίς

« *Τὰς [αἱρ]έσεις δίωξον, ὦ Θεοτόκε.* »

ΠΟΙΗΜΑ ΙΓΝΑΤΙΟΥ

Κώδ. Θ 91
φ. 318α. Ἀκέφαλ.

***Ὠδὴ α'. Ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος.***

**Τ**ίς τὰ μεγαλεῖά σου εἰπεῖν
τῶν γηγενῶν κατ' ἀξίαν δυνήσειεν
ἅπερ σοι ὁ μόνος
δυνάστης Θεὸς πεποίηκεν
ἄνθρωπος ἀτρέπτως
ἐκ σοῦ, Παρθένε, γενόμενος.

**Ἄ**ρρητα καὶ θεῖα τὰ τῆς σῆς
ἀκαταλήπτου κυήσεως, ἄχραντε,
πέφυκε μυστήρια
καὶ λογισμῶν ἁπάντων ὑπερκείμενα·
σὺ γὰρ τῆς ἀπείρου
χωρίον γέγονας φύσεως.

**Σ**άρκα ἐνδυσάμενος ἐκ σοῦ
ὁ ἐκ πατρὸς προανάρχου προάναρχος
ἔδειξε παρθένον σε
ἁγνὴν καὶ μετὰ τόκον ἀδιάφθορον
ὃν ἀκαταπαύστως
ὑπὲρ ἡμῶν καθικέτευε.

Ὠδὴ γ'. Ὁ μόνος εἰδώς.

**Ἐ**π' ἀσπίδα καὶ λέοντα, σεμνή,
τοὺς δούλους σου ἀξίωσον
ἀνενδοιάστως βαίνειν καὶ πάντας
[πατεῖν
τῇ σῇ δυνάμει ὄφεις καὶ δράκοντας
τοῦ κραυγάζειν πάντοτε
τῷ υἱῷ σου, Δέσποινα,
θαυμαστὰ σου τὰ ἔργα, φιλάνθρωπε.

**Σ**ὺ μόνη φρουρὸς καὶ στηριγμὸς
τῶν δούλων σου, Θεόνυμφε,
τῶν ὀρθοδόξῳ πίστει τιμώντων σε
σὺ ἐν ἀγάπῃ θείᾳ σου στήριξον
ὁμονοίᾳ πίστεως
μέχρι τέλους ἅπαντας
Θεοτόκον ὑμνεῖν καὶ δοξάζειν σε.

## ΚΑΘΙΣΜΑ

***Ἦχος β'. Ὅταν ἔλθῃς ὁ Θεός.***

**Ἡ** τὸν Λόγον τοῦ Θεοῦ
διὰ σπλάγχνα ἐλέους
τεκοῦσα, ὡς ηὐδόκησεν,
Θεοτόκε ἀγαθή,
ἱκετεύειν μὴ παύσῃ
ῥυσθῆναι τῶν κινδύνων με
πειρασμῶν τε καὶ θλίψεων
ἀοράτων τε
καὶ ὁρωμένων ἐχθρῶν με
βλάβης, Δέσποινα,
καὶ τῆς δεινῆς ἁμαρτίας
τὰ κύματα πράϋνον.

Ὠδὴ δ'. Ὄρος σε τῇ χάριτι.

**Ἰ**σχύς μου καὶ ὅπλον, Θεοτόκε, καὶ
[στήριγμα
αὔξησον πίστιν ἐν ἐμοὶ
τὴν τοῦ υἱοῦ σου καὶ Θεοῦ
καὶ δός μοι σοφίαν τε
τὴν θεϊκὴν ἐν πᾶσι χάριν καὶ δύναμιν
τοῦ εὐχαρίστως ὑμνεῖν καὶ δοξάζειν σε.

**Σ**ὺ πάλαι τῆς Εὔας, Θεοτόκε, τὸ
[ὄφλημα
ἐν τῇ ἀχράντῳ σου γαστρὶ
εἰσδεξαμένη τὸν Θεὸν
σάρκα ἐκδανείσασα

ἀλλὰ καὶ νῦν αὐτὸν ἱκέτευε, Δέσποινα,
ἐκ τῶν σκανδάλων ῥυσθῆναι τοὺς δού-
[λους σου.

**Δ**οξάζου, ἁγνή, κατευοδοῦ καὶ βασί-
[λευε
θεοπρεπῶς καὶ εὐφημοῦ
καὶ τοὺς τιμῶντάς σε, ἁγνή,
παντοίας ἐκλύτρωσαι
ἐπιβουλῆς καὶ πλάνης καὶ περιστά-
[σεως
καὶ ἀπροσκόπους ἀεὶ διαφύλαξον.

Ὠδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.

**Ἰ**άτρευσον
συντριβὴν τοῦ λαοῦ σου, πανάμωμε,
καὶ κάθαρον
τὴν τῆς πίστεως χώραν, ἐκκόπτουσα
τὰς ἀκάνθας, Δέσποινα,
τὸν θεῖον σπόρον ἐπαύξουσα
καὶ τὴν εἰρήνην βραβεύουσα.

**Ὡ**ς παστάδα
τοῦ Θεοῦ καὶ ναόν σε γινώσκομεν
ἐξαιτοῦμεν
τῆς ἀρρήτου σου δόξης ἀξίωσον
τοὺς ἐν πίστει, Δέσποινα,
ψυχῇ καὶ γνώμῃ ἀδιστάκτῳ
σκέπῃ τῇ σῇ καταφεύγοντας.

**Ξ**ένον θαῦμα
πῶς ὁ ὕψιστος γέγονεν γήϊνος
καὶ γηΐνους
πρὸς τὸ ὕψος διὰ σοῦ ἀνήγαγεν
ὃν καὶ νῦν ἱκέτευε,
ἁγνὴ καὶ μόνη Θεοτόκε,
σὴν κληρουχίαν φυλάττειν ἀεί.

Ὠδὴ στ΄. Ἐκύκλωσεν ἡμᾶς.

**Ο**ἱ θλίβοντες ἡμᾶς, Παρθένε ἄχραντε,
ἀπείρως ἐπληθύνθησαν
ἀλλ᾿ ὡς ἔχουσα τὸ κράτος πανσθενὲς
σῶσον τὸν λαόν σου ἀπὸ πάσης ὀργῆς·
σὺ γὰρ ἐλπὶς
τῶν ἀπορούντων καὶ ἡ παράκλησις.

**Ν**ῦν ἔκτεινον, ἁγνή, τὴν θείαν χεῖρά
[σου
καὶ σκέπασον τοὺς δούλους σου
ἀπὸ πάσης προσδοκίας τῶν ἐθνῶν
νίκας κατὰ τούτων χορηγοῦσα ἡμῖν·
σὺ γὰρ ἐλπὶς
τῶν ἀπορούντων καὶ ἡ παράκλησις.

**Ὤ**φθη ἐπὶ γῆς ἐκ σοῦ, πανάμωμε,
ἡ φύσις ἡ ἀσύγκριτος
ὁμοιώματι ἀνθρώπου γεγονὼς
ὃν ὑπὲρ τῶν δούλων σου καθικέτευε·
σὺ γὰρ ἐλπὶς
τῶν ἀπορούντων καὶ ἡ παράκλησις.

Ὠδὴ ζ΄. Σὲ νοητὴν Θεοτόκε.

**Θ**ρόνον Θεοῦ
καὶ παστάδα ἔμψυχον,
Θεογεννῆτορ, οἱ πιστοὶ
ἐπιγνόντες σε ἀληθῶς
πίστει ἐκβοῶμέν σοι·
σῶζε τοὺς οἰκέτας σου
ἐξ ἐπηρείας πάσης ἐχθρῶν
δεσμενῶν ὅπως ἀεὶ
εὐλογοῦμεν καὶ προσκυνοῦμέν σε.

**Ἕ**λκει κἀμέ,
Θεοτόκε ἄχραντε,
πρὸς ὑμνῳδίαν σου ἀεὶ
τὸ τοῦ θείου πόθου σου πῦρ
ὅπερ ἐν καρδίᾳ μου κέκτημαι
καὶ κράζω σοι τὴν τοῦ ἀγγέλου
θείαν φωνὴν ἐκ ψυχῆς
χαῖρε, ἁγνή, γηγενῶν
ἡ χαρὰ ὁ Κύριος μετὰ σοῦ.

**Ἡ** εὐμενής,
Θεοτόκε, φάνηθι
τεῖχος καὶ σκέπη τῶν ψυχῶν
τοῖς προσκυνοῦσι τῆς σῆς μορφῆς
τὸ θεῖον εἰκόνισμα·
τοῖς ὑπεναντίοις δὲ
πέλεξ γενοῦ καὶ φλὸξ κατεμπρήζουσα
τέμνουσά τε τὰς αὐτῶν
φρυγανώδεις λῃρωδίας, σεμνή.

Ὠδὴ η΄. Ἐν καμίνῳ παῖδες.

**Τ**ὰς ἀθέσμους, ἄχραντε σεμνή,
βλασφημίας τῶν κλίνων
καὶ θράση τῆς δυσμενείας
καὶ σκαιότητος αὐτῶν
κατάβαλε τάχιστα
ἵνα πάντες ὕμνοις συμφώνοις



ἀπαύστως ἀνυμνοῦμεν
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

**Ο**ἱ ἐπὶ πόθου, Δέσποινα ἁγνή,
τῆς ἀχράντου μορφῆς σου
τὴν θείαν ἐγγεγραμμένην
προσκυνοῦντες εὐσεβῶς
εἰκόνα ποθεῖμεν
ἐκβοῶντες πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Κ**ατὰ πάντα, μῆτερ τοῦ Θεοῦ,
χρεωστοῦμεν οἱ πάντες
γεραίρειν σε ὡς ἐλπίδα
ἀδιάψευστον ἡμῶν
καὶ βοᾶν ἑκάστοτε τῷ υἱῷ σου
πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τέλος τῆς ᾠδῆς.

**Ἔ**χοντες, ἁγνή, τὴν σκέπην σου
οἱ ἀδιστάκτῳ πίστει σοι προσφυόμενοι
πάσης λυτρωθείημεν
φθορᾶς καὶ κινδύνων τε
καὶ τῆς θείας ἐκείνης τευξόμεθα
τοῦ κτίστου καὶ υἱοῦ σου
ἀδιαφθόρου ἀπολαύσεως.

**Χ**αίροις τῆς χαρᾶς ἡ πρόξενος
καὶ τῆς ἀρρήτου δόξης ἡ ἀποκάλυψις·
χαίροις τῶν πιστῶν
σοῦ ἱκετῶν ἡ ἀνάστασις
καὶ τῶν σὲ μὴ σεβόντων κατάπτωσις
ἡ μόνη Θεοτόκος
τῶν γηγενῶν τὸ ἐγκαλλώπισμα.

**Ρ**ῆξον ἐν ποσί, πανάχραντε,
τῶν ὀρθοδόξων πάντως τοὺς ἐχθρό-
[φρονας
καὶ τὴν ἐκκλησίαν σου
ἐν ὁμονοίᾳ συντήρησον
τὴν εἰρήνην τῷ κόσμῳ βραβεύουσα
ἵνα σε, Θεοτόκε,
ἀκαταπαύστως μεγαλύνωμεν.

**Δ**έχου τὸ μικρὸν ἐφύμνιον
τῶν ἱκετῶν σου, πάναγνε Δέσποινα,
ὥσπερ ὁ υἱὸς
σοῦ καὶ Θεὸς ἀπεδέξατο
εὐσπλαγχνίᾳ τῆς πόρνης τὸν ἔλεον
καὶ δώρησαι τὴν λύσιν
τῶν ἐγκλημάτων ταῖς πρεσβείαις σου.

# 13

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

### ΕΙΣ ΣΕΙΣΜΟΝ

ΠΟΙΗΜΑ ΙΓΝΑΤΙΟΥ

Κωδ. Θ 91
φ. 321α Λαύρας.

**Ἦχος α΄. Ὠδὴ α΄. Σοῦ ἡ τροπαιοῦχος.**

**Ὁ** λόγῳ τανύσας οὐρανοὺς
καὶ τὰ τῆς γῆς ἑδράσας θεμέλια
ἵλεως γενοῦ ἡμῖν,
ὦ παντουργέ, ἐπὶ τοῖς παραπτώμασιν
ὅπως σοι τὸν ὕμνον
σὺν τῇ μητρί σου προσάξωμεν.

**Σ**ὲ τὴν ὑπὲρ ἔννοιαν καὶ νοῦν
τὸν τοῦ παντὸς συλλαβοῦσαν Θεὸν ἐν
καὶ γαστρὶ χωρήσασαν [σαρκὶ
ὑπερφυῶς καὶ ὡς βρέφος θηλάσασαν
πάντες ἀνυμνοῦμεν
ὡς πρόξενον σωτηρίας ἡμῶν.

**Τ**ὴν σὴν μεγαλώνυμον χαρὰν
τοῖς ἐν τῷ ζόφῳ τῆς λύπης καθεύδουσι
πᾶσιν ἐξαπόστειλον
ἡ πεμφαὴς θυμηδία, Θεόνυμφε,
καὶ τὴν ἀθυμίαν
τὴν τῶν ψυχῶν ἡμῶν δίωξον.

Ὠδὴ γ΄. Ὁ μόνος εἰδώς.

**Τ**αῖς σαῖς ἀεί, Παρθένε σεμνή,
ἀχράντοις δυσωπήσεσιν
ὡς εὐδιάλλακτον καὶ φιλάνθρωπον
ὃν ἐν γαστρί σου σαρκὶ συνείληφας
τὸν ἁγίων ἅγιον
ἐκτενῶς ἱλέωσαι
τὴν εἰρήνην τῷ κόσμῳ δωρήσασθαι.

**Σ**ὺ μόνη τεῖχος καὶ λιμὴν
καὶ ἄγκυρα καὶ γέφυρα
καὶ ἀπλανὴς ὁδὸς πρὸς εἰσόδους ζωῆς·
διὸ μὴ παύσῃ τοῦ ἐξελέσθαι λαὸν
ἐξ ἐχθρῶν καὶ πόλιν σου
τῇ ἁγνῇ πρεσβείᾳ σου
ἡ ἐλπὶς τῶν περάτων, πανύμνητε.

Ὠδὴ δ΄. Ὄρος σε τῇ χάριτι.

**Μ**όνην σε ὑπέρμαχον, πανύμνητε,
οἱ στεφηφόροι βασιλεῖς
καὶ εὐσεβείας ἐρασταί·
ἐκ σοῦ γὰρ ἐκβλύζουσιν
νικητικαὶ πηγαὶ ἀεὶ ἀνεξάντλητοι
τῶν ἐναντίων βουλὰς κατακλύζουσαι.

**Ἐ**χθρῶν σε ὀλετῆρα, Παρθένε, γινώσκομεν
τῶν δυσσεβούντων κατὰ σοῦ
καὶ τοῦ υἱοῦ σου καὶ Θεοῦ·
τῷ ὅπλῳ σου, Δέσποινα,
τῆς δυνατῆς πρεσβείας τούτους κατάβαλε
καὶ σωτηρίαν ἡμῖν περιποίησαι.

**Ἅ**παντες τῇ σκέπῃ σου τῇ θείᾳ προστρέχομεν
καὶ ὡς λιμένα ἀσφαλῆ
τῆς καταιγίδος τῶν ἐχθρῶν,
ἁγνή, σαῖς δεήσεσιν
ἀπαλλαγὴν δεινῶν εὐθὺς πορίζόμεθα
καὶ σωτηρίαν ἀεὶ κομιζόμεθα.

Ὠδὴ ε΄. Θεὸς ὢν εἰρήνης.

**Ἡ** πάντων γαλήνη,
Παρθένε ἁγνή,
καὶ λιμὴν τῶν ἐν ζάλῃ ὑπάρχουσα
τὸν κλύδωνα τῆς λύπης διασκέδασον ἡμῶν
ἵνα ὡς ἐν ἡμέρᾳ
χαρᾶς καταυγασθέντες
τοῦ φωτός σε μητέρα
τοῦ ἀπροσίτου καταγγέλλωμεν.

**Δ**υνάμει ἀμάχῳ
τρόπωσαι σοῦ
τοὺς ἀθέους ἐχθροὺς ἡμῶν, ἄχραντε,
τῷ κράτει γὰρ ἀνθίστανται τοῦ τόκου σου, ἁγνή,
ὅπλοις δὲ κοσμουμένῳ
τῆς σῆς δικαιοσύνης
βασιλεῖ, Θεομῆτορ,
στεφανηφόρῳ νίκην δώρησαι.

**Ἁ**πάντων τῶν ἐξ αἰῶνος
κτισμάτων, ἁγνή,
ἀνωτέρα προῆλθες τῷ κάλλει·
τῆς σῆς γὰρ ὡραιότητος ὁ μόνος βασιλεὺς
ἠράσθη καὶ φορέσας
ἐκ σοῦ βροτείαν φύσιν
καὶ ἐδόξασε ταύτην
καὶ σὲ δεικνύει Θεοτόκον ἁγνήν.

Ὠδὴ ϛ΄. Ἐκύκλωσεν ἡμᾶς.

**Δ**υνάμωσον ἡμᾶς τῷ σῷ ὀνόματι·
ἐν τούτῳ γὰρ ὡπλίσμεθα
μὴ ἐκπέσωμεν τοῦ σῴζοντος σκοποῦ
ἄνακτες ἐν πίστει δυσωποῦσί σε·
σὲ γάρ, ἁγνή,
ὅπλον δυνάμεως περιβάλλονται.

**Β**οήθεια γενοῦ καὶ ἱλαστήριον
ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν
καὶ τῷ κράτει τῆς πρεσβείας σου, σεμνή,
δώρησαι ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν.
ὅτι ἐν σοὶ
πᾶσαν ἐθέμεθα τὴν ἐλπίδα ἡμῶν.

**Τ**ὰ ὄμματα ἡμῶν καὶ τὰς καρδίας ἐν σοὶ



θερμῶς ἀνεπετάσαμεν
καὶ προσμένομεν βοήθειαν ἐκ σοῦ·
πέλεις γὰρ βοήθεια καὶ σκέπη πιστῶν
καὶ ἡ ἐλπὶς
τῶν ἀπορούντων καὶ ἐπανόρθωσις.

Ὠδὴ ζ΄. Σὲ νοητὴν Θεοτόκε.

**Σ**οὶ τῇ σεμνῇ
τὸ τῆς λύπης ἄλγημα
ἀπογυμνοῦμεν ὡς γυμνόν·
ἐξ ἐχθρῶν γὰρ ἐπιβουλῆς
ἐπηύξησε κάκωσις·
ὅθεν τῇ μεσιτείᾳ σου
νῦν θεραπεύσασα πράϋνον
τὸν αἴτιον τῶν πατέρων
Θεὸν ἱκετεύουσα ἀεί.

**Τ**ὴν σὲ πιστῶς
ἀνυμνοῦσαν, Δέσποινα,
πόλιν σου φρούρησον ἐν σοὶ
καὶ τὸ σκῆπτρον τὸ ἐν αὐτῇ
τήρησον ἀκράδαντον
ὅπλοις τῆς πρεσβείας σου·
τῇ μητρικῇ γὰρ αἰτήσει σου
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς τοῦτο παρέσχετο.

**Π**ᾶσαι βροτῶν
γενεαί, Πανύμνητε,
σὲ μακαρίζουσι πιστῶς·
μεγαλεῖα γὰρ τὰ ἐν σοὶ
ἅπερ ἐπηγγείλατο
μόνος ἐξεπλήρωσεν
οἰκήσας Λόγος ἐν μήτρᾳ σου
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η΄. Τῷ καμίνῳ παῖδες.

**Τ**ὰς ἡνίας ἔχοντες ἐκ σοῦ
οἱ εὐσεβείας στῦλοι
τῇ δόξῃ τῆς ἁλουργίδος
εὐεργέται βασιλεῖς
στηρίζονται λέγοντες·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Ὡ**ς τῶν θείων ὄντες ἐρασταὶ
τροπαιοφόρῳ νίκῃ
τοὺς πρὸς τρίβους ὀρθοδοξίας
ὁδηγοῦσιν ἀληθῶς
τὸ ποίμνιον λέγοντες·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Τ**οὺς μὴ γνόντας ὅλως τὸν ἐκ σοῦ
καὶ μὴ ὁμολογοῦντας
κυρίως σε Θεοτόκον
ἀπελαύνομεν πιστοὶ
τῆς σκέπης σου λέγοντες·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς.

**Θ**είῳ θυρεῷ καθόπλισον
καὶ τῷ μεγέθει, Λόγε, τοῦ σοῦ βραχίονος
στέψον κορυφὰς
νικητικῶς τῶν ἀνάκτων ἡμῶν
καὶ αὐχένας τυραννούντων σύγκαμψον
ἵνα σε, Παντοκράτορ,
ἀκαταπαύστως μεγαλύνωμεν.

**Ἴ**δε τοὺς τὴν σήν, πανάχραντε,
ἀπαρνουμένους σκέπην καὶ τούτους ὄλεσον
κοίμισον αὐτῶν
τὰ δυσσεβῆ βουλευτήρια
βασιλεῖς ἐξαιτοῦσι θεόφρονες
ἵνα σε, Θεοτόκε,
ἀκαταπαύστως μεγαλύνωμεν.

**Δ**έχου τὸν ἐμὸν εὐχάριστον
ἐκ πενιχρῶν χειλέων ὕμνον, πανάχραντε,
καὶ τὸν πειρασμὸν
τὸν καθ' ἡμῶν κορυφούμενον
ταῖς λιταῖς τῶν ἀνάκτων κατάπαυσον
ἵνα σε κατὰ χρέος
ἀκαταπαύστως μεγαλύνωμεν.

14

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

«*Τὴν τοῦ Θεοῦ πάναγνον ὑμνῶ μητέρα.*»

[ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ
ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ]

Κῶδ. Η 70
φ. 112α. Λαύρας.

## *Ἦχος α'. Ὠδὴ α'. Σοῦ ἡ τροπαιοῦχος.*

**Τ**έμενος ὑπάρχουσα Θεοῦ
ἐν τῇ γαστρί σου τὸν Λόγον ἐχώρησας
ἀρρήτως, πανάχραντε,
ἀγγελικῶς διό σε ἀναμέλπομεν·
κεχαριτωμένη
χαῖρε σκηνὴ θεοκόσμητε.

**Ἥ**νωσε Θεὸς τὰ ἐπὶ γῆς
τοῖς οὐρανίοις, Παρθένε θεόνυμφε,
συμπαθεὶς ἐν μήτρᾳ σου
καὶ δουλικὴν φορέσας ἀνθρωπότητα
φύσει Θεὸς μένων·
χαῖρε δοχεῖον τοῦ Πνεύματος.

**Ν**ῦν τοῦ προπάτορος Δαυὶδ
προφητικὸν ἐπληρώθη μελῴδημα
διὰ σοῦ, πανάμωμε·
ὡς ὑετὸς γὰρ κατέβη ὁ Ὕψιστος
ἐν τῇ σῇ νηδύϊ·
χαῖρε Θεοῦ ἡ λοχεύτρια.

**Τ**άξεις οὐρανίων λειτουργῶν
καὶ τῶν ἀνθρώπων τὸ γένος δοξάζουσι
τὸν ἄφθορον τόκον σου
δουλοπρεπῶς ἐν εὐφροσύνῃ κράζοντες·
χαῖρε θεῖε θρόνε
τοῦ βασιλέως, Θεόνυμφε.

Ὠδὴ γ'. Ὁ μόνος εἰδώς.

**Ὁ** κλίνας Θεὸς τοὺς οὐρανοὺς
καὶ καταβάς, πανάμωμε,
δαυϊτικῶς ἐν σοὶ σεσωμάτωται
βροτῶν τὴν φύσιν ἐπανορθώσασθαι·
διὸ πάντες κράζομεν
χαῖρε ἡ ἀνάκλησις
τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε.

**Ὑ**πάρχουσα ῥίζης τοῦ Δαυὶδ
ἐφάνης καθαρώτατον
τοῦ βασιλέως, Παρθένε, σκήνωμα·
ἐξ οὐρανοῦ γὰρ πρὸς σὲ τὴν ἄχραντον
Γαβριὴλ ἀρχάγγελος
ἀπεστάλη λέγων σοι
χαῖρε ὅτι συλλήψῃ τὸν Κύριον.

**Θ**υμίαμα εὔοσμον, ἁγνή,
καὶ ῥάβδος ἡ βλαστήσασα
συμβολικῶς καὶ λυχνία φέρουσα
τὸ τῆς θεότητος πῦρ ἐν μήτρᾳ σου
βάτος ἀκατάφλεκτος
ὄρος ἀλατόμητον
χαῖρε θρόνε Θεοῦ παντοκράτορος.

**Ἐ**βάστασας Λόγον τοῦ Θεοῦ
τὸν ἐκ πατρὸς ἀμήτορα
πρὸ τῶν αἰώνων τεχθέντα, πάναγνε,
θυμιατήριον ὥσπερ χρύσεον
θεῖον φέρον ἄνθρακα
χαῖρε πλὰξ θεόγραφε
καὶ τοῦ κόσμου παντὸς ἡ ἀνάκλησις.

Ὠδὴ δ'. Ὄρος σε τῇ χάριτι.

**Ὄ**ρους ὑπερέβης τῆς φύσεως, ἀ-
[χραντε,
τὸν τοῦ Θεοῦ μονογενῆ
υἱὸν καὶ Λόγον ἐν γαστρὶ
ἀρρήτως βαστάσασα
καὶ πλὴν ὠδίνων ὑπὲρ λόγον κυή-
[σασα·
ὅθεν σοι χαῖρε βοῶμεν, πανύμνητε.

**Υ**ἱὸς ὁ συνάναρχος πατρί τε καὶ
[Πνεύματι
βροτείαν φύσιν ὡς Θεός,
Παρθένε, θέλων ἐκ φθορᾶς
θανάτου λυτρώσασθαι
ἐν τῇ ἀχράντῳ σου νηδύϊ κατῴκησεν·
χαῖρε ἡ κλῖμαξ πρὸς πόλον ἀνάγουσα.

**Π**άλαι σε προεῖδε Μωσῆς ἀκατά-
[φλεκτον
βάτον ἐν ὄρει τῷ Σινᾶ
τῷ τῆς θεότητος πυρί,
Παρθένε ἀμόλυντε,
τὸ ὑπὲρ φύσιν προτυπῶν πῦρ ἐν μή-
[τρᾳ σου
τοῦ Λόγου χαῖρε πιστῶς ἡ ἀμίαντος.

**Ἄ**γγελον Θεοῦ σε προσιόντα ἡ πά-
[ναγνος
θεασαμένη, Γαβριήλ,
τὴν ἀνεκλάλητον χαρὰν
εὐαγγελιζόμενον
καὶ χαῖρε ὅτι τέξῃ λέγοντα Κύριον
κατὰ τὸ ῥῆμά σου ἔστω μοι, εἴρηκεν.

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

**Ν**έον φέρεις
ὡς παιδίον τὸν πάντων Δεσπότην, ἁγνή,
καὶ θηλάζεις
ὥσπερ βρέφος τὸν μάννα διαθρέψαντα
δι' ἀγγέλου σύλληψιν
τοῦ πρωτοστάτου δεξαμένη
χαῖρε Παρθένε θεόνυμφε.

**Ἀ**ναστᾶσα
ἐπορεύθης εἰς πόλιν Ἰούδα, σεμνή,
καὶ ἠσπάσω
Ἐλισάβετ τὴν κήρυκα τέξασαν
ἣ καὶ προσηγόρευσε
Θεοῦ καλέσασα μητέρα·
χαῖρε λυχνία πολύφωτε.

**Γ**λῶσσαν ξένην
τοῦ ἀγγέλου, Παρθένε, λαλοῦσαν καινὰ
τοῦ ἀσπόρου
τοκετοῦ παραδόξως ὡς ἤκουσας
ἐκπλαγεῖσα ἔκραζες
παρθένος οὖσα πῶς θηλάσω;
χαῖρε Θεοῦ ναὸς ἔμψυχος.

**Ν**ύμφη χαῖρε
ἡ τὸν κτίστην Θεὸν συλλαβοῦσα σαρκὶ
ὑπὲρ λόγον
καὶ τεκοῦσα, Παρθένε θεόνυμφε,
ἐπελεύσει Πνεύματος
μετὰ τὸν τόκον δὲ παρθένος
ὥσπερ τὸ πρὶν διαμείνασα.

Ὠδὴ ς'. Ἐκύκλωσεν ἡμᾶς.

**Ὁ** ἥλιος ἐκ σοῦ Χριστὸς ἀνέτειλεν
ὁ νοητός, ἀμόλυντε,
οὐρανῶν ὑψηλοτέραν σε δεικνύς·
ὅθεν ὡς ὁ ἄγγελος τὸ χαῖρέ σοι
ἐν ὑμνῳδίαις
μελῳδοῦμεν πανηγυρίζοντες.

**Ν**εφέλην νοητήν σε ὀνομάζομεν
ἣν πάλαι προεώρακε,
Θεοτόκε, ὁ προφήτης Μωσῆς
στύλον τε πυρίμορφον καὶ κλίμακα
τοῦ Γαβριήλ·
διὸ σοι χαῖρε προσαγορεύομεν.

**Ὑ**πάρχουσαν βασίλειον διάδημα
καὶ σκήνωμα πανάγιον
τοῦ ὑψίστου καὶ παντάνακτος Θεοῦ
ὕμνοις γεγηθότες εὐφημοῦμέν σε,
μῆτερ Θεοῦ,
χαῖρε ἡ στάμνος τὸ μάννα φέρουσα.

**Μ**ητέρα σε κυρίως ἐπιστάμεθα
Θεοῦ σάρκα φορέσαντος
ἐξ ἀχράντου σου νηδύος καὶ σεπτῆς
τόμον τε καὶ ὄρος κατάσκιον
προφητικῶς
χαρᾶς δοχεῖον χαῖρε Θεόνυμφε.

Ὠδὴ ζ'. Σὲ νοητὴν Θεοτόκε.

**Ν**ῦν διὰ σοῦ
τὸ πάλαι μυστήριον
ἡ προαιώνιος βουλὴ
πεφανέρωται τοῖς βροτοῖς
τεκούσης τὸν Κύριον,
κόρη ἀπειρόγαμε,
διὸ βοῶμεν γηθόμενοι· χαῖρε
τὸ φῶς ἡ τεκοῦσα
Θεὸν τὸν ὑπερένδοξον.

**Ὤ**φθης τοῖς πρὶν
προφήταις, πανάμωμε,
στῦλος πυρὸς συμβολικῶς





Bibliothek des Historicum

καὶ νεφέλη, θεία σκηνή,
ὄρος ἀλατόμητον,
πύλη ἀδιόδευτος,
ἐν ᾗ διώδευσε Κύριος· χαῖρε
Χριστὸν ἡ τεκοῦσα
Θεὸν τὸν ὑπερένδοξον.

***Μ***ητέρα Θεοῦ
σὲ προβλέπων, ἄχραντε,
ὁ Ἠσαΐας τηλαυγῶς
ἀνεβόα τέξης Θεόν,
ἁγνή, παντοδύναμον
πατρί τε συνάναρχον
βουλῆς μεγάλης τὸν ἄγγελον·
χαῖρε κατάρας ἡ λύσις
καὶ κόσμου διάσωσμα.

***Ἠ***ρθημεν νῦν,
Θεομῆτορ πάναγνε,
ἐκ τοῦ θανάτου τῆς σκιᾶς
πρὸς τὸ φῶς τὸ ἀληθινὸν
συλλήψει τῇ θείᾳ σου·
διὸ ἀγαλλόμενοι
χαρμονικῶς ἐκβοῶμέν σοι·
χαῖρε καθέδρα
Θεοῦ παντοκράτορος.

Ὠδὴ η΄. Ἐν καμίνῳ παῖδες.

***Τ***ὴν μητέρα τοῦ Ἐμμανουὴλ
καὶ μόνην Θεοτόκον
ἐν ᾄσμασι θεοφρόνως
εὐφημήσωμεν λαμπρῶς
φωνὴν ἀναμέλποντες
τοῦ ἀγγέλου χαῖρε ἡ πάντων
τεκοῦσα βασιλέα
ὃν ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

***Ε***ὖα τέρπου χόρευε Ἀδὰμ
ὡς πρὶν ἐν παραδείσῳ
τοῦ ξύλου κατατρυφῶντες
τῆς ζωῆς τοῦ νοητοῦ
Χριστοῦ καὶ βοήσατε τῇ Παρθένῳ·
χαῖρε δακρύων ἡ λύτρωσις, Παρθένε,
ἣν δοξολογοῦμεν
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

***Ρ***ητορεύων πάλαι Δανιὴλ
ἐν χώρᾳ τῶν Χαλδαίων
ἐκάλει θεσπικῶς σε
ἀλατόμητον ὄρος.
Παρθένε θεόνυμφε, χαῖρε λέγουν
πάντα τὰ ἔργα, πάναγνε,
σὲ ὑμνοῦσι
καὶ δοξολογοῦσιν
εἰς πάντας τοὺς αἰῶνας.

***Ἅ***γιον σε ἅμενος, ἁγνή,
καλοῦμεν Θεοδόχον
ὡς μόνην τῆς σωτηρίας
τῆς ἡμετέρας ἀπαρχὴν
καὶ χαῖρε βοῶμέν σοι τοῦ ἀγγέλου·
σὺ γὰρ τὴν πάντων τεκοῦσα σωτηρίαν
ἣν δοξολογοῦμεν
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς.

***Μ***έγα τὸ ἐν σοὶ μυστήριον
καὶ ὑπὲρ νοῦν ἡ σύλληψίς σου, πανά-
[μωμε,
οὐδεὶς γὰρ ἀνθρώπων
ἑρμηνεῦσαι δυνήσεται·
διὸ πίστει καὶ πόθῳ προσφέρομεν
τὸ χαῖρε τοῦ ἀγγέλου
χαῖρε κατάρας τὸ λυτήριον.

***Θ***ρόνος τοῦ Θεοῦ περίδοξος
ὤφθης, Παρθένε, καὶ σκηνὴ θεοχώρητος
λυχνία φωτὸς
τὸ θεῖον πῦρ ἡ βαστάσασα·
ὁ Θεὸς γὰρ ἐν σοὶ κατεσκήνωσε·
τοῦ Γαβριὴλ τὸ χαῖρε
διὸ ἀπαύστως ἐκβοῶμέν σοι.

***Ὕ***μνοις ἀσιγήτοις, πάναγνε,
τὴν ὑπὲρ νοῦν σου καὶ ἀπόρρητον σύλ-
[ληψιν
ἀρχαγγελικῶς
ὑμνολογοῦντες δοξάζομεν
χαῖρε λέγοντες νύμφη ἀνύμφευτε
οἱ δὲ τοὺς εὐφημοῦντας
τῆς θείας δόξης καταξίωσον.



# 15

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κῶδ. 354 φ. 4 β
Ἐθν. Βιβλ. Παρισίων
Θ. 61 φ. 19α
Λαύρας.

## [ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ]

*Ἦχος α΄. Ὠδὴ α΄. Σοῦ ἡ τροπαιοῦχος.*

***Π***ᾶσιν γενέσθαι τοῖς πιστοῖς
καὶ ὑμνεῖν, Θεοτόκε, δυσώπησον
Λόγον ὃν ἐγέννησας
σωματικῶς ἡμῖν ἐπιδημήσαντα·
σὲ γὰρ προστασίαν
καὶ σωτηρίαν κεκτήμεθα.

***Π***ύλην φωτοφόρον ὑφαντὴ
δι' ἧς ἡμῖν ὁ Δεσπότης ἐπῆλθε
σάρκα περικείμενος
τὴν καθ' ἡμᾶς ἀτρέπτως, πανάμωμε,
σὲ ὁμολογοῦντες
ὡς Θεοτόκον κηρύττομεν.

***Ὅ***λην τὴν μορφήν μου προσλαβὼν
ὁ ἐν μορφῇ Θεοῦ πρὶν καθορώμενος
ὅλην ἀνεκαίνισεν
ἐν τῇ γαστρί θεοπρεπῶς σαρκώσας με·
ὅθεν Θεοτόκον
πιστοί σε πάντες δοξάζομεν.

Ὠδὴ γ΄. Ὁ μόνος εἰδώς.

***Ἰ***δοὺ σὲ γεγέννηκας Θεὸν
ἐμψύχως καθ' ὑπόστασιν
συνεισδραμόντα σώματι, πάναγνε,
τροπῆς μὲν πάσης ἐκτὸς καὶ φύρσεως
καὶ ἐκτὸς συγχύσεως
σαφῶς διαμείναντα
τὸν τοῦ κόσμου σωτῆρα καὶ Κύριον.

***Ἐ***κ σοῦ ἀνεβλάστησεν, ἁγνή,
τὸ ἄνθος τὸ ἀμάραντον
εὐωδιάζον πᾶσαν τὴν ἀνθρωπότητα
τῷ θείῳ μύρῳ τῆς αὐτοῦ φύσεως
ὁ πατρὶ συνάναρχος
καὶ ἐκ σοῦ γενόμενος
ὑπὸ χρόνον, Παρθένε πανάμωμε.

***Λ***αμπρᾷ σε φωνῇ νῦν ἐκ ψυχῆς
κυρίως Θεομήτορα
τὴν τὸν Θεὸν τεκοῦσαν κηρύττομεν
σεσαρκωμένον ἐκ σοῦ τὸν ἄσαρκον
ἐν ἡμῖν οἰκήσαντα
οὐ τροπὴν δεξάμενον
οὐ φυρμῷ συγχυθέντα, πανύμνητε.

Ὠδὴ δ΄. Ὄρος σε τῇ χάριτι.

***Ἁ***γίων ἁγία Θεοτόκε πανύμνητε,
ἡ εὐδοκία τῶν ἐθνῶν
καὶ σωτηρία τῶν πιστῶν
ἐκ σοῦ ἀνατέταλκεν
ὁ λυτρωτὴς καὶ ζωοδότης καὶ Κύριος
εἰς σωτηρίαν ἡμῶν τῶν ὑμνούντων σε.

***Φ***ωτὸς σε καλοῦμεν ἀκηλίδωτον
[ἔσοπτρον
ὡς δεξαμένην τὴν αὐγὴν
τῆς θεϊκῆς μαρμαρυγῆς
καὶ ταύτην ἀστράψασαν
σωματικῶς παντὶ τῷ κόσμῳ, πανύ-
[μνητε,
εἰς σωτηρίαν ἡμῶν τῶν ὑμνούντων σε.

***Ρ***ομφαία τὰς πύλας τῆς Ἐδὲμ ἡ
[φυλάττουσα
παραχωρεῖ νῦν τοῖς πιστοῖς
καὶ ὑποδέχεται φαιδρῶς
τιμίῳ ἐν αἵματι
τοῦ ἐκ τῆς σῆς γαστρὸς τεχθέντος,
[πανάμωμε,
σημειωθέντας δρόσῳ καὶ χάριτι.

Ὠδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.

***Σ***ὲ προστάτιν
τῆς ζωῆς μου προβάλλομαι, πάναγνε,

σὲ ἐλπίδα
κεκτημένος οὐ καταισχυνθήσομαι·
σὲ κρηπῖδα τίθημι
διὰ παντὸς τῆς σωτηρίας·
σοῦ γὰρ πλουτῶ τὴν ἀντίληψιν.

**Ἀ**νέτειλας,
Θεομῆτορ, ὡς ὄρθρος τὸν ἥλιον
τὸν ἄδυτον
ἡνωμένον σαρκὶ καθ᾽ ὑπόστασιν
ἐν ἀγκάλαις φέρουσα
τῆς ἀληθοῦς δικαιοσύνης·
διό σε πάντες δοξάζομεν.

**Β**οήθεια
τῆς βροτῶν σωτηρίας γεγένησαι·
χωρίον γὰρ
τοῦ ὑψίστου ἐδείχθης ὡς πάναγνος,
Θεοτόκε Δέσποινα,
καὶ νῦν αἰτούντων ῥῦσον πάντων
σὴν προστασίαν, ἐλπὶς ἡμῶν.

Ὠδὴ στ΄. Ἐκύκλωσεν ἡμᾶς.

**Ὡ**ς εὔσπλαγχνος καὶ εὐσπλαγχνίας [αἴτιον
ἀγκάλαις σου βαστάσασα
τὸν φιλάνθρωπον δυσώπησον υἱὸν
σῶσαι τὸν λαόν σου, μητροπάρθενε,
σὺ γὰρ ἐλπὶς
καὶ σωτηρία καὶ ἐπανόρθωσις.

**Ν**ῦν, πάναγνε, τοὺς σοὺς οἰκέτας λύ- [τρωσαι
ἐκ πάσης περιστάσεως
τρικυμίας τε καὶ ζάλης τῶν παθῶν
καὶ πρὸς σὸν λιμένα καθοδήγησον·
σὺ γὰρ ἡμῶν
καὶ προστασία καὶ ἐπανόρθωσις.

**Κ**υρίως σε Θεοῦ μητέρα, πάναγνε,
φρονοῦντες καταγγέλλομεν·
τὸν γὰρ ἄναρχον υἱὸν μονογενῆ
τὸν πρὸ τῶν αἰώνων ἀναλάμψαντα
ἐκ τοῦ πατρὸς
ἀνερμηνεύτως, Παρθένε, τέτοκας.

Ὠδὴ ζ΄. Σὲ νοητὴν Θεοτόκε.

**Ἐ**ν σοί, ἁγνὴ
Θεοτόκε, τίθημι
πᾶσαν ἐλπίδα καὶ πρὸς σὲ
καταφεύγω διὰ παντός·
σῶσόν με πρεσβείαις σου·
ῥῦσαί με, πανάμωμε,
τῆς κατεχούσης συγχύσεως
καὶ τῶν δεινῶν παθῶν μου
καὶ παραπτώσεων.

**Ν**έμεις, ἁγνή,
τῶν πταισμάτων ἄφεσιν
τοῖς ἀνυμνοῦσί σε πιστῶς
λυτρουμένη ἐκ πειρασμῶν
πάσης περιστάσεως·
σὲ γὰρ νῦν κεκτήμεθα
καταφυγήν, Θεονύμφευτε,
ὡς αἰνετὸν τῶν πατέρων
Θεὸν χερσὶ βαστάσασαν.

**Ἄ**χραντος σὺ
ναὸς ἐχρημάτισας
καὶ παναγία κιβωτὸς
δεξαμένη τὸν ποιητὴν
καὶ τὸν ἀπερίληπτον
Λόγον ἐν κοιλίᾳ σου
σωματωθέντα, πανάμωμε,
ὃν ἐκτενῶς ὑπὲρ πάντων,
ἁγνή, ἱκέτευε.

Ὠδὴ η΄. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

**Μ**ακαρίζω σὲ τὴν ἀληθῆ
Θεοῦ ἡμῶν μητέρα
τὸ χαῖρε σὺν τῷ ἀγγέλῳ
προσκομίζων σοι, ἁγνή,
πανάμωμε Δέσποινα, ἀπαύστως·
πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Κ**αινῷ τρόπῳ καὶ ὑπερφυεῖ,
Παρθένε, συλλαβοῦσα
τὸν Λόγον τὸν τῷ Πατρὶ
συγκαθορώμενον υἱὸν
παρθένος διέμεινας·
σὲ ὑμνοῦμεν· πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.



**Γ**ῆ ἁγία πέφηνας, ἁγνή,
τὸν ζωηφόρον στάχυν
τεκοῦσα τῆς ἀϊδίου
ζωῆς πρόξενον Χριστόν
ᾧ πάντες κραυγάζομεν·
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς λοχείας σου.

**Σ**τῆσον τῆς σαρκὸς τὸ φρύαγμα
καὶ τῶν παθῶν, Παρθένε, παῦσον τὸν [τάραχον
τῶν προσφυγόντων,
Θεογεννῆτορ, τῇ σκέπῃ σου
καὶ ἐλπίδος κρηπῖδα ἐχόντων σε
καὶ θείαν προστασίαν
πεπλουτηκότων καὶ ἀντίληψιν.

**Ὢ** τῶν ὑπὲρ νοῦν θαυμάτων σου!
τὸν τοῦ Θεοῦ γὰρ Λόγον σάρκα γενό- [μενον
μόνη τέτοκας
ὑπερφυῶς, μητροπάρθενε,
τὸν τὰ σύμπαντα θείῳ βουλήματι
σοφῶς διακρατοῦντα
καὶ κυβερνῶντα καὶ συνέχοντα.

**Ὢ** πῶς ἡ Παρθένος τέτοκε
τὸν ἀεὶ ὄντα Λόγον καὶ ἐνυπόστατον
τὸ ἀπαύγασμα
τῆς πατρικῆς ὑποστάσεως
τὸν ἡμῶν εὐεργέτην καὶ Κύριον
ἐξ αὐτῆς σαρκωθέντα
ὃν ἐπαξίως μεγαλύνομεν.

## 16

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ[1]

Κώδ. 354 φ. 1
Ἐθν. Βιβλ. Παρισίων

[ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ
ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ]

***Ἦχος α΄. Ὠδὴ α΄. Σοῦ ἡ τροπαιοῦχος.***

**Π**οίαν σοι ἐπάξιον ᾠδὴν
ἡ ἡμετέρα προσοίσει ἀσθένεια;
εἰμὴ τὴν χαρμόσυνον
ἣν Γαβριὴλ ἡμᾶς ἐμυσταγώγησε·
χαῖρε Θεοτόκε
Παρθένε νύμφη ἀνύμφευτε.

**Τ**ῇ ἀειπαρθένῳ καὶ μητρὶ
τοῦ βασιλέως τῶν ἄνω δυνάμεων
ἐκ καθαρωτάτης καρδίας
πιστοὶ πνευματικῶς βοήσωμεν·
χαῖρε Θεοτόκε
Παρθένε μῆτερ ἀνύμφευτε.

**Ἄ**πειρος ἡ ἄβυσσος τῆς σῆς
ἀκαταλήπτου κυήσεως, πάναγνε,
πίστει ἀδιστάκτῳ οὖν
εἰλικρινῶς προστρέχομέν σοι λέγοντες·
χαῖρε Θεοτόκε
Παρθένε μῆτερ ἀνύμφευτε.

Ὠδὴ γ΄. Ὁ μόνος εἰδώς.

**Ν**εφέλην σε κούφην ἀψευδῶς,
Παρθένε, ὀνομάζομεν
προφητικαῖς ἑπόμενοι ῥήσεσιν·
ἐλήλυθε γὰρ ἐπὶ σοὶ Κύριος

1) Εὕρηται καὶ ἐν τῇ Παρακλητικῇ τῇ Κυριακῇ πρωῒ τοῦ Α΄ ἤχου.

καθελεῖν Αἰγύπτια
πλάνης χειροποίητα
καὶ φωτίσαι τοὺς ταῦτα λατρεύοντας.

**Σ**ὲ ἐσφραγισμένην ἀληθῶς
χορὸς προφητικῶς πηγὴν
καὶ κεκλεισμένην πύλην ὠνόμασε
τῆς παρθενίας τῆς σῆς, πανύμνητε,
τηλαυγῶς τὰ σύμβολα
ἡμῖν διαγράφουσαν
ἣν ἐφύλαξας καὶ μετὰ γέννησιν.

**Ν**οῦν τὸν ὑπερούσιον ἰδεῖν
ὡς θέμις ἀξιούμενος
ὁ Γαβριήλ, Παρθένε πανάμωμε,
περιχαρῆ σοι φωνὴν ἐκόμισε
τὴν τοῦ Λόγου σύλληψιν
ἐμφανῶς μηνύουσαν
καὶ τὸν ἄφραστον τόκον κηρύττουσαν.

Ὠδὴ δ΄. Ὄρος σε τῇ χάριτι.

**Ἄ**κουε θαυμάτων οὐρανὲ ἐνωτίζου
[δὲ ἡ γῆ
ὅτι θυγάτηρ χοϊκοῦ
τοῦ πεπτωκότος μὲν Ἀδὰμ
Θεοῦ ἐχρημάτισε
τοῦ ἑαυτῆς δημιουργοῦ τε λοχεύτρια
εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

**Ὑ**μνοῦμεν τὸ μέγα καὶ φρικτόν σου
[μυστήριον·
ὑπερκοσμίους γὰρ λαθὼν
ταξιαρχίας ἐπὶ σὲ
ὁ ὢν καταβέβηκεν
ὡς ὑετὸς ἐπὶ πόκον, πανύμνητε.

**Ἁ**γίων ἁγία Θεοτόκε πανύμνητε,
ἡ προσδοκία τῶν ἐθνῶν
καὶ σωτηρία τῶν πιστῶν
ἐκ σοῦ ἀνατέταλκεν
ὁ λυτρωτὴς καὶ ζωοδότης καὶ κύριος
ὃν ἐκδυσώπει σωθῆναι τοὺς δούλους σου.

Ὠδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.

**Ε**ὐφραίνονται
οὐρανῶν αἱ δυνάμεις ὁρῶσαί σε
ἀγάλλονται
σὺν αὐταῖς τῶν βροτῶν τὰ συστήματα·
τῷ γὰρ τόκῳ ἥνωνται
τῷ σῷ, Παρθένε Θεοτόκε,
ἣν ἐπαξίως δοξάζομεν.

**Κ**ινείσθωσαν
πᾶσαι γλῶσσαι βροτῶν καὶ ἔννοιαι
πρὸς ἔπαινον
τοῦ βροτῶν ἀληθῶς καλλωπίσματος·
ἡ Παρθένος πάρεστι
σοφῶς δοξάζουσα τοὺς πίστει
ταύτης ὑμνοῦντας τὰ θαύματα.

**Δ**οξάζεται
ὕμνος ἅπας σοφῶν καὶ ἐγκώμιον
τῇ Παρθένῳ
καὶ μητρὶ τοῦ Θεοῦ προσφερόμενος·
τῆς γὰρ δόξης γέγονεν
αὕτη ναὸς τῆς ὑπερθέου
ἣν ἐπαξίως δοξάζομεν.

Ὠδὴ ϛ΄. Ἐκύκλωσεν ἡμᾶς.

**Π**αρίστανται δουλοπρεπῶς τῷ τόκῳ
[σου
αἱ τάξεις αἱ οὐράνιαι
ἐκπληττόμεναι ἀξίως τὸ τῆς σῆς
ἀσπόρου λοχείας, ἀειπάρθενε,
σὺ γὰρ ἁγνὴ καὶ πρὸ τοῦ τόκου
καὶ μετὰ γέννησιν.

**Σ**εσάρκωται ὁ πρὶν ὑπάρχων ἄσαρκος
ὁ Λόγος ἐκ σοῦ, πάναγνε,
ὁ τὰ σύμπαντα βουλήματι ποιῶν
ὁ τῶν ἀσωμάτων τὰ στρατεύματα
παραγαγὼν ἐκ τοῦ μὴ ὄντος
ὡς παντοδύναμος.

**Ν**ενέκρωται ἐχθρὸς τῷ ζωηφόρῳ σου
καρπῷ, Θεοχαρίτωτε,
καὶ πεπάτηται ὁ ᾅδης προφανῶς
καὶ οἱ ἐν δεσμοῖς ἠλευθερώθημεν,
διὸ βοῶ τὰ πάθη λῦσον
τὰ τῆς καρδίας μου.

Ὠδὴ ζ΄. Σὲ νοητὴν Θεοτόκε.

**Σ**ὲ Ἰακὼβ
Θεοτόκε, κλίμακα
προφητικῶς κατανοεῖ·
διὰ σοῦ γὰρ ἐπὶ τῆς γῆς
ὁ ὑπερυψούμενος
ὤφθη τοῖς ἀνθρώποις τε
συνανεστράφη ὡς ηὐδόκησεν
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.



**Χ**αῖρε σεμνὴ
τοῦ Ἀδὰμ τὸ κάλλιον
ἐκ σοῦ προῆλθεν ὁ ποιητὴν
ἐνδυσάμενος ἀληθῶς
ὁ ὑπερυψούμενος
ὅλον με τὸν ἄνθρωπον
δι' εὐσπλαγχνίαν ἀκατάληπτον
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Ν**έος Ἀδὰμ
ἐξ ἁγνῶν αἱμάτων σου
ὁ προαιώνιος Θεὸς
ἐχρημάτισεν ἀληθῶς
ὅν περ νῦν ἱκέτευε
τὸν παλαιωθέντα με
ἀνακαινίσαι κραυγάζοντα
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η΄. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

**Τ**ὴν παστάδα τὴν φωτοειδῆ
ἐξ ἧς ὁ τῶν ἁπάντων
Δεσπότης ὥσπερ νυμφίος
προελήλυθε Χριστὸς
ὑμνήσωμεν ἅπαντες
ἐκβοῶντες· πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Χ**αῖρε θρόνε ἔνδοξε Θεοῦ
πιστῶν χαῖρε τὸ τεῖχος
δι' ἧς φῶς τοῖς ἐν σκότει
ἐξανέτειλε Χριστὸς
τοῖς σὲ μακαρίζουσι
καὶ βοῶσι πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Σ**ωτηρίας αἴτιον ἡμῖν
τὸν Κύριον τεκοῦσα
ἱκέτευε ὑπὲρ πάντων
τῶν βοώντων ἐκτενῶς,
Παρθένε πανύμνητε·
εὐλογεῖτε πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τύπος τῆς ἁγνῆς.

**Ρ**ίζης ἐκ Δαυὶδ ἐβλάστησας
προφητικῶς, Παρθένε, τοῦ θεοπάτορος
ἀλλὰ καὶ Δαυὶδ
ὡς ἀληθῶς σὺ ἐδόξασας
ὡς τεκοῦσα τὸν προφητευόμενον
τὸν Κύριον τῆς δόξης
ὃν ἐπαξίως μεγαλύνομεν.

**Ἅ**πας ἐγκωμίων, πάναγνε,
νόμος ἡττᾶται τῷ μεγέθει τῆς δόξης σου.
ἀλλά, Δέσποινα,
παρ' ἱκετῶν ἀναξίων μέν,
ἐξ εὐνοίας δέ σοι προσφερόμενον
προσδέχου, Θεοτόκε,
μετ' εὐμενείας τὸ ἐφύμνιον.

**Ὢ** τῶν ὑπὲρ νοῦν θαυμάτων σου!
σὺ γάρ, Παρθένε, μόνη ὑπὲρ τὸν ἥλιον
πᾶσι δέδωκας
κατανοεῖν τὸ καινότατον
θαῦμα, πάναγνε, τῆς σῆς γεννήσεως
τὸ τῆς ἀκαταλήπτου·
διό σε πάντες πάντες μεγαλύνομεν.

# 17

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1]

οὗ ἡ ἀκροστιχὶς κατ' ἀβ.

Κώδ. 370 φ. 1β.
Ἐθν. Βιβλ. Παρισίων

(ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ)

***Ἦχος α'. Ὠδὴ α'. Σοῦ ἡ τροπαιοῦχος.***

**Ἅ**γιόν σε τέμενος εὑρὼν
ὁ ὑπεράγιος Λόγος ἐσκήνωσεν,
ἄχραντε, ἐν μήτρᾳ σου
ἁγιασμὸν καὶ φωτισμὸν καὶ λύτρωσιν
τῶν ἁμαρτημάτων
τοῖς σὲ τιμῶσι δωρούμενος.

**Β**ότρυν ἡ τεκοῦσα τῆς ζωῆς
μέθῃ σκοτισθέντα με
ἁμαρτιῶν ὡς συμπαθὴς σωφρόνισον
καὶ πρὸς μετανοίας
ὁδοὺς εὐθείας εἰσάγαγε.

**Γ**νώμῃ ὀλισθαίνοντα ἀεὶ
καὶ λογισμοῖς πονηροῖς ἑλκόμενον
καὶ δελεαζόμενον
φρενοβλαβῶς καὶ τοῖς ἐχθροῖς εὐχεί-
[ρωτον
ὅλον γεγονότα
μὴ ὑπερίδῃς με, Δέσποινα.

Ὠδὴ γ'. Ὁ μόνος εἰδώς.

**Δ**εσπότην τεκοῦσα τοῦ παντὸς
καὶ πάντων οὖσα Δέσποινα
τῆς δεσποτείας νῦν με ἐξάρπασον
τῶν ἀκαθάρτων παθῶν, πανάμωμε,
ἐμαυτὸν ἀθλίως γὰρ
τούτοις κατεδούλωσα
ῥαθυμίᾳ καὶ γνώμης στρεβλότητι.

**Ἔ**χουσα ἀεὶ τὸ συμπαθὲς
ὡς μόνη συμπαθέστατον
καὶ ἀγαθὸν κτήσασα Κύριον
ἀσυμπαθῆ με ὄντα καὶ ἄσπλαγχνον
μοχθηρίᾳ φύσεως
μὴ παρίδῃς, ἄχραντε,
ἀλλ' ἐπίστρεψον σαῖς παρακλήσεσιν.

**Ζ**άλης με ἀτόπων λογισμῶν
κινδύνων τε καὶ θλίψεων
καὶ πειρασμῶν, Παρθένε, ἐξάρπασον
καὶ πρὸς λιμένας εὐθέτους ἴθυνον
καὶ γαλήνης πλήρωσον
τὴν ἐμὴν διάνοιαν
ἱκετεύω σε, μόνη πανύμνητε.

Ὠδὴ δ'. Ὄρος σε τῇ χάριτι.

**Ἥ**λιον, ἀλόχευτε νεφέλη, κτήσασα
δικαιοσύνης Ἰησοῦν
τὸν φωτοδότην καὶ Θεὸν
ψυχήν μου καταύγασον
τὴν ἐννυκτὶ τῆς ἁμαρτίας ὑπάρχουσαν
καὶ ἡδονῶν ἀμαυρώσει τυφλώττουσαν.

**Θ**ήρας με δαιμόνων καὶ φθορᾶς
[ἐξάρπασον
ἐπιζητούντων με ἀεὶ
κακοποιῆσαι δολερῶς,
ἑτοίμη βοήθεια
χριστιανῶν τῶν θλιβομένων ἀνά-
[γκαις,
Θεοκυῆτορ πανάμωμε Δέσποινα.

**Ἰ**σχύς μου καὶ ὕμνησις ὑπάρχει ὁ
[Κύριος
ὃν ἐξ αἱμάτων σου ἁγνῶν
ἐκυοφόρησας, ἁγνή,
αὐτὸν οὖν ἱκέτευε
διὰ παντὸς ἁγνὸν ψυχῇ τε καὶ σώματι
συντηρηθῆναι, Παρθένε, τὸν δοῦλόν
[σου.

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

**Κ**αρποφόρον
ἀρετῶν τὴν ψυχήν μου ἀνάδειξον

1) Εὕρηται καὶ ἐν τῇ Παρακλητικῇ τῇ Τετάρτῃ πρωὶ τοῦ Α' ἤχου.



τοὺς ἀκάρπους
λογισμούς μου, Παρθένε, ἐκκόπτουσα
καὶ τὰς συμπνιγούσας με
προρρίζους τέμνουσα ἀκάνθας
τῆς ἁμαρτίας, πανάχραντε.

**Λ**όγον θεῖον
δι' ἀγγέλου ἐν μήτρᾳ ἐχώρησας
ὑπὲρ λόγον,
Θεοτόκε· αὐτὸν οὖν δυσώπησον
ἐξ ἀλόγων πράξεων
καὶ ἡδονῶν θανατηφόρων
ἐλευθερῶσαι τοὺς δούλους σου.

**Μ**αράνασα
τῷ βλαστῷ σου τὸν ξύλῳ βλαστήσαντα
ἁμαρτίαν
τῆς σαρκός μου φρονήματα μάρανον
καὶ παθῶν ὁρμήματα
καὶ τρυφηλίας ἐναντίας
ὅπως ὑμνῶ σε, πανύμνητε.

Ὠδὴ στ'. Ἐκύκλωσεν ἡμᾶς.

**Ν**ενέκρωται ἐχθρὸς τῷ ζωηφόρῳ σου
καρπῷ, Θεοχαρίτωτε,
καὶ πεπάτηται ὁ ᾅδης προφανῶς
καὶ οἱ ἐν δεσμοῖς ἠλευθερώθημεν·
διὸ βοῶ τὰ πάθη λῦσον
τὰ τῆς καρδίας μου.

**Ξ**ενούμενον Θεοῦ διὰ φαυλότητα
καὶ πόρρω καθιστάμενον,
πανυμνήμητε, οἰκείωσον αὐτῷ
ξένῃ μεσιτείᾳ σου, Θεόνυμφε,
ὅπως ὑμνῶ τὰ μεγαλεῖα
τῆς δυναστείας σου.

**Ὁ** ἄχρονος υἱὸς ἐν χρόνῳ γέγονεν
ἐκ σοῦ ἀποτικτόμενος
ὃν ἱκέτευε τὰ χρόνια, ἁγνή,
πάθη θεραπεῦσαι τῆς καρδίας μου
καὶ πρὸς ζωὴν τὴν αἰωνίαν
καθοδηγῆσαί με.

Ὠδὴ ζ'. Σὲ νοητὴν Θεοτόκε.

**Π**ύλη φωτός,
πύλας μοι διάνοιξον
τῆς μετανοίας φωταυγεῖς
τὰς εἰσόδους τῶν ἡδονῶν
κλείουσα πρεσβείαις σου
καὶ ἀποδιώκουσα
τὰς πονηρὰς ἐνθυμήσεις μου
ὅπως ὑμνῶ καὶ δοξάζω
τὴν σὴν ἄμαχον δύναμιν.

**Ῥ**ύπον ψυχῆς
ἐξ ἀπροσεξίας μου
τὸν προστριβέντα μοι δεινῶς
ταῖς ῥανίσι σῶν οἰκτιρμῶν,
πάναγνε, ἀπόπλυνον
καὶ τῆς διανοίας μου
τὸ ῥυπαρὸν ἀποκάθαρον
ἵνα φωναῖς ἀσιγήτοις
ὑμνῶ τὰ μεγαλεῖά σου.

**Σ**ὺ τὴν πηγὴν
τῆς ζωῆς κυήσασα
θανατωθέντα με δεινῶς
τῶν δαιμόνων ἐπαγωγαῖς,
ἄχραντε πανάμωμε,
ζώωσον πρεσβείαις σου
τῷ σῷ υἱῷ ἀναμέλποντα·
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η'. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

**Τ**υραννεῖ με πρόσληψις παθῶν
δαιμόνων ἐπηρείᾳ
ἀλλ' ἔχων καταφυγήν σε
διασώζομαι τῷ σῷ
υἱῷ μέλπων, ἄχραντε·
εὐλογεῖτε πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Ὑ**περτέρα οὖσα οὐρανῶν
ὑπέρτερον τὸν νοῦν μου
τῆς ὕλης καὶ τῶν ἐν βίῳ
περιπτώσεων, ἁγνή,
ἀνάδειξον μέλποντα·
εὐλογείτω ἡ κτίσις πᾶσα
τὸν Κύριον ὑμνείτω
καὶ ὑπερυψούτω
εἰς πάντας τοὺς αἰῶνας.

**Φ**ωτοδότην τέξασα Θεόν,
ἀλόχευτε Παρθένε,

τὰ ὄμματα τῆς καρδίας μου
καταύγασον φωτὶ
Θεοῦ ἐπιγνώσεως
ὅπως ψάλλω· πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Ψ**ῦξον τῶν παθῶν μου, πάναγνε,
τὰς διαχύσεις πάσας καὶ ἀποξήρανον
τῶν ἁμαρτιῶν
ῥοῦ τὸν βυθὸν τὸν ἀπέραντον
ἡ σωτήριον ὄμβρον γεννήσασα
καὶ ποταμὸν εἰρήνης
καὶ εὐσπλαγχνίας μέγα πέλαγος.

ᾨδὴ θ'. Τύπον τῆς ἁγνῆς λοχείας σου.

**Χ**αίροις ἡ χαρὰν κυήσασα·
χαῖρε τὴν λύπην μόνη ἐξαφανίσασα·
χαῖρε τὰ νέφη
ἐκ τῶν ψυχῶν ἐκδιώκουσα
καὶ φωτὶ νοητῷ καταυγάζουσα
τοὺς πίστει σε καὶ πόθῳ,
Θεοκυῆτορ, μεγαλύνοντας.

**Ὤ**φθης ἰατρεῖον ἄμισθον
τραυματισθεῖσι πᾶσι καὶ τὴν ἀπόγνωσιν
νοσοῦσιν, ἁγνή,
καὶ λιμὴν θαλαττεύουσιν
ἐν πελάγει τοῦ βίου πονήρως·
ἐν ᾧ πᾶς καταφεύγων
πίστει σωζόμενος δοξάζει σε.

# 18

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ[1]

## [ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ]

Κώδ. 370 φ. 17β
Ἐθν. Βιβλ. Παρισίων

### Ἦχος α'. ᾨδὴ α'. Τῷ βοηθήσαντι Θεῷ.

**Ἐ**ν τῷ πελάγει τῶν παθῶν
καὶ τῇ ζάλῃ τῶν δεινῶν
κλυδωνιζόμενος ἐγὼ
τὴν σήν, ἄχραντε σεμνή,
ἐπικαλοῦμαι γαλήνην διάσωσον·
λιμὴν γὰρ εἶ τῶν πιστῶν.

**Π**ροκαθαρθεῖσα τὴν ψυχὴν
θείου Πνεύματος φωτὶ
ὅλον ἐδέξω ἐν γαστρὶ
τὸ ἀπαύγασμα πατρός·
διὸ τὸν ζόφον μου λῦσον τοῦ πταίσματος
Παρθένε ἄχραντε.

**Σ**ὲ τὴν οὐράνιον σκηνὴν
καὶ ἁγίαν κιβωτὸν
ἐν ᾗ τὸν οἶκον ἑαυτοῦ
ᾠκοδόμησε Χριστὸς
καὶ ἱλαστήριον ἔδειξεν εἰς σωτηρίαν
ἡμῶν μεγαλύνομεν.

**Σ**ὺ εἶ τοῦ γένους τῶν βροτῶν
ἀσφαλὴς καταφυγὴ
τεῖχος καὶ σκέπη καὶ λιμὴν
καὶ προστάτις κραταιὰ
ἐν μοχθηροῖς τοῦ βίου, πανύμνητε
Θεογεννήτρια.

ᾨδὴ γ'. Στερέωσον Κύριε.

**Ἐ**ν τῷ φωτί, Δέσποινα, τῷ τοῦ υἱοῦ σου
τὸ ζοφῶδες τῶν ἐμῶν ἀγνοημάτων
μετὰ δακρύων σου δέομαι
διασκέδασον τῇ σῇ πρεσβείᾳ.

**Ὡ**ς ἔχουσα, πανάχραντε, θαυμάτων ἄβυσσον
καὶ πηγὴν ἰαμάτων ταῖς πρεσβείαις σου
ἀπόσμηξον πάντα ῥύπον
τῆς ἐμῆς ψυχῆς τὸν ἐξ ἁμαρτίας.

1) Εὕρηται καὶ ἐν τῇ Παρακλητικῇ τῇ Παρασκευῇ πρωὶ τοῦ Α' ἤχου.



**Τ**ὸν ἄρρητον τόκον σου, εὐλογημένη,
προσκυνοῦμεν εἰς πρεσβείαν σε κεκτημένοι
δυσωποῦμεν, ἁγνή, πάσης ἀνάγκης
λυτρωθῆναι τοὺς σὲ ἀνυμνοῦντας.

**Ἐ**λπίδων σε πλήρωμα καὶ θείαν σκέπην
προστασίαν καὶ λιμένα σωτηρίας
κεκτήμεθα, μήτηρ τοῦ Λόγου
λάμψον ἡμῖν φῶς τῆς μετανοίας.

ᾨδὴ δ'. Κατενόησε ποντοδύναμε.

**Ἱ**λαστήριον ἀκαταίσχυντον
τὴν πρεσβείαν σου πάντες,
ἁγνὴ Παρθένε, οἱ πιστοὶ κεκτήμεθα.

**Θ**εόν, ἁγνή, Λόγον ἐν μήτρᾳ σου
ἀφράστως συλλαβοῦσα
Θεὸν σωτῆρα τέτοκας τοῦ γένους ἡμῶν.

**Ἀ**προσμάχητον τεῖχος ἔχοντες
τὴν σὴν σκέπην, Παρθένε,
τῶν ἀοράτων ἐχθρῶν λυτρούμεθα.

**Π**επτωκότας ἁμαρτήμασι
διανάστησον, κόρη
εὐλογημένη· ἐλπὶς γὰρ εἶ τῶν πιστῶν.

ᾨδὴ ε'. Ἐκ νυκτὸς ὀρθρίζοντες.

**Κ**ραταιάν σε ἀντίληψιν,
ἀειπάρθενε, ἐπίσχουσαν
ἐν πειρασμοῖς καὶ θλίψεσι
καὶ δειναῖς ἁμαρτίαις
εὕροιμεν εὔκαιρον βοήθειαν.

**Τ**ὰ τῶν ἀγγέλων στρατεύματα
ὡς τὸν κτίστην τῶν ἁπάντων
ὑπερφυῶς κυήσασαν
καὶ Παρθένον μείνασαν,
Θεοτόκε, ἀνυμνοῦσί σε ἀεί.

**Ἐ**ν τῇ πηγῇ τῶν ἰαμάτων σου
καὶ τοῖς ῥείθροις τῶν θαυμάτων σου
τὸν μολυσμὸν ἀπόπλυνον
τὸν ἐκ τῆς ἁμαρτίας
προστριβέντα μοι, πανάμωμε.

**Τ**ὸν ἱλασμὸν τῶν ψυχῶν ἡμῶν
ἐν νηδύϊ συλλαβοῦσα, ἁγνή,
σωτηρίαν τέτοκας
τοῖς ἐν πίστει ἀπλάνῳ
Θεοτόκον σε δοξάζουσιν.

ᾨδὴ στ'. Σὺν τῷ Ἰωνᾷ βοῶμέν σοι.

**Τ**ῶν ἀλγεινῶν μου παθῶν τὰ συντρίμματα
ἐν τῷ συνδέσμῳ, Δέσποινα, τῆς πρεσβείας σου
θεράπευσον καὶ τὴν ῥῶσίν μοι δώρησαι.

**Ὅ**λος συλληφθεὶς πολλοῖς ἀτοπήμασι
καὶ σαλευθεὶς τὸν νοῦν ἁμαρτίαις πολλαῖς
τῇ σκέπῃ σου καταφεύγω διάσωσόν με.

**Π**άντες ἀδιστάκτῳ πίστει σε, πάναγνε,
ἐκδυσωποῦμεν, Παρθένε, τῶν ἐπταισμένων
ἡμῖν δώρησαι λύσιν ὡς μήτηρ Θεοῦ.

**Ὡ**ς τοῦ νοητοῦ ἡλίου, πανάμωμε,
ἀναδειχθεῖσα ὄχημα φωταγώγησον
τοὺς ἐν νυκτὶ ἀγνοίας καθεύδοντας.

ᾨδὴ ζ'. Ὁ ἐν τῇ βάτῳ ὀφθείς.

**Ἐ**ν πειρασμοῖς βοηθὸν
ἐν κινδύνοις σωτηρίαν
σέ, Δέσποινα, ἐπιστάμενοι
πιστῶς ἐκβοῶμεν·
εὐλογημένος, πάναγνε,
ὁ καρπὸς τῆς κοιλίας σου.

**Τ**ὸν τῆς ζωῆς χορηγόν,
ὡς τεκοῦσα, Θεοτόκε,
ἀνάστησον νεκρωθέντα με
δειναῖς ἁμαρτίαις
εὐλογητὸς εἶ κράζοντα
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

**Θ**εὸς ἐκ σοῦ προελθὼν
ἐλυτρώσατο τὴν φύσιν
τῆς κατάρας καὶ ἰάσατο
τὰς πάντων ὀδύνας·
εὐλογημένος, πάναγνε,
ὁ καρπὸς τῆς κοιλίας σου.

**Χ**αῖρε χαρὰ τῶν πιστῶν
καὶ λυτήριον λύπης·
χαῖρε πάντων ἱλαστήριον
τῶν πίστει βοώντων·
εὐλογημένη ἄχραντε
Θεοτόκε πανύμνητε.

Ὠδὴ η΄. Ὕμνον σοι προσφέρομεν.

**Ἱ**λέωσαι τὸν εὔσπλαγχνον Θεὸν καὶ [Λόγον,
Θεομῆτορ, ὑπὲρ τῶν ἐν πίστει
ἀσιγήτως βοώντων·
εὐλογεῖτε πάντα τὰ ἔργα
Κυρίου τὸν Κύριον.

**Κ**αθάρσιον ἔχοντες τὴν σὴν πρεσβείαν
οἱ ἐμπαγέντες βυθῷ πταισμάτων,
Θεοτόκε, βοῶμεν·
εὐλογεῖτε πάντα τὰ ἔργα
Κυρίου τὸν Κύριον.

**Σ**ὲ πάντες καταφύγιον ἐν περιστάσει
καὶ συμμαχίαν καὶ προστασίαν
κεκτημένοι βοῶμεν·
εὐλογεῖτε πάντα τὰ ἔργα
Κυρίου τὸν Κύριον.

**Ἀ**χλὺς κυμάτων δεινῶν συνταράττει [με·
διὸ προστρέχω ἐν τῷ λιμένι
τῆς σῆς πρεσβείας κραυγάζων·
εὐλογεῖτε πάντα τὰ ἔργα
Κυρίου τὸν Κύριον.

Ὠδὴ θ΄. Σὲ ἣν προεῖδε Μωσῆς.

**Ἔ**χουσα πλῆθος συμπαθείας
καὶ πλουσίους οἰκτιρμούς,
τὰ πάθη καὶ τραύματα
τοῦ σώματος καὶ ψυχῆς
καὶ τὰς ὀδύνας θεράπευσον,
Δέσποινα, δούλου τοῦ σοῦ
ὅπως κατὰ χρέος δοξάζω σε.

**Σ**ὲ τὴν τὸν Λόγον τοῦ Πατρὸς
συλλαβοῦσαν ἐν γαστρὶ
καὶ τοῦτον κυήσασαν
ὑπὲρ φύσιν, πάναγνε,
καὶ παρθένον μείνασαν
δοξολογῶ εὐχαρίστως κράζων σοι·
χαῖρε ἁμαρτωλῶν ἡ βοήθεια.

**Μ**όνη ὑπάρχεις ἀπλανὴς
ὁδηγία τῶν πιστῶν
καὶ τρίβος σωτήριος
εἰς εὐθεῖαν ἡμᾶς ἄγουσα
ὁδὸν οὐράνιον
τῆς βασιλείας τοῦ μόνου Θεοῦ, ἄχραντε,
ἡ ἐλπὶς τῶν ψυχῶν ἡμῶν.

**Σ**ὺ τὸν οὐράνιον ἡμῖν
ἐγεώργησας στάχυν
καὶ τρέφεις, πανάμωμε,
καὶ πρεσβεύεις πάντοτε
καὶ σώζεις ἐκ θλίψεως
καὶ κινδύνων καὶ παρέχεις ἅπασιν
ἱλασμὸν ἁμαρτιῶν τοῖς ὑμνοῦσί σε.



# 19

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς ὑστέροις Θεοτοκίοις

« *Ἰωάννης Θ.* »

Κώδ. 139
φ. 1α Λαύρας.

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ
ΤΟΥ ΘΗΚΑΡΑ

***Ἦχος α΄. Ὠδὴ α΄. Σοῦ ἡ τροπαιοῦχος.***

**Π**άντων καὶ ἀγγέλων καὶ βροτῶν 1)
ἰλιγγιῶσιν ὑμνεῖν σε τὰ τάγματα,
μόνη πολυΰμνητε
χριστιανῶν τὸ κραταιὸν προσφύγιον,
πῶς δὲ καὶ τολμήσω
αὐτὸς ὑμνῆσαί σε, Δέσποινα,

**Ἀ**λλ᾽ ἐπὶ τῷ πλήθει σου, ἁγνή,
τῆς εὐσπλαγχνίας θαρρῶν ὁ πανάθλιος
πίστει σοι προσέρχομαι
ὁ εὐτελὴς καὶ παρειμένος δοῦλός σου
λόγον μοι δοθῆναι
ᾠδήν σοι ᾆσαι χαρμόσυνον.

**Χ**αῖρε μυστηρίου τοῦ φρικτοῦ
καὶ ἀποκρύφου καὶ θείου φανέρωσις·
χαῖρε στάμνε πάγχρυσε
καὶ παραδείσου θεῖον ἀνοικτήριον·
χαῖρε Θεοτόκε
Παρθένε μῆτερ ἀνύμφευτε.

**Ἵ**να σοι πιστοὶ περιχαρῶς
οἱ διὰ σοῦ τῆς χαρᾶς ἀπολαύσαντες
τὸ χαῖρε βοήσωμεν,
εὐλογημένη Μαρία θεόνυμφε,
πάσης ἡμᾶς ῥῦσαι
ἀνάγκης τε καὶ κακώσεως.

Ὠδὴ γ΄. Ὁ μόνος εἰδώς.

**Χ**αῖρε ἡ παγκόσμιος χαρὰ
καὶ ᾅδου ἡ καθαίρεσις·
χαῖρε δι᾽ ἧς κατήργηται θάνατος
Ἀδὰμ ἀνέστη τοῦ πρώτου πτώματος
καὶ ἡ Εὔα λέλυται
τῶν ὠδίνων, ἄχραντε·
χαῖρε κόσμου θερμὸν ἱλαστήριον.

**Χ**αῖρε ἡ ἀνάστασις ἡμῶν
τῶν πίστει ἐγνωκότων σε
πανάληθῆ μητέρα τοῦ κτίσαντος·
ἡ τῶν δαιμόνων χαῖρε κατάλυσις·
χαῖρε βάτε πυρφόρε
Μωσῆς ἣν τεθέαται
μὴ τακεῖσαν περὶ τῆς θεότητος.

**Ν**υκτὶ καλυφθέντα λυπηρῶν
καὶ σκότει συνεχόμενον
τῶν συμφορῶν με, πάναγνε Δέσποινα,
ὅλον με κατάλαμψον
καὶ φωτί σου λάμπρυνον
καὶ χαρᾶς σου τῆς θείας ἀξίωσον.

**Ὢ** θαῦμα καὶ ἄκουσμα καινὸν
καὶ θέαμα ἐξαίσιον

1) Ἐν τῷ ναῷ τῆς μονῆς τοῦ ἁγίου Σάββα ἐν Ἱεροσολύμοις ἐπὶ τοῦ προσώπου τοῦ πρώτου πεσσοῦ εὕρηται ὁ Σαβαΐτης Στέφανος ὁ ποιητὴς κρατῶν βιβλίον ἐν ᾧ ἀναγινώσκομεν ταῦτα: «Πάντων ἀγγέλων καὶ βροτῶν ἰλιγγιῶσι, Παρθένε, τὰ τάγματα, πῶς δὲ καὶ τολμήσω αὐτὸς ὑμνῆσαί σε· σῶσον ἐκ παθῶν τὴν ποίμνην σου ῥῦσαι πάσης βλάβης τοῦ πολεμήτορος». (Ἴδε Ἰ. Φωκυλίδου, Ἡ ἱερὰ Λαύρα Σάβα τοῦ ἡγιασμένου, ἐν Ἀλεξανδρείᾳ 1927, σ. 27). Οἱ ἀναγράψαντες τ᾽ ἀνωτέρω εἰς Στέφανον τὸν Σαβαΐτην προφανῶς ἐπλανήθησαν, ὡς καὶ εἰς ἄλλας ἐπιγραφὰς τῶν εἰλητορίων. Οἱ Κανόνες οὗτοι τοῦ Θηκαρᾶ εἰς πέντε τὰ σωζόμενα ἐν χειρογράφοις Θεοτοκάρια ἐπιγράφονται εἰς ὄνομα Ἰωάννου τοῦ Δαμασκηνοῦ, οὐδὲ τῶν Ἱεροσολυμιτικῶν ἐξαιρουμένων. (Ἴδε Κώδ. 399, 550, 391, 326, 66 Ἱεροσολ. Βιβλ. (Κεραμέως, Ἱεροσολυμ. Βιβλιοθ. τ. Β΄).

ὡς ἀληθῶς καὶ ὄντως παράδοξον!
Παρθένος τίκτει τὸν ὑπερούσιον
τῷ πατρὶ συνάναρχον
καὶ τῷ θείῳ Πνεύματι
ὁμοούσιον καὶ συναΐδιον.

Ὠδὴ δ'. Ὄρος σε τῇ χάριτι.

**Χ**αῖρέ σοι, Παρθένε, Γαβριὴλ ὁ ἀρχάγγελος
ἐν Ναζαρὲτ καταπεμφθεὶς
τῇ βασιλίδι ἐβόα·
χαῖρέ σοι κραυγάζομεν
καὶ οἱ βροτοὶ σὺν τῷ ἀγγέλῳ γηθόμενοι
καὶ σεσωσμένοι τῷ τόκῳ σου, ἄχραντε.

**Τ**ὸ χαῖρε τῇ μητρὶ τοῦ Θεοῦ ἡμῶν ᾄσωμεν·
χαῖρε ἀμόλυντε σκηνή·
χαῖρε χρυσῆ περιστερά·
χαρᾶς ἡ ἀνέγερσις
καὶ τῆς ἀρᾶς περιφανὲς ἀμυντήριον,
Θεοκυῆτορ πανάμωμε Δέσποινα.

**Π**αθῶν με τρικυμίαι χειμάζουσι, Δέσποινα,
καὶ συμφορῶν παντοδαπῶν
νέφη καλύπτουσιν, ἁγνή,
ψυχήν μου τὴν τάλαιναν·
ἀλλ' ἡ τὸ φῶς τῆς ἀπαθείας κυήσασα
τῷ σῷ φωτί με καταύγασον δέομαι.

**Ἀ**νάστα τοῦ ὕπνου τῆς δεινῆς ῥαθυμίας σου,
ὦ παναθλία καὶ σαθρά,
καὶ παναμάρτωλε ψυχή,
καὶ βόησον ἥμαρτον
σοὶ τῷ Θεῷ καὶ ποιητῇ καὶ πλάστῃ μου
τῆς σῆς πρεσβείαις μητρός με οἰκτείρησον.

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

**Χ**αῖρε θρόνε
τοῦ Θεοῦ τῶν ἁπάντων, πανέντιμε,
χαῖρε τεῖχος
τῶν πιστῶν καὶ ἀσάλευτον ἔρεισμα·
χαῖρε θεία γέφυρα
βροτοὺς μετάγουσα πρὸς θείαν
καὶ μακαρίαν ἀπόλαυσιν.

**Χ**αῖρε ὄρος
τοῦ Θεοῦ ἐμφανὲς καὶ κατάσκιον,
Θεοτόκε,
καὶ πιστῶν ἀσφαλὲς φυλακτήριον·
χαῖρε φῶς τὸ ἄδυτον,
ἁγνή, ὃ μυστικῶς ἀποτεκοῦσα
τὸ καταλάμπον τὰ σύμπαντα.

**Κ**ατεύνασον
τῶν παθῶν μου τὸν ἄγριον κλύδωνα
καὶ σειραῖς μου
τῶν ἀμέτρων πταισμάτων διάλυσον
καὶ ἐν βόθρῳ κείμενον
ἀνάστησόν με, Θεομῆτορ,
ὅπως ἀξίως δοξάζω σε.

**Ν**αυαγίῳ
πειρασμῶν ἐποντίσθην ὁ δείλαιος
καὶ πρὸς χάος
ἀπογνώσεως ὁ ἄθλιος πέφθακα,
πανάγνε, δίδου μοι
χεῖρα τὴν σὴν ὡς ἐλεήμων
καὶ τῶν δεινῶν με ἀνάγαγε.

Ὠδὴ στ'. Ἐκύκλωσεν ἡμᾶς.

**Π**υρίμορφον Θεοῦ χαῖρε παλάτιον·
χαῖρε ἔμψυχε τράπεζα
ἄρτον φέρουσα οὐράνιον Χριστόν·
χαῖρε παρθενίας τὸ κειμήλιον·
χαῖρε ἰσχὺς
τῶν πεπτωκότων καὶ ἐπανόρθωσις.

**Ἀ**γνείας καθαρὸν χαῖρε θυσιαστήριον·
χαῖρε παστὰς ὁλόφωτε·
χαῖρε ἄκουσμα καὶ λάλημα φρικτόν·
χαῖρε ζωοδότην ἀποτέξασα·
χαῖρε ἰσχὺς
τῶν πεπτωκότων καὶ ἐπανόρθωσις.

**Κ**ατάρραξον ἀμάχῳ τῇ δυνάμει σου,
Θεοκυῆτορ Δέσποινα,
τὰς δεινὰς ἐπαναστάσεις τῶν ἐχθρῶν
καὶ τὰς ἑλεπόλεις καὶ φρυάγματα
καὶ πρὸς βυθὸν
τῆς ἀπωλείας τούτους παράπεμψον.

**Ν**ῦν, πάναγνε, τὸν σὸν ἱκέτην λύτρωσαι
ἐκ πάσης περιστάσεως



ἐπηρείας καὶ ὀργῆς τε καὶ θυμοῦ
φθόνου τε δεινοῦ καὶ κατακρίσεως
ἐπιβουλῆς
τῶν καθ' ἑκάστην ἐπεμβαινόντων μοι.

## ΚΑΘΙΣΜΑ

### Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

**Τ**ὰς χεῖράς σου τὰς θείας
εἰς τὸν κτίστην ἐβάστασας,
πανάχραντε Μαρία,
σαρκωθέντα χρηστότητι·
πρότεινον δεσπότην αὐτὸν
λυτρώσασθαι ἡμᾶς ἐκ πειρασμῶν
καὶ παθῶν καὶ κινδύνων
τοὺς ἀνυμνοῦντας πίστει καὶ βοῶντάς σοι·
δόξα τῷ ἐνοικήσαντι ἐν σοί·
δόξα τῷ προελθόντι ἐκ σοῦ·
δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Ὠδὴ ζ'. Σὲ νοητὴν Θεοτόκε.

**Ὁ** φωτεινὸς
τοῦ Δεσπότου θάλαμος
χαῖρε πανθαύμαστε ἁγνή·
χαῖρε τεῖχος τὸ τῶν πιστῶν·
χαῖρε κλίμαξ ἄγουσα
πρὸς θείαν κατάπαυσιν
τοὺς μελῳδοῦντας τῷ τόκῳ σου·
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Χ**αῖρε πιστῶν
ἀσφαλὲς προπύργιον·
χαῖρε πανάχραντε ἁγνή·
χαῖρε ἄσυλε θησαυρὲ
ὄλβος ὁ ἀένναος
τοῖς εἰς σὲ προστρέχουσι
καὶ τῷ υἱῷ σου κραυγάζουσιν·
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Π**λήθη πολλῶν
πειρασμῶν χειμάζουσι
τὴν παναθλίαν μου ψυχὴν
περιστάσεις καὶ συμφοραί,
κόρη ἀπειρόγαμε,
πρόστηθι καὶ δεῖξόν με
τούτων ἀνώτερον κράζοντα·
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Ἡ** φοβερὰ
τοῦ Δεσπότου ἔγγικε
κρίσις, ἀθλία μου ψυχή,
τί καθεύδεις τί ἀμελεῖς
σπεῦσον ἐξανάστηθι
βόησον τῷ κτίστῃ σου
ταῖς μητρικαῖς σου ἐντεύξεσιν
ῥῦσαι δεινῶν αἰωνίων
πικρῶς ἀποκειμένων μοι.

Ὠδὴ η'. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

**Χ**αῖρε θρόνε ἔνδοξε Θεοῦ·
χαῖρε τῆς ἐκκλησίας
τὸ κάλλος, Θεοτόκε,
καὶ κραταίωμα στερρὸν
καὶ τεῖχος ἀπόρθητον
τοῖς βοῶσι· πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Χ**αῖρε πύλη πύρινε δι' οὗ
εἰσήχθημεν πρὸς θείαν
κατάπαυσιν, Παρθένε,
οἱ ἐξόριστοι τὸ πρὶν
βοῶντες καὶ λέγοντες·
εὐλογεῖτε πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Ἐ**κ πασῶν με, κόρη, συμφορῶν
σκανδάλων πολυτρόπων
ἐχθρῶν τε ἐπιζητούντων
ἀπολέσαι με δεινῶς
ἐξάρπασον κράζοντα·
εὐλογεῖτε πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Σ**ῶσαι θέλων ἅπαντας, σωτήρ,
ἐν μήτρᾳ τῆς Παρθένου

κατοίκησις, ἣν προστάτιν
καὶ προπύργιον ἡμῖν
τοῖς μέλπουσιν ἔδωκας·
εὐλογεῖτε πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τύπον τῆς ἁγνῆς λοχείας σου.

**Χ**αίροις οἰκουμένης καύχημα·
χαῖρε μαρτύρων στέφος τὸ ἀμαράντινον·
χαῖρε φωτεινὸν
καὶ χρυσαυγὲς ἐνδιαίτημα
τοῦ Δεσπότου τῶν ὅλων, Θεόνυμφε,
ᾧ πρέσβευε σωθῆναι
πάσης κακώσεως τοὺς δούλους σου.

**Χ**αῖρε νοητὲ παράδεισε·
σὺ γὰρ ζωῆς τὸ ξύλον ἐβλάστησας
τοῦ προτέρου ξύ-
λου τὸ ὀλέθριον λύσαντα
καὶ ζωὴν χαριζόμενον ἅπασι
τοῖς σὲ ἀνευφημοῦσι
καὶ Θεοτόκον καταγγέλλουσιν.

**Θ**ραῦσον τὰς ὀδύνας, Δέσποινα,
τὰς συνεχούσας νῦν με ψυχῇ καὶ σώματι
καὶ μετάβαλε
εἰς εὐφροσύνην τὰ δάκρυα
εἰς χαρὰν δὲ τὸ πένθος μετάστρεψον
κἀμοῦ τοῦ πανἀθλίου
ἵνα προθύμως μεγαλύνω σε.

**Θ**ραῦσον τὴν ἰσχύν, Θεόνυμφε,
καὶ τὴν ὀργὴν εἰς τέλος τάχος ἀφάνισον
τῶν κακοποιούν-
των με ἐχθρῶν τὸν πανάθλιον
καὶ δουλείας τῆς τούτων ἀπάλλαξον
Θεοκύῆτορ κόρη,
ὅπως ἀπαύστως μεγαλύνω σε.

---

# 20
# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς ὑστέροις Θεοτοκίοις
« *Ἰωάννης Θ.* »

Κώδ. Ι 39
φ. 7 Αὐγούστ.

## ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ
## ΤΟΥ ΘΗΚΑΡΑ

***Ὠδὴ α'. Ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος.***

**Χ**αῖρε προφητῶν τὸ ἀψευδὲς
καὶ διαπρύσιον, πάναγνε, κήρυγμα·
τούτων αἱ προρρήσεις γὰρ
ἐν σοὶ σαφῶς τὸ πέρας ἔλαβον·
τὸν γὰρ πρὸ αἰώνων
Θεὸν ἀφράστως ἐκύησας.

**Χ**αῖρε ἀποστόλων τὸ ἡδὺ
καὶ πολυεύλαλον στόμα, Θεόνυμφε·
ὃν γὰρ ἀπεκύησας
μεγαλοφώνως τοῦτον ἀνεκήρυξαν
ἔθνεσι τοῖς πᾶσι
Θεὸν καὶ ἄνθρωπον τέλειον.

**Ρ**ώμῃ περιέπεσα, ἁγνή,
τῆς διανοίας εἰργούσῃ τὰ ὄμματα
βλέπειν με τὰ δέοντα·
ἀλλ' ἡ τὸ φῶς ἀρρήτως ἀνατείλασα
κάθαρον ἐκ ταύτης
ταῖς σαῖς αὐγαῖς με φωτίζουσα.

**Ἱ**λάσθητι, μόνε ἀγαθέ,
καὶ τῶν σφαλμάτων δίδου μοι ἄφεσιν
καὶ τῆς πανυμνήτου σου
μητρὸς λιταῖς ἐπικαμπτόμενος
μόνος ὡς οἰκτίρμων
καὶ ὑπεράγαθος Κύριος.



Ὠδὴ γ'. Ὁ μόνος εἰδώς.

**Θ**εοῦ χαῖρε πύλη νοητὴ
τοῦ πάντων βασιλεύοντος·
χαῖρε παστὰς ἀρρήτου νυμφεύσεως
κατασπιτάκτων χαῖρε ἀνόρθωσις·
χαῖρε κλῖμαξ ἔμψυχε
τοὺς θνητοὺς ἀνάγουσα
νοητὴν πρὸς οὐράνιον εἴσοδον.

**Β**οῶμέν σοι χαῖρε οἱ πιστοί,
Παρθένε ἀπειρόγαμε,
οἱ διὰ σοῦ τὸ νῦν ἐπτεινάξαντες
καὶ τὰς ἐκεῖθεν μονὰς οἰκήσαντες
ἔνθα φῶς τὸ ἄδυτον
καὶ χαρὰ ἀνέκφραστος
καὶ δικαίων ἀγάλλονται πνεύματα.

**Ν**οσοῦντα τὸ σῶμα καὶ ψυχὴν
καὶ κόποις συνεχόμενον
ταῖς προσβολαῖς τοῦ βίου, Θεόνυμφε,
ἐπίσκεψαί με περιστατούμενον
καὶ ἐξαπορούμενον
καὶ πρὸς σὲ τὴν ἄμαχον
καταφεύγοντα, Δέσποινα, σῶσόν με.

**Ὡ**ς ὄντως παράδοξον, ἁγνή,
καὶ μέγα τὸ μυστήριον
τὸ ἐπὶ σοὶ πραχθέν, Θεονύμφευτε,
Θεὸς ὁρᾶται ἐκ σοῦ τικτόμενος
μὴ τροπὴν τῆς φύσεως
ὑποστὰς ὁ ἄτρεπτος
ἀλλὰ μείνας ὃ ἦν πρὸ σαρκώσεως.

Ὠδὴ δ'. Ὄρος σε τῇ χάριτι.

**Χ**αῖρέ σοι τῇ πανάγνῳ βοῶμεν οἱ
[δοῦλοί σου·
χαῖρε τὸ καύχημα ἡμῶν
καὶ ἀγαλλίαμα, ἁγνή,
ἡ πύλη ἡ ἔνθεος
τοῖς ἐπὶ γῆς δι' ἧς ὁ ὕψιστος ἥνωται
καὶ πεπτωκότας ἡμᾶς συνανέστησεν.

**Τ**ὸ ἄνθος τῆς πίστεως χαῖρε πανα-
[κήρατε
χαῖρε παράδεισε τρυφῆς·
χαῖρε ἀγγέλων χαρμονὴ
ἁγίασμα ἔνδοξον
καὶ ἱερὸν τῆς παρθενίας κειμήλιον·
χαῖρε βροτῶν πρὸς Θεὸν ἱλαστήριον·

**Ἰ**σχύς μου καὶ τεῖχος γενοῦ καὶ ὀχύ-
[ρωμα
καταφυγὴ καὶ κραταιὰ
σκέπη καὶ ὅπλον ἀρραγές,
Παρθένε πανάμωμε,
κατὰ ἐχθρῶν τῶν μάτην ἐπιζητούντων
[με
ἵνα σε πίστει δοξάζω σωζόμενος.

**Ἁ**γία τῶν ἁγίων ὑπάρχεις, πανύ-
[μνητε,
ὅτι ἐκύησας σαρκὶ
τὸν ὑπεράγαθον Θεὸν
τὸν πάντας ἑλκύσαντα
ἐκ τῆς φθορᾶς πρὸς θείαν ὄντως ἀνά-
[παυσιν
τοὺς ἐγνωκότας σε τούτου λοχεύτριαν.

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

**Χ**αῖρε κόσμου
ἀσφαλὲς καὶ ἑδραῖον διάσωσμα
χαῖρε σκέπη
τῶν πιστῶς σε τιμώντων, πανάμωμε,
χαῖρε στάμνε πάγχρυσε
ἔνδον ἡ φέρουσα τὸ μάννα
Χριστὸν τὸν πλάστην τῆς κτίσεως.

**Χ**αῖρε ὄρος
Δανιὴλ ὃ προεῖδε κατάσκιον
οὗ ἐτμήθη
ὁ συντρίβων εἰς τέλος τὰ εἴδωλα
καὶ λεπτύνων, πάναγνε,
λίθος ὁ ἀκρογωνιαῖος
Χριστὸς δι' οὗ καὶ σεσώσμεθα.

**Π**αναγία,
μὴ παρίδῃς δεινῶς ἀπολλύμενον
καὶ πρὸς ᾅδου
κατεντήσαντα ἤδη με πάντωρον
ἀλλ' αὐτὴ διάσωσον
ἐκλυτρουμένη με ἐκ πάντων
πειρατηρίων ὡς εὔσπλαγχνος.

**Ν**εουργῶν με
τῇ πάλαι φθαρέντα ἐπέφανε
παραβάσει
ὁ σωτήρ μου, Παρθένε, καὶ Κύριος
καὶ ἐκ σοῦ σεσάρκωται

μὴ λυμηνάμενος τὰ κλεῖθρα
τῆς παρθενίας σου, ἄφθορε.

Ὠδὴ στ'. Ἐκύκλωσεν ἡμᾶς.

**Ὁ** πόκος Γεδεὼν ὃν ἐθεάσατο
τῷ πνεύματι λαμπόμενος
χαῖρε πάντιμε πανθαύμαστε ἁγνή,
χαῖρε βασίλειον τὸ διάδημα
τῶν ἀληθῆ
σὲ προσκυνούντων Θεοῦ λοχεύτριαν.

**Ἡ** κόσμον καταυγάσασα, Θεόνυμφε,
τῷ φωσφόρῳ τόκῳ σου
χαῖρε ἄχραντε Παρθένε Μαριάμ·
χαίροις οἰκουμένης τὸ ἐντρύφημα·
χαῖρε χαρὰ
τῶν θλιβομένων καὶ ἀγαλλίασις.

**Π**ολλῶν με συμφορῶν ἐσχάτη ἄβυσ-
[σος
ἐκύκλωσε τὸν δείλαιον
ἀλλ' ἀνάστηθι καὶ σῶσον, ἀγαθή,
ὡς τὸν Ἰωνᾶν βοῶ σοι, Δέσποινα·
σὺ γὰρ ἰσχὺς
τῶν πεπτωκότων καὶ ἐπανόρθωσις.

**Ν**αόν με λῃσταρχούντων χρηματί-
[σαντα
πονηροτάτων, ἄχραντε,
καὶ νεκρούμενον ἀτόποις συμβουλαῖς
ζώωσον καὶ σῶσόν με ὡς εὔσπλαγχνος·
σὺ γὰρ ζωὴν
παντὶ τῷ κόσμῳ ἐκυοφόρησας.

## ΚΑΘΙΣΜΑ

***Ἦχος α'. Τὸν τάφον σου σωτήρ.***

**Π**ρεσβείαν πρὸς Θεὸν
κεκτημένοι σε πάντες
προστρέχομεν, ἁγνή,
τῷ ἁγίῳ ναῷ σου
αἰτούμενοι βοήθειαν
παρὰ σοῦ, ἀειπάρθενε,
ῥῦσαι οὖν ἡμᾶς
τῆς τῶν δαιμόνων κακίας
καὶ κολάσεως
καὶ καταδίκης φρικώδους
τοὺς σὲ μακαρίζοντας.

Ὠδὴ ζ'. Σὲ νοητὴν Θεοτόκε.

**Χ**αῖρε Θεοῦ
λογικὲ παράδεισε·
χαῖρε νεφέλη φωτεινή·
χαῖρε ἄρουρα μυστική
ἄσταχυν ἐκθρέψασα
ἅπαντας ἐκτρέφοντα
τοὺς μελῳδοῦντας καὶ λέγοντας
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Χ**αῖρε φαιδρὸν
τοῦ Δεσπότου οἴκημα·
χαῖρε τὸ κλέος τῶν πιστῶν·
χαῖρε ἄμπελος ἀληθῶς
οἶνον ἀποστάζουσα
τοὺς μελῳδοῦντας εὐφραίνοντα
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Ἀ**παγωγῆς
καὶ δουλείας ῥῦσαί με
καὶ πειρασμῶν παντοδαπῶν
ὅτι ἄλλην καταφυγὴν
πλήν σου οὐκ ἐπίσταμαι,
ὦ Θεοχαρίτωτε,
ὅπως βοήσω τῷ τόκῳ σου·
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Ἡ** τῶν πιστῶν
κραταιὰ βοήθεια
σὺ εἶ, πανάχραντε ἁγνή,
καὶ βεβαία καταφυγή
σκέπη καὶ ἀντίληψις
πάντων τῶν τιμώντων σε
καὶ μελῳδούντων τῷ τόκῳ σου
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η'. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

**Χ**αίροις ὄντως, πάμφωτε σκηνή,
εἰς ἣν ὁ φωτοδότης
κατῴκησεν ὡς οἰκτίρμων
καὶ πανάγαθος Θεός
καὶ πάντας ἐφώτισε
τοὺς βοῶντας πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε



καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Χ**αίροις πάντων ἄνασσα σεμνή
ἀγγέλων ἀρχαγγέλων
δυνάμεων καὶ θρόνων
καὶ ἀρχῶν καὶ ἐξουσιῶν
ἡμῶν τε διάσωσμα
τῶν βοώντων πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Π**ανάθλια στέναξον ψυχή
καὶ βόησον τῷ κτίστῃ
ἡμάρτηκα ὁ ταλαίπωρος
καὶ ἠνόμησα δεινῶς·
ἀλλ' οἰκτειρον σῶσόν με
ἱκεσίαις τῆς σὲ τεκούσης ἀπαύστως
πανάγνου Θεοτόκου
καὶ τῆς αἰωνίου
φλογὸς ἐξάρπασόν με.

**Σ**ύ μου σκέπη σὺ καταφυγή
ὑπάρχεις, Θεομῆτορ,
καὶ σύ με τῶν κατεχόντων
ἐλευθέρωσον δεινῶν
τὸν πόθῳ κραυγάζοντα
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τύπον τῆς ἁγνῆς.

**Χ**αίροις μῆτερ ἀπειρόγαμε·
χαῖρε χρυσῆ λυχνία· χαῖρε ἀμίαντε·
χαῖρε δυστυχούντων
ἐπανόρθωσις, Δέσποινα,
χαῖρε κάλλος παρθένων πολυπόθητον
χαῖρε ἀγγέλων δόξα
καὶ τῶν βροτῶν ἐγκαλλώπισμα.

**Χ**αῖρε Θεοτόκε πάνσεμνε·
χαῖρε λαβὶς ἡ θεία ἣν ἐθεάσατο
πάλαι τῆς ψυχῆς
τὸ ὀπτικὸν καθηράμενος
Ἠσαΐας τὸν ἄνθρακα φέρουσα
ἐκ πάσης ἁμαρτίας
τοὺς γηγενεῖς ἀποκαθαίροντα.

**Τ**ρέμω ἐννοῶν ὁ ἄθλιος
τὸ φοβερὸν ἐκεῖνο, Χριστέ μου, βῆμά σου
ἔνοχος ὑπάρχων
ἀμετρήτων κολάσεων
ἀλλ' ἐκ πασῶν με ῥῦσαι καὶ σῶσόν με
λιταῖς τῆς σὲ τεκούσης
ὡς ἐλεήμων καὶ φιλάνθρωπος.

**Θ**άρσος καὶ ἰσχὺς καὶ στήριγμα
κατὰ βαρβάρων, κόρη, γενοῦ τοῖς δού-
[λοις σου
τοῖς τὴν ἄμαχον
ἐπιζητοῦσι δύναμιν
καὶ τιμῶσι τὸν ἄσπορον τόκον σου
καὶ σέ, Θεομῆτορ,
ἀκαταπαύστως μεγαλύνουσιν.

21

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς δευτέροις Θεοτοκίοις

«*Ἰωάννης Θ.*»

Κῶδ. Ι 39
φ. 123 Λαύρας.

## ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΘΗΚΑΡΑ

***Ἦχος α'. Ὠδὴ α'. Σοῦ ἡ τροπαιοῦχος.***

**Χ**αίροις ὁ πανάγιος ναὸς
τοῦ βασιλέως τῶν ἄνω δυνάμεων·
χαῖρε θεῖε στέφανε·
χαῖρε ζωῆς θησαυρὲ ἀνεξάντλητε·
χαῖρε Θεοτόκε
παρθένε μήτηρ ἀνύμφευτε.

**Χ**αῖρε πλατυτέρα οὐρανῶν·
χαῖρε πιστοὺς ἁγιάζουσα, Δέσποινα,
χαῖρε βάθος ἄμετρον
ὡς ἀληθῶς καὶ ὕψος ἀκατάγνωστον·
χαῖρε Θεοτόκε
παρθένε μήτηρ ἀνύμφευτε.

**Π**λοῦτον ὃν μοι δέδωκας, σωτήρ,
κατεδαπάνησα ὥσπερ ὁ ἄσωτος
καὶ ἐνθέου βρώσεως
λιμώττω στερούμενος θείας τροφῆς·
ἀλλὰ ὡς ἐκεῖνον
πρὸ τέλους δέξαι καὶ σῶσόν με.

**Ἴ**δε μου τὸν πόνον τῆς ψυχῆς
ἴδε τὴν θλῖψιν, Παρθένε, τὰ δάκρυα
ἴδε μου τὴν κάκωσιν
καὶ μὴ παρίδῃς· ἀλλ' ἐκ πάντων λύτρωσαι
τῶν πειρατηρίων,
παρθένε κόρη, τὸν δοῦλόν σου.

Ὠδὴ γ'. Ὁ μόνος εἰδώς.

**Τ**ὸ χαῖρέ σοι πάλαι Γαβριήλ,
Παρθένε, προσεκόμισε·
χαῖρε παστὰς Κυρίου ἀμόλυντε·
τῆς παρθενίας χαῖρε τὸ καύχημα
τὸ σεπτὸν κειμήλιον·
χαῖρε ᾅδου νέκρωσις
καὶ ἀνθρώπων ἑτοίμη βοήθεια.

**Θ**εοῦ χαῖρε ἔμψυχε σκηνὴ
καὶ πύλη ἀδιόδευτε
δι' ἧς φθορὰ ἐξωστράκισται
ἀγγέλων χαῖρε τὸ ἀγαλλίαμα
καὶ ἀνθρώπων ἔρεισμα
καὶ κοινὸν προσφύγιον·
χαῖρε σκέπη τοῦ κόσμου καὶ στήριγμα.

**Π**αῦσόν μου τὸν τάραχον, ἁγνή,
τῇ θείᾳ μεσιτείᾳ σου
καὶ πειρασμῶν τὸν ἄγριον κλύδωνα
τὸν κυβερνήτην Θεὸν ἡ τέξασα
δέομαι κατεύνασον,
παναγία Δέσποινα,
καὶ πρὸς ὅρμον με θεῖον ὁδήγησον.

**Ὡ**ς εὗρε τῆς κτίσεως, ἁγνή,
ἁπάσης λαμπροτέραν σε
ὁ ποιητὴς ἐν σοὶ κατεσκήνωσεν
καὶ ῥυπωθεῖσαν τοῖς παραπτώμασιν
ὅλην κατελάμπρυνε
καὶ πρὸς φῶς ἀνήγαγεν
ὁ πατρὶ καὶ τῷ Πνεύματι σύνθρονος.

Ὠδὴ δ'. Ὄρος σε τῇ χάριτι.

**Σ**κηνήν σε θεοκόσμητον πάντες οἱ [δοῦλοί σου
γνόντες σοι κράζομεν, ἁγνή,
οἱ διὰ σοῦ τῶν δυσχερῶν
ῥυσθέντες, πανάμωμε,
χαῖρε ζωῆς τῆς ἀϊδίου ἀπόλαυσις
καὶ πεπτωκότων χαρὰ καὶ ἀνόρθωσις.

**Τ**ὸ θεῖον τοῦ Δεσπότου ὑμνήσωμεν [λέγοντες
κατοικητήριον πιστοί·



δαψιλῶς· χαῖρε ἡ χρυσῆ
τὸν μόσχον ἡ τέξασα
τὸν σιτευτόν, εὐλογημένη πανάχραντε,
εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

**Κ**όπασον τὸν σάλον τῶν ἀμέτρων μου [θλίψεων,
Θεομῆτορ Μαριάμ,
καὶ πρὸς λιμένα γαληνὸν
ὁδήγησον, ἄχραντε,
ἡ τὴν χαρὰν παντὶ τῷ κόσμῳ πηγάσασα
καὶ τὴν ζωὴν τοῖς νεκροῖς ἀνατείλασα.

**Ἄ**πλαστον τῆς καρδίας μου ἔπιδε, [πάναγνε,
καὶ στεναγμὸν ἐμῆς ψυχῆς
μὴ ἀποπέμψῃς, ἀγαθή,
ἀλλ' οἰκτείρασα σῶσόν με
καὶ ἐκ πασῶν κολάσεων ἐλευθέρωσον
τὸν μετανοοῦντά με, Παρθένε, τὸν δείλαιον.

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

**Χ**αῖρε πύλη
ἣν διώδευσε μόνος ὁ Κύριος·
χαῖρε σκέπη
τῶν πιστῶς δεομένων σου, πάναγνε,
χαῖρε σκεῦος πάντιμον
μύρου τοῦ θείου, Θεοτόκε,
χαῖρε Παρθένε πανάμωμε.

**Χ**αῖρε κλίνη
δυνατοὶ ἣν κυκλοῦσιν ἑξήκοντα
Σολομών τε
ὁ σοφώτατος ἣν προεώρακε·
χαῖρε μῆλον εὔοσμον
τὸ τοὺς πιστοὺς εὐωδιάζον·
χαῖρε θεόνυμφε Δέσποινα.

**Φ**ῶς τὸ θεῖον
ἡ τεκοῦσα τὸ φωτίζον ἅπαντα
φῶς μοι λάμψον
τῷ ἐν σκότει καθεύδοντι, ἄχραντε,
καὶ χειμαζομένῳ μοι
ταῖς περιστάσεσι τοῦ βίου
καὶ συντριβέντι καινούργησον.

**Ν**αυαγίῳ
πειρασμῶν ἐποντίσθην ὁ ἄθλιος
καὶ βυθός με
ἀπογνώσεως ἕλκει τὸν ἄθλιον·
κυβερνήτις φάνηθι,
θεομῆτορ παναγία,
καὶ πρὸς γαλήνην με ἴθυνον.

Ὠδὴ ς'. Ἐκύκλωσεν ἡμᾶς.

**Ἡ** στάμνος ἡ χρυσῆ ἡ ἔνδον φέρουσα
τὸ μάννα χαῖρε ἄμωμε
καύχημα ὁσίων καὶ στερρὸν
κράτος τῶν μαρτύρων καὶ στεφάνωμα
τῶν εὐσεβῶν
ἀήττητον, κόρη θεομακάριστε.

**Ἁ**γία τῶν ἁγίων χαῖρε Δέσποινα·
χαῖρε ἀμνὰς ἡ τέξασα
ἀφελόμενον ἀμνὸν τὸν τοῦ Θεοῦ
πάντων τῶν βροτῶν τὰ ἁμαρτήματα
δι' οἰκτιρμῶν
ἀνεξιχνίαστον πέλαγος.

**Ἐ**κύκλωσεν ἡμᾶς πειρασμῶν ἄβυσ- [σος
οὐκ ἔστιν ὁ ῥυόμενος·
ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς·
σῶσον τὸν λαόν σου, Θεονύμφευτε·
σὺ γὰρ ἰσχὺς
τῶν πεπτωκότων καὶ ἐπανόρθωσις.

**Ν**εφέλη φωτεινὴ τὸν ὄμβρον φέρουσα,
Παρθένε, τὸν οὐράνιον
τὸν τοὺς πάλαι κρατουμένους τῷ [φλογμῷ
τῶν ἁμαρτιῶν θείως δροσίσαντα
κἀμὲ τανῦν
φλογιζόμενον δρόσισον δέομαι.

## ΚΑΘΙΣΜΑ

***Ἦχος α'. Τὸν τάφον σου σωτήρ.***

**Φ**ωτί σου, ἀγαθή,
τὴν ἐν σκότει ψυχήν μου
καταύγασον, ἁγνή,
καὶ τὴν πώρωσιν λῦσον
καὶ δίδαξον πράττειν με
τοῦ υἱοῦ σου τὸ θέλημα
ὅπως ἄφεσιν
τῶν ἀμετρήτων σφαλμάτων
εὕρω, πάναγνε,

καὶ τοῦ πυρὸς τοῦ ἀσβέστου
εὐχαῖς σου ῥυσθήσομαι.

Ὠδὴ ζ'. Σὲ νοητὴν Θεοτόκε.

**Χ**αῖρε φωτὸς
ἀϊδίου ὄχημα·
χαῖρε παράδεισε τρυφῆς·
χαῖρε καύχημα τῶν πιστῶν·
χαῖρε ἀειπάρθενε·
χαῖρε ἡ ἀέναος πηγὴ
δι' ἧς ἡμῖν ἐξανέτειλεν
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Χ**αῖρε Θεοῦ
θεῖον ἐνδιαίτημα
καὶ πλανωμένων ὁδηγέ·
χαῖρε λύσις ἡ τῆς ἀρᾶς,
ἄχραντε πανάμωμε·
χαίροις ὑπερθαύμαστε
δι' ἧς ἡμῖν ἀνεβλάστησεν
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Ὑ**πὸ λῃστῶν
ψυχοφθόρων, ἄχραντε,
ἐτραυματίσθην κρατιαιῶς
καὶ τοῖς βέλεσι τοῖς αὐτῶν
πέπληγμαι ὁ δύστηνος·
ἴασαι καὶ σῶσόν με
τῷ σῷ υἱῷ ἀνακράζοντα
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Ἡ** τὴν πηγὴν
τῆς ζωῆς κυήσασα
ζώωσον κείμενον νεκρὸν
καὶ ἀνάστησόν με, βροτῶν
μόνη ἐπανόρθωσις
ὦ Θεοχαρίτωτε,
τῷ τοκετῷ σου κραυγάζοντα
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η'. Ἐν καμίνῳ παῖδες.

**Π**ενομένων χαῖρε θησαυρὲ
καὶ πλοῦτε πτωχευόντων,
πανύμνητε Θεομῆτορ,
καὶ πεινώντων ἡ τροφὴ
ἡμῶν τε ἀνάκλησις
τῶν βοώντων πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Κ**αταχρέως σὺν τῷ Γαβριὴλ
τὸ χαῖρέ σοι βοῶμεν
οἱ δοῦλοί σου, Θεοτόκε,
χαῖρε στήριγμα πιστῶν
καὶ τεῖχος ἀπόρθητον
τοῖς βοῶσι πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Π**εριστάσεις θλίψεις συμφοραὶ
δεινῶν τε ἐπιτάσεις
καὶ φθόνοι καὶ ταραχαὶ τοῦ βίου
νῦν χειμάζουσιν, ἁγνή,
σφοδρῶς με τὸν δείλαιον
ὅν με ῥῦσαι πίστει βοῶντα
τῷ τόκῳ σου, Παρθένε,
σὲ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

**Σ**ὲ λιμένα ἔχομεν πιστοὶ
καὶ πύλην σωτηρίας
καὶ θύραν τῆς μετανοίας
καὶ στερέωμα, ἁγνή,
καὶ πύργον ἀσάλευτον
οἱ βοῶντες πάντα τὰ ἔργα Κυρίου
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τύπον τῆς ἁγνῆς.

**Χ**αίροις λογικὲ παράδεισε
ξύλον ζωῆς ἐν μέσῳ Χριστὸν βλαστή-
|σασα
τοῦ προτέρου ξύλου
καθελόντα τὸ ἔμπικρον
καὶ τοὺς πάλαι τῇ βρώσει τεθνήξαντας
γλυκάναντα καὶ θείας
ζωῆς μετόχους ἀναδείξαντα.

**Χ**αῖρε Θεοτόκε Δέσποινα·
χαῖρε χαρὰ τοῦ κόσμου καὶ ἀγαλλίαμα.



χαῖρε ἡ ἐλπὶς
καὶ σωτηρία τῆς κτίσεως·
χαῖρε στέφος μαρτύρων ἀμάραντον
χαῖρε ἀγγέλων δόξα
καὶ τῶν βροτῶν ἀγαλλίαμα.

**Β**ῆμα τὸ φρικτὸν σου δέδοικα
καὶ δειλιῶ τὸ πῦρ ἐκεῖνο τὸ ἀτελεύτητον
καὶ τὰς ἀμετρήτους
δὲ κολάσεις ὁ ἄθλιος
ὧν με ῥῦσαι, φιλάνθρωπε, Κύριε,
λιταῖς τῆς σὲ τεκούσης
ὡς ἀγαθὸς καὶ παντοδύναμος.

**Θ**λάσον τῶν δρακόντων, Δέσποινα,
τῶν νοητῶν τὰς κάρας ὡς παντοδύναμος
τῶν ἀνηλεῶς
πολιορκούντων τὴν ποίμνην σου
καὶ ἰσχὺν τὴν αὐτῶν ἐξαφάνισον
ἰσχὺν δὲ τοὺς σοὺς δούλους
τὴν σὴν περίζωσον, παναμώμητε.

# 22

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1]

οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς ὑστέροις Θεοτοκίοις
« ***Ἰωάννης Θ.*** »

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ
ΤΟΥ ΘΗΚΑΡΑ

Κωδ. Γ 59
φ. 18 β Λαύρας.
6 Καθολικοῦ Λαύρας.

***Ἦχος α'. Ὠδὴ α'. Χριστὸς γεννᾶται.***

**Χ**αρᾶς αἰτία χαρίτωσον
τὸν νοῦν μου καὶ φωτί σου κατάλαμψον
ψυχήν, ἁγνή, καὶ διάνοιαν
ὅπως ἐκβοήσω σοι χαρμονικῶς
σὺν τῷ ἀρχαγγέλῳ
χαριστήριον ᾠδήν, Θεοχαρίτωτε.

**Τ**ὴν θείαν στάμνον τὴν πάγχρυσον
τὴν ἔνδοθεν τὸ μάννα κατέχουσαν
φαιδρῶς πιστοὶ ἀνυμνήσωμεν
χαίροις αὐτῇ βοῶντες, μῆτερ ἁγνή,
χαῖρε τῶν περάτων
ἡ ἐλπὶς καὶ σωτηρία τῶν ὑμνούντων σε.

**Ν**εφέλη χαῖρε ὁλόφωτε
πιστοὺς ἐπισκιάζουσα πάντοτε·
λυχνία χαῖρε ἑπτάφωτε
καθὼς προφήτης πάλαι προεῖδέ σε
Πνεύματος ἁγίου
ἐνεργείας ἐν ψυχῇ φέρουσαν, πάναγνε.

**Ἰ**σχύς, Παρθένε, καὶ στήριγμα
καὶ καύχημα γενοῦ μοι τῷ δούλῳ σου
πλήθει τῶν ποικίλων θλίψεων
νῦν περιπεπτωκότι καὶ πειρασμῶν
κόπασον τὸν σάλον
ἡ ἐλπίς μου καὶ χαρὰ καὶ ἀγαλλίασις.

Ὠδὴ γ'. Τῷ πρὸ τῶν αἰώνων.

**Χ**αίροις ὑπερτέρα
τῶν ἄθλων ἁπασῶν δυνάμεων·
χαῖρε ἀνύμφευτε παρθένε
ἡ τεκοῦσα ἀσπόρως
Χριστὸν τὸν Θεόν, ᾧ ψάλλομεν
ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν
ἅγιος εἶ, Κύριε.

**Χ**αῖρε βασιλέων
εὐσεβούντων διάδημα τίμιον·
χαῖρε μαρτύρων θεῖον σθένος

1) Εὕρηται καὶ ἐν τῷ Θεοτοκαρίῳ Νικοδήμου, σ. 17 (ἔκδ. Ἀθηνῶν 1906).

καὶ πυρίμορφε θρόνε
Χριστοῦ τοῦ Θεοῦ, ᾧ ψάλλομεν
ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν
ἅγιος εἶ, Κύριε.

***Π***λῆθός με πταισμάτων
καὶ κινδύνων βυθίζει τὸν ἄθλιον·
ἀλλ' εἰς λιμένα θυμηδίας
καὶ εὐφρόσυνον ὅρμον
τῆς σῆς πανσθενεστάτης χάριτος
σὺ ἐγκαθόρμισον ὅπως ἀεὶ
ὑμνῶ σε, πανύμνητε.

***Ὦ*** τῶν ὑπὲρ νοῦν σου
καὶ ἀρρήτων θαυμάτων, Θεόνυμφε!
πῶς καὶ τεκοῦσα παρθενεύεις
τὸν συνάναρχον Λόγον
πατρὶ καὶ τῷ θείῳ Πνεύματι
ᾧ μελῳδοῦμεν ἀπαύστως πιστοὶ
ἅγιος εἶ, Κύριε.

Ὠδὴ δ'. Ῥάβδος ἐκ τῆς ῥίζης.

***Χ***αῖρε ἱερέων εὐλαβῶν
στολή, Θεοχαρίτωτε,
καὶ τῶν ὁσίων ἐγκαλλώπισμα
δικαίων χαῖρε χαρὰ
καὶ μαρτύρων καύχημα·
χαῖρε γηραιῶν ἡ βακτηρία
καὶ τῶν βοώντων ἰσχὺς
δόξα τῇ δυνάμει σου, Κύριε.

***Χ***αῖρε λογικὴ περιστερὰ
κατάπαυσιν ἡ φέρουσα
τῆς ἀπιστίας καὶ πρὸς πίστιν Θεοῦ
ἑλκύουσα μυστικῶς
τοὺς ἐν σκότει, Παρθένε,
τῷ τῆς ἀγνωσίας κρατουμένους
καὶ νῦν βοῶντας πιστῶς·
δόξα τῇ δυνάμει σου, Κύριε.

***Τ***ῇ ῥάβδῳ τῆς θείας σου ῥοπῆς
τὴν ἄνικμον καρδίαν μου
ἀναστομώσασα δακρύων πηγὰς
ἐκβλύζειν καὶ ποταμοὺς
Θεοτόκε, ποίησον
δι' ὧν μολυσμοῦ τῆς ἁμαρτίας
ἀποπλυθεῖσα φαιδρὰ
τῷ υἱῷ τῷ σῷ ἐποφθήσεται.

***Ἀ***νάνηψον τάλαινα ψυχὴ
καὶ κρᾶξον ἐκ βαθέων σου
τῶν ὀδυνῶν τῷ μόνῳ Θεῷ ἡμῶν
ἡμάρτηκά σοι, σωτήρ,
ἀλλ' οἰκτείρας σῶσόν με
ταῖς τῆς σὲ τεκούσης ἀπειράνδρου
πρεσβείαις ὡς ἀγαθὸς
καὶ τοῖς ἐκλεκτοῖς συναρίθμησον.

Ὠδὴ ε'. Θεὸς ὢν εἰρήνης.

***Ἰ***δού σοι τὸ χαῖρε
βοῶμεν πιστοὶ
χαῖρε θρόνε ὑψίστου πυρίμορφε
καὶ πύλη σωτηρίας ἡμῶν τῶν γηγενῶν·
χαῖρε τῆς οἰκουμένης
ἐντρύφημα, Παρθένε,
καὶ χαρίσμα θεῖον
καὶ ἀσφαλὲς φυγαδευτήριον

***Ἡ*** κλίμαξ ἣν εἶδε
ποτὲ Ἰακὼβ
τοὺς βροτοὺς ἀπὸ γῆς ἡ ἀνάγουσα
εἰς δόξαν τὴν οὐράνιον σὺ εἶ ὡς ἀληθῶς,
παντάνασσα Μαρία·
διό σοι καὶ τὸ χαῖρε
εὐχαρίστως βοῶμεν
οἱ σεσωσμένοι τῇ κυήσει σου.

***Ἡ*** σκέπη τοῦ κόσμου
καὶ πάντων χαρὰ
ἡ προφθάνουσα τάχος καὶ σώζουσα
οἰκτείρησον καὶ νῦν ἡμᾶς, θεόνυμφε ἁγνή,
τοὺς σὲ προσκαλουμένους
ἀεὶ ἐν περιστάσει·
προστασίαν γὰρ ἄλλην
μετὰ Θεὸν ἡμεῖς οὐκ ἔχομεν.

***Ν***αὸς ὡς ὑπάρχουσα
φωτοειδὴς
τοῦ Δεσπότου τῶν ὅλων καὶ σκήνωμα
ναόν με χρηματίσαντα καὶ σπήλαιον λῃστῶν
καθάρισόν με ὅλον
καὶ λάμπρυνον, Παρθένε,
καὶ νυμφῶνα πρὸς θεῖον
ἔνδον εἰσάγαγε, πανάμωμε.



Ὠδὴ στ'. Σπλάγχνων Ἰωνᾶν.

***Χ***αίροις διαυγὴς
πηγὴ καὶ ἀένναε
ἐξ ἧς τὸ φαιδρὸν καθαρώτατον
καὶ ἀείζωον
ὕδωρ βλύσαν ποτίζει διψῶντα λαὸν
καὶ δροσίζει τοὺς ἐν φλογμῷ τῶν παραπτώσεων
πάλαι κρατουμένους, Δέσποινα,
καὶ εἰσάγει εἰς θείαν ἀνάψυξιν.

***Χ***αίροις ποταμὲ
Θεοῦ ἀνεξάντλητε
ὑδάτων πολλῶν ὄντως ἀνάπλεως
δι' οὗ ἅπασα
κατορδεύεται κτίσις ὑμνοῦσά σε
καὶ εὐφραίνονται καρδίαι, θεονύμφευτε,
πᾶσαι ἐν φλογμῷ κρατούμεναι
καὶ διψῶσαι νεκρένερα νάματα.

***Φ***ῶς μοι φωτεινόν,
Δεσπότου παλάτιον,
γενοῦ τῷ πολλοῖς περιπεσόντι δεινοῖς
καὶ καθεύδοντι
ἀπογνώσεως ὅλως πρὸς βάραθρον
καὶ τὴν σὴν ἐπιζητοῦντι θείαν σύναρσιν·
πλὴν σου ἄλλην γὰρ οὐ κέκτημαι
προστασίαν ὁ δοῦλός σου, Δέσποινα.

***Ν***έος οὐρανὸς
ἐδείχθης λαμπρότατος·
ἀνέτειλας γὰρ τὸν μέγαν ἥλιον
καὶ ἀνέσπερον
ὑπὲρ λόγον καὶ ἔννοιαν, πάναγνε,
ἄθεϊάς τε τὴν νύκτα διαλύσαντα·
ὅθεν πᾶσα κτίσις συναγάλλεται
καὶ τὸ χαῖρε ἀπαύστως κραυγάζει σοι.

## ΚΑΘΙΣΜΑ

### ***Ἦχος α'. Τὸν τάφον σου σωτήρ.***

***Π***αρθένος ἀληθῶς
πρὸ τοῦ τόκου, Παρθένε,
παρθένος ἀληθῶς
ἐν τῷ τόκῳ, Παρθένε,
παρθένος ἀειπάρθενος
μετὰ τόκον διέμεινας
καὶ παρθένον σε
ὁμολογοῦμεν, Παρθένε,
καὶ ἐλπίζομεν
ἐν σοί, Παρθένε, σωθῆναι
παρθένων τὸ καύχημα.

Ὠδὴ ζ'. Οἱ παῖδες εὐσεβείᾳ.

***Χ***αῖρε, θεοκυῆτορ, δυστυχούντων
ἀσφαλὴς ἀνόρθωσις· χαῖρε προπύργιον
στερρόν, βασιλέων καὶ κρατύνομα
καὶ βεβαία προστασία τοῖς κραυγάζουσιν
ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

***Χ***αῖρε, θεογεννῆτορ, ἡ φωτὶς σὺ
ταῖς ἀκτῖσι λάμψασα τὴν οἰκουμένην
σκοτεινοῖς ἐμπεσοῦσιν παραπτώμασι
καὶ φαιδρύνουσα τοὺς πίστει ἀναμέλποντας·
ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

***Ὡ***ς ὄμβρος ἐπὶ πόκον καταβὰς ἐν σοὶ
γαστρὶ σεσάρκωται ὁ τῆς εἰρήνης
ποταμὸς ἡ πηγὴ τῆς ἀγαθότητος
ὁ σταγόνας ὑετοῦ ἐξαριθμησάμενος
ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

***Ἡ*** μόνη τὸν σωτῆρα ὑπὲρ νοῦν
σωματωθέντα τέξασα κλυδωνισθέντα με
δεινοῖς πειρασμοῖς καὶ κινδυνεύοντα
ἐλευθέρωσον, ἁγνή, καὶ σῶσον ψάλλοντα
ὁ τῶν πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Θαύματος ὑπερφυοῦς.

***Χ***αίροις ὑπερέχουσα τῶν ἄνω μόνη
στρατευμάτων, πανάμωμε κόρη,
χαίροις ὑπερθαύμαστε· χαῖρε σκέπη
τῶν γηγενῶν· χαῖρε γέφυρα
πρὸς τὴν ἀθάνατον ζωὴν
βροτοὺς ἐπανάγουσα τοὺς μέλποντας
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον
καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

***Χ***αίροις τοῦ φωτὸς τοῦ ἀπροσίτου θεῖον
ἐνδιαίτημα, παρθενομήτορ,
χαῖρε χώρα εὔκαρπε στάχυν θεῖον
ὡς ἀληθῶς ἐκβλαστήσασα
τὸν τρέφοντα τὰ σύμπαντα·

ᾧ πάντες βοῶμεν ἀνυμέλποντες
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον
καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶ-
[νας.

**Θ**αύματος ὑπερφυοῦς ἰδοὺ τὸ πέρας·
παρθενεύουσα τίκτει παρθένος
γεγονότα ἄνθρωπον τὸν τῶν ὅλων
δημιουργὸν τὸν συνάναρχον
πατρί τε καὶ τῷ Πνεύματι·
ᾧ πάντες κραυγάζομεν γηθόμενοι
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον
καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶ-
[νας.

**Σ**ῶσαι βουληθεὶς ὡς εὐεργέτης φύσιν
τῶν βροτῶν ὁ πάντα κτίσας λόγῳ
ὅλον με ἐφόρεσεν ὅλος ὅλῳ
μοι ἑνωθεὶς ἐκ παρθένου
σαρκωθεὶς ὁ ὑπερούσιος·
ᾧ πάντες σκιρτῶντες ἀνακράζομεν
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον
καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶ-
[νας.

Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς.

**Χ**αῖρε μήτηρ τοῦ παντάνακτος·
χαῖρε χαρᾶς τοῦ κόσμου αἰτία, πάναγνε,
χαῖρε δάμαλις
ἡ χρυσαυγὴ μόσχον φέρουσα
Ἰησοῦν τὸν σωτῆρα καὶ Κύριον·
χαῖρε φωτὸς δοχεῖον
χαῖρε πταιόντων ἱλαστήριον.

**Χ**αῖρε πάντων ἐγκαλλώπισμα·
χαῖρε λαβὶς τὸν θεῖον ἄνθρακα φέρουσα·
χαῖρε πορφυρὶς
βασιλικὴ ἀγλαόχρυσε·
χαῖρε νόμων Θεοῦ φυλακτήριον·
χαῖρε ἡ τὰς προρρήσεις
τῶν προφητῶν σαφῶς περάνασα.

**Χ**αίροις οὐρανὲ κατάστερε
πεποικιλμένη ἀρετῶν ταῖς λαμπρότησι·
χαῖρε βασιλὶς
ἐκ δεξιῶν τοῦ Δεσπότου σου
ἱσταμένη τὸ ἔνδυμα ἔχουσα
σεπτῶς κεκοσμημένον
ὡς ὁ Δαυὶδ σοι ἀνεβόησε.

---

## 23

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς ἑσπέροις Θεοτοκίοις

« *Ἰωάννης Θ.* »

---

Κώδ. Ι 39
φ. 24β Λαύρας.

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ
ΤΟΥ ΘΗΚΑΡΑ

---

***Ἦχος α΄. Ὠδὴ α΄. Ὠδὴν ἐπινίκιον.***

***Ν**εφέλην ὑλόφωτον*
πᾶς ὁ λαός σου
γνόντες σε, πανάμωμε,
συνῳδὰ λέγομεν
Γαβριὴλ τῷ θαυμαστῷ
χαῖρε ἡ πύλη τῆς ζωῆς·
χαῖρε πανάσπιλε.

***Β**οὰ χαριστήριον*
πᾶς ὁ λαός σου
φωνήν, Θεονύμφευτε,
εὐφροσύνης λέγων σοι·
χαῖρε θεία κιβωτὲ
δι' ἧς βροτοὶ κατακλυσμοῦ
πάντες ἐρρύσθημεν.



**Π**αθῶν με χειμάζουσι
νῦν τρικυμίαι
κινδύνων τε πέλαγος
συστρέφει, Δέσποινα,
καὶ καθέλκει πρὸς βυθόν·
ἀλλ' οἰκτειρόν με τὸν οἰκτρὸν
ὡς ἐναυάγησα.

**Ἰ**δού σοι προσέρχομαι
τῷ φιλανθρώπῳ
βοῶν σοι τὸ ἥμαρτον
καὶ θρηνῶν κράζω σοι
ὁ ὑπεύθυνος ἐγὼ
ἐλέησόν με ὁ Θεὸς
ταῖς τῆς μητρός σου λιταῖς.

Ὠδὴ γ΄. Λίθον ὃν ἀπεδοκίμασαν.

**Χ**αῖρε προφητῶν τὸ κήρυγμα
καὶ τῶν ἀποστόλων
καύχημα καὶ δόξα
καὶ μαρτύρων σθένος·
χαῖρε τῶν ἀθλοφόρων
ἐνίσχυσις καὶ θάρσος
ἀπερίτρεπτον, ἁγνή,
χαῖρε ἡ σκέπη τῶν ψυχῶν ἡμῶν.

**Χ**αῖρε πανυγία Δέσποινα
τοῦ ὑψίστου μήτηρ·
χαίροις οὐρανίων
ταγμάτων ὑπερτέρα·
χαῖρε βασιλευόντων
τὸ στέμμα καὶ τὸ κράτος,
πολυύμνητε σεμνή,
χαῖρε τὸ στήριγμα τῆς πίστεως.

**Σ**κώληξ ὁ πικρὸς τιτρώσκει με
καὶ βρυγμὸς ὀδόντων
καὶ ἡ τῶν ἐρίφων
μερίς με συνταράττει
καὶ ᾅδης ὁ παμφάγος
ἐξ ὧν τὸν ἄθλιον
ἐλευθέρωσον, ἁγνή,
καὶ τοῖς προβάτοις συναρίθμησον.

**Ὢ** πῶς ἡ παρθένος τέτοκε
τὸν ἁπάντων κτίστην
πῶς δὲ καὶ θηλάζει
τὸν τροφέα κόσμου
αὐτὸς ὡς οἶδε μόνος
ὁ πρὸ πάντων αἰώνων
συνανάρχων τῷ πατρὶ
καὶ συναΐδιος τῷ Πνεύματι.

Ὠδὴ δ΄. Ἐν πνεύματι προβλέπων.

**Ὃ**ν πάλαι προκατήγγειλεν
ὁ μέγας Μωϋσῆς
ἐν τῷ θείῳ Πνεύματι
λαμπόμενος χρυσῆν
λυχνίαν, δεῦτε σὺν τῷ ἀγγέλῳ
τὸ χαῖρε αὐτῇ προσφόρως ἀνακράξωμεν
χαῖρε θησαυρὲ τῆς ζωῆς ἡμῶν.

**Τ**ὸ ὄρος ὃ προέβλεπε
προφήτης ἐμφανῶς
ὄρος πῖον ἅγιον
καὶ ὄρος τοῦ Θεοῦ
ἐν ᾧ ὁ κτίστης εὐδόκησε κατοικῆσαι
σὺ εἶ, Παρθένε, ᾗ βοῶμεν ἀσιγήτως
χαῖρε Θεοτόκε παντάνασσα.

**Ἱ**κέτευε ἀπαύστως,
πανύμνητε ἁγνή,
ὃν σαρκὶ ἐκύησας
παντάνακτα Θεὸν
πάσης ἀνάγκης τοὺς δούλους σου δια-
[σῶσαι
καὶ πολυτρόπων πειρασμῶν ἐπερχο-
[μένων·
σὺ γὰρ τῶν δεινῶν ἀλεξήριον.

**Ἀ**θλία τί βραδύνεις
καὶ ἄγονε ψυχὴ
τί καθεύδεις πράττουσα
μηδόλως ἀγαθὸν
αἱ πονηραί σου κατηγοροῦσί σου
[πράξεις
καὶ αἱ κολάσεις ἀπολαβεῖν σε διψῶσιν
ἀλλὰ πρὸ τοῦ τέλους ἐπίστρεψον.

Ὠδὴ ε΄. Τὸ φαεινόν.

**Χ**αῖρε ἀμίαντε καὶ πανάσπιλε
μῆτερ ἀπείρανδρε·
χαῖρε ἔμψυχε φωτὸς νεφέλη τοῦ ἀπρο-
[σίτου·
χαῖρε πανευλόγητε
θεόνυμφε Δέσποινα.

**Χ**αῖρε ἡδύπνοον καὶ πανεύοσμον
κρίνον, πανάμωμε,
μύρον τίμιον εὐωδιάζον πιστῶν καρδίας·
ῥόδον τὸ ἀμάραντον
ἁγνὴ χαῖρε Δέσποινα.

**Τ**ὴν ἀληγοθεῖσάν μου καὶ ἀνίατον
κινδυνεύουσαν
ψυχήν μου, Δέσποινα, τοῦ νεκρωθῆναι τῇ ἁμαρτίᾳ
ζώωσον, πανάχραντε,
ζωὴν ἡ κυήσασα.

**Ν**έον κυήσασα ὡς βρέφος ἡμῖν
τὸν προαιώνιον
νεοποίησον, ἁγνὴ Παρθένε γεγηρακότα
καὶ παλαιωθέντα με
δεινοῖς παραπτώμασιν.

Ὠδὴ στ'. Τὸν προφήτην Ἰωνᾶν.

**Χ**αῖρε πύλη τῆς ζωῆς
καὶ χρυσῆ περιστερὰ
νοητοῦ κατακλυσμοῦ
παῦλαν φέρουσα, σεμνή,
τὸ καύχημα
τῶν ὀρθοδόξων
χαῖρε πανάμωμε.

**Χ**αῖρε ὄχημα λαμπρὸν
τοῦ ἐπὶ τῶν χερουβὶμ
χαῖρε πέτρα μυστικὴ
τοὺς διψῶντας τὴν ζωὴν
ποτίσασα
καὶ τῆς ἀπάτης
τὴν φλόγα σβέσασα.

**Ἡ** ἐλπὶς τῶν γηγενῶν
καὶ ἀντίληψις, ἁγνή,
τὴν σὴν ποίμνην, ἀγαθή,
ἀπὸ πάσης ἀπειλῆς
διάσωσον
καὶ πάσης βλάβης
ὀργῆς καὶ θλίψεως.

**Ν**αυτιῶντα συμφορῶν
τῷ πελάγει καὶ δεινῶς
ποντιζόμενον, ἁγνή,
τὸν σὸν δοῦλον ὁλικῶς
ἀνάγαγε
εἰς Ἰωνᾶν με
καὶ σῶσον, ἄχραντε.

## ΚΑΘΙΣΜΑ

***Ἦχος α'. Τὸν τάφον σου σωτήρ.***

**Ἐ**γγίζει ὁ κριτὴς
ἐπὶ θύραις τὸ τέλος
γρηγόρησον, ψυχή,
καὶ ἐκ βάθους καρδίας
στενάζουσα βόησον
τῇ μητρὶ τοῦ Θεοῦ ἡμῶν
ἐλευθέρωσον
τῶν φοβερῶν με βασάνων
καὶ ἐν τόπῳ με
τῆς ἀναπαύσεως τάξον,
πανάχραντε Δέσποινα.

Ὠδὴ ζ'. Τῶν ἐν καμίνῳ παίδων σου.

**Ἡ** τῶν ἀγγέλων χαίρε χαρμονή,
πανύμνητε
χαῖρε προστασία τῶν πιστῶν·
χαῖρε δι' ἧς
τὰ τῶν βροτῶν πάθη
καὶ ἡ λύπη πέπαυται
καὶ ὁ Ἀδὰμ παντελῶς
λέλυται τῶν ὀδυνῶν.

**Ἡ** τὴν γεώδη φύσιν τῶν βροτῶν
θεώσασα
χαῖρε ἀπειρόγαμε σεμνή·
χαῖρε φωτὸς
τοῦ ἀπροσίτου θεία χώρα·
χαῖρε πάντων ἄνασσα·
χαῖρε μόνη ἐλπὶς
καὶ σωτηρία ἡμῶν.

**Ὑ**πὸ τὴν θείαν σκέπην σου, ἁγνή,
ὁ δοῦλός σου
πάντοτε προσφεύγω καὶ βοῶ
ῥῦσαι φλογὸς
καὶ αἰωνίων με βασάνων
τῷ υἱῷ σου κράζοντα
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.



**Ἡ** τὸν Θεὸν τεκοῦσα ἐν σαρκί,
πανάμωμε,
καὶ χερσὶ βαστάσασα ταῖς σαῖς
τὸν τοῦ παντὸς
δημιουργὸν καὶ συνοχέα
τῶν παθῶν ἐκλύτρωσαι
τῶν συνεχόντων με νῦν
ὡς ἐλεήμων...

Ὠδὴ η'. Ὃν φρίττουσιν ἄγγελοι.

**Τ**ὸ ὄρος τὸ ἅγιον
ὑμνήσωμεν λαοὶ
ἐν ᾧ κατεσκήνωσεν
ὁ πάντων ποιητὴς
τὸ χαῖρε βοῶντες
μετὰ τοῦ Γαβριὴλ
χαῖρε ἡ αἰτία
τῆς πάντων σωτηρίας.

**Τ**ιμήσωμεν ᾄσμασι
συμφώνως οἱ πιστοὶ
τὴν μόνην ἀπείρανδρον
καὶ θείαν κιβωτὸν
βοῶντες ἀπαύστως
χαρμοσύνως αὐτῇ
χαῖρε προστασία
τοῦ κόσμου, Θεοτόκε.

**Θ**εὸν ὃν ἐκύησας
δυσώπησον, ἁγνή,
ῥυσθῆναί με θλίψεως
καὶ βίου δυσχερῶν
καὶ πάσης ἀνάγκης
καὶ κακώσεως
ἵνα σε δοξάζω
εἰς πάντας τοὺς αἰῶνας.

**Σ**ὲ πάντες κεκτήμεθα
οἱ δοῦλοί σου, σεμνή,
προπύργιον ἄσειστον
καὶ ὅπλον ἀρραγὲς
καὶ καύχημα θεῖον
καὶ ἑδραίωμα
τεῖχός τε καὶ σκέπην
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τὴν ζωοδόχον πηγήν.

**Χ**αῖρε αὐγὴ μυστικὴ ἐπιδείξασα
τὴν λαμπροφόρον ἡμέραν τοῖς σύμπασι·
χαῖρε θεῖον σκήνωμα
τοῦ Θεοῦ, πανάμωμε,
τοῦ οὐρανοῦ καὶ τῆς γῆς χαῖρε Κυρία·
χαῖρε παρθένων τὸ περίδοξον καύχημα.

**Χ**αῖρε Ἀδὰμ ἐπανόρθωσις, Δέσποινα,
χαῖρε τῶν πόνων τῆς Εὔας ἡ λύτρωσις·
χαῖρε βάτε ἄφλεκτε
καὶ σεπτὸν παλάτιον
τοῦ βασιλέως καὶ κτίστου τῶν αἰώνων
χαῖρε πεσόντων ἰσχυρὰ ἐξανάστασις.

Θάρσος καὶ τόξα καὶ δόρατα σύντριψον
καὶ τὴν ἰσχὺν παντελῶς ἐξαφάνισον
καὶ εἰς τέλος ὄλεσον,
παναγία Δέσποινα,
τῶν ἀλαζόνων ἐχθρῶν τῶν μὴ τιμώντων
καὶ προσκυνούντων τὴν θείαν εἰκόνα σου.

## 24

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς θεοτοκίοις
« *Ἰωάννης Θ.* »

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ
ΤΟΥ ΘΗΚΑΡΑ

Κώδ. 139
φ. 30α Λαύρας.

**Ἦχος α'. Ὠδὴ α'. Ὠδὴν ἐπινίκιον.**

**Ἰ**σχὺς καὶ ὀχύρωμα
ἀνθρώπων χαῖρε
τοῦ ᾅδου ἡ νέκρωσις
καὶ βροτῶν ἔγερσις,
παναμώμητε ἁγνή,
τὸ ἔνδοξον τῶν ἀθλητῶν
χαῖρε κραταίωμα.

**Ὁ**δὸν ἡ κτήσασα
χαῖρε Παρθένε
ζωῆς τὴν εἰσάγουσαν
πρὸς χαρὰν ἄπαυστον
καὶ λαμπρὰν διαγωγὴν
τὸ κήρυγμα τῶν προφητῶν
χαῖρε πανθαύμαστε.

**Κ**αὶ λόγοις καὶ πράξεσιν
ἐσπιλωμένος
ὑπάρχων σοί, ἄσπιλε,
[παναγία Δέσποινα]
καταφεύγω βοηθὸς
γενοῦ τῷ δούλῳ σου, ἁγνή,
ὡς ὑπεράγαθος.

**Ἰ**άτρευσον κείμενον
νεκρόν με ὅλον
συμφορῶν εἰς βάραθρον
καὶ τὴν σήν, Δέσποινα,
ἐκζητοῦντα ἀρωγὴν
καὶ χεῖρα ἔκτεινον, ἀγαθή,
ὥσπερ τῷ Πέτρῳ Χριστός.

Ὠδὴ γ'. Λίθον ὃν ἀπεδοκίμασαν.

**Χ**αίροις ὄντως καθαρώτατον
τοῦ φωτὸς δοχεῖον·
χαίροις ἡ τεκοῦσα
Θεὸν σεσαρκωμένον·
ἡ θεία κλίμαξ χαῖρε
δι' ἧς ἀνελκύσθημεν
οἱ γηγενεῖς πρὸς οὐρανὸν
χαῖρε ἡ πύλη τῆς ζωῆς ἡμῶν.

**Χ**αῖρε τῶν ταγμάτων ἄνασσα
τῶν ἐπουρανίων
καὶ τῶν ἐπιγείων
βασίλισσα καὶ σκέπη·
χαῖρε τῶν ἐν θαλάσσῃ
κυρία προστασία
καὶ ἀχείμαστος λιμὴν
χαῖρε ἡ πάντων ὑπερέχουσα.

**Π**λήθη πειρασμῶν με πάντοθεν
νῦν περικυκλοῦσι
θλίψεων ἀπείρων
πέλαγος βυθίζει·
ἀλλ' ἡ χαρὰν τεκοῦσα
τὴν θείαν καὶ ἀνεκλάλητον,
πανάχραντε ἁγνή,
χαράν μοι δίδου τῷ οἰκέτῃ σου.

**Ὢ** τῶν ὑπὲρ νοῦν θαυμάτων σου!
παναγία κόρη,
πῶς θηλάζεις μόνη
τὸν τροφέα κόσμου
πῶς χερσὶ βαστάζεις
οὗ χειρὶ τὰ πάντα;
ἀλλ' ἢ ὡς ἠβουλήθη
ὁ μόνος πρὸ αἰώνων
συνυπάρχων τῷ πατρὶ
καὶ ὁμοούσιος τῷ Πνεύματι.



Ὠδὴ δ'. Ἐν πνεύματι προβλέπων.

**Ἡ** μόνη διὰ λόγου
τὸν Λόγον τοῦ πατρὸς
συλλαβοῦσα, πάναγνε,
καὶ τέξασα σαρκὶ
χαῖρε Παρθένε δι' ἧς ἠνοίχθημεν
[πύλαι
τοῦ παραδείσου καὶ εἰσήχθημεν οἱ πάλαι
βρώσει στερηθέντες τῆς τούτου τρυ-
[φῆς.

**Σ**οὶ πρέπει χαίρειν μόνῃ
δοχεῖον τῆς χαρᾶς
χαρὰν ὅτι ἔτεκες
τῷ κόσμῳ καὶ ζωήν·
διὸ συμφώνως καὶ ἡμεῖς σὺν τῷ
[ἀγγέλῳ
τὸ χαῖρε πάντες βοῶμεν χαρμοσύνως
χαῖρε ἡ ἐλπὶς τῶν ψυχῶν ἡμῶν.

**Σ**ὲ καύχημα καὶ τεῖχος
καὶ ὅπλον ἀρραγὲς
ἐπιφέρω, Δέσποινα,
καὶ σκέπην κραταιάν·
μή με παρίδῃς εἰς χάος ἀπερριμμένον
ἁμαρτημάτων· ἀλλ' ἀνάγαγε καὶ σῶσον
θείᾳ δυναστείᾳ σου, ἄχραντε.

**Ἁ**γίασον τὸν νοῦν μου,
πανάσπιλε ἁγνή,
τὸν ἁγίων ἅγιον
ἡ τέξασα σαρκὶ
καὶ φώτισόν με φωτιστικῇ σου πρε-
[σβείᾳ
ἀμαυρωθέντα ἁμαρτίας τῇ ἀχλύϊ
καί γε ὑπ' αὐτῆς σκοτιζόμενον.

Ὠδὴ ε'. Τὸ φαεινόν.

**Ἡ** τὸν ἀχώρητον καὶ ὑπέρθεον
Λόγον χωρήσασα
χαῖρε Παρθένε εὐλογημένη Κυρία
[κόσμου·
χαῖρε τὸ κραταίωμα
τῶν πίστει ὑμνούντων σε.

**Ἡ** ἐκβλαστήσασα τῆς ζωῆς ἡμῶν
ἄνθος ἀμάραντον
χαῖρε Δέσποινα θεοκυῆτορ εὐλογη-
[μένη·
χαῖρε ἡ τὰ πέρατα
τῷ τόκῳ σου σώσασα.

**Μ**ὴ ἀπορρίψῃς με τὸν ταλαίπωρον
καὶ ἄθλιώτατον
τῆς σῆς χάριτος, Παρθενομῆτορ,
[μηδ' ἀποπέμψῃς με
ἀλλὰ τῇ συνήθει σου
πρεσβείᾳ οἰκτείρησον.

**Ν**υκτὶ τοῦ βίου με τὸν πανελάμονα
σκότος κατέλαβε
φῶς ὃν ἄδυτον καταύγασόν με, Χρι-
[στὲ σωτήρ μου
ταῖς τῆς κυησάσης σε
πρεσβείαις ὡς εὔσπλαγχνος.

Ὠδὴ ς'. Τὸν προφήτην Ἰωνᾶν.

**Χ**αριστήριον ᾠδὴν
σοὶ προσοίσομεν πιστοὶ
τῇ Παρθένῳ καὶ μητρὶ
τοῦ Θεοῦ ἡμῶν, ἁγνή,
βοῶντες νῦν
τοῦ κόσμου χαῖρε
χαρὰ καὶ στήριγμα.

**Β**ασιλέως φοβεροῦ
χαῖρε θρόνε μυστικὲ
καὶ δαιμόνων ἐναγῶν
χαῖρε πτῶσις κραταιὰ
τὸ καύχημα
τῆς οἰκουμένης
χαῖρε πανθαύμαστε.

**Ἡ** ἐλπὶς τῶν γηγενῶν
καὶ ἀντίληψις στερρὰ
νῦν μετάβαλε ἡμῶν
τὴν ὀδύνην εἰς χαρὰν
καὶ σύντριψον
ἀγεραχούντων
ἐχθρῶν φρυάγματα.

**Ν**εκρωθέντα με δεινῶς
ψυχοφθόροις ἡδοναῖς
ζωοποίησον, ἁγνή,
καὶ πασῶν ἐκ συμφορῶν
ἐξάρπασον,
Θεογεννῆτορ
κόρη, καὶ σῶσόν με.

## ΚΑΘΙΣΜΑ

### Ἦχος α'. Τὸν τάφον σου σωτήρ.

**Ἀ**πώθου ὦ ψυχὴ
ῥαθυμίας τὸν ὕπνον
καὶ ἄναψον φαιδρὰν
μετανοίας λαμπάδα
καὶ ἔξελθε χαίρουσα
τῆς τοῦ βίου συγχύσεως
εἰς ἀπάντησιν
τοῦ ἀθανάτου νυμφίου
δέξαι λέγουσα
καὶ μὴ ἀπώσῃ με, Λόγε,
λιταῖς τῆς τεκούσης σε.

Ὠδὴ ζ'. Τῶν ἐν καμίνῳ παίδων σου.

**Χ**αῖρε παντὸς τοῦ κόσμου πρὸς Θεὸν
μεσίτρια
καὶ καταλλαγὴ καὶ ἱλασμός·
χαῖρε δι' ἧς
ὁλοτελῶς φθορὰ ἐσβέσθη
καὶ ὁ ᾅδης ἤλγησε
καὶ νεκροῦται θάνατος
καὶ χορεύομεν πιστοί.

**Ὡ**ραιοτάτη χελιδὼν
ἡ φέρουσα
ἔαρ νοητὸν ὡς ἀληθῶς
τοῖς ἐν βυθῷ
τῆς ἀπιστίας τοῦ χειμῶνος
καθημένοις, Δέσποινα,
καὶ πρὸς ἀγήρω ζωὴν
μεταρρυθμήσασα.

**Ὁ** θεοπάτωρ πάλαι σε Δαυὶδ
βασίλισσαν
πάντων τῶν κτισμάτων ἐμφανῶς
ἐκ δεξιῶν
παρισταμένην ἀνακράζει
τοῦ Θεοῦ, ἄχραντε,
τῶν πατέρων ἡμῶν.

**Ἡ** ἐπικαμπτομένη προσευχαῖς,
πανύμνητε,
τῶν σῶν οἰκετῶν καὶ νῦν ἡμᾶς
ὡς κραταιὰ
τοῦ κόσμου προστασία
ἀναγκῶν καὶ θλίψεων
καὶ πάσης ὀργῆς
ῥῦσαι καὶ σῶσον ἡμᾶς.

Ὠδὴ η'. Ὃν φρίττουσιν ἄγγελοι.

**Ὠ**δαῖς ἀνυμνήσωμεν
καὶ ὕμνοις τοῦ Θεοῦ
τὸν ἔμψυχον θάλαμον
τὴν νέαν κιβωτὸν
τὴν σώσασαν κόσμον
ποντισμοῦ νοητοῦ
χαίροις ἐκβοῶντες
αὐτῇ εἰς τοὺς αἰῶνας.

**Κ**αὶ νῷ καὶ καρδίᾳ σε
καὶ γλώττῃ καὶ ψυχῇ
τὸ χαῖρέ σοι, Δέσποινα,
μετὰ τοῦ Γαβριὴλ
κραυγάζω καὶ λέγω
χαῖρε πάντων ἐλπίς·
χαῖρε ζωῆς μοι
διάρασα τὰς πύλας.

**Π**ανύμνητε Δέσποινα,
διάσωσον ἡμᾶς
κινδύνων καὶ θλίψεων
καὶ πάσης συμφορᾶς
τῆς νῦν ἐπελθούσης
νοητῆς αἰσθητῆς
ὅπως σὲ ὑμνῶμεν
εἰς πάντας τοὺς αἰῶνας.

**Σ**τενάζω καὶ δάκρυσι
πικροῖς καὶ ὀδυρμοῖς
συνέχομαι πάντοθεν
τὸ βῆμα τὸ φρικτὸν
ἐννοῶν σου, ἐν ᾧ με
ἀκατάκριτον
ταῖς τῆς σὲ τεκούσης
λιταῖς συντήρησόν με.

Ὠδὴ θ'. Τὴν ζωοδόχον πηγήν.

**Τ**ὴν εὐθαλῆ καὶ χρυσῆν καὶ κατάκαρπον
ἄμπελον ὕμνοις πιστοὶ καταστέψωμεν·
χαίροις ἡ βλαστήσασα
βότρυν ὡραιότατον
τὸν κατευφραίνοντα πάντων τὰς καρδίας
καὶ τῆς κακίας τὴν μέθην ἐξαίροντα.



**Χ**αῖρε τοῦ κόσμου παντὸς τὸ ἐξίλασμα
καὶ τῶν θαυμάτων Χριστοῦ τὸ προοίμιον·
χαῖρε τόπε ἅγιε·
χαῖρε πανσεβάσμιε·
χαῖρε ἁπάντων κτισμάτων ὑπερτέρα
ὡς τὸν τῶν ὅλων Δεσπότην κυήσασα.

**Ο**ἱ μὴ κηρύττοντες ἕνα τὸν τόκον σου
τῆς ὑπερφώτου Τριάδος, πανάμωμε,
καὶ Θεοῦ λοχεύτριαν
καθομολογοῦντές σε
ὡς ἐναγεῖς τε εἰσὶ τοῦ βροτοκτόνου
κατακριθήτωσαν ὄντως καὶ βέβηλοι.

**Θ**εόν, ἁγνή, ἀσπόρως ἐκύησας
ὑπὲρ ἡμῶν τῶν πιστῶς δεομένων σου
ἐκτενῶς ἱκέτευε
τοῦ ῥυσθῆναι θλίψεων
καὶ δυσχερῶν πολυτρόπων τῶν τοῦ βίου,
Θεοχαρίτωτε, πάντας τοὺς δούλους σου.

---

## 25

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς ὑστέροις Θεοτοκίοις

« **Ἰωάννης.** »

---

Κῶδ. Ι. 39
φ. 94 β Λαύρας

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ
ΤΟΥ ΘΗΚΑΡΑ

---

### Ἦχος α'. Ὠδὴ α'. Τῷ βοηθήσαντι Θεῷ.

**Χ**αίροις ἀκήρατε πηγὴ
ἡ τὸ ὕδωρ τῆς ζωῆς
ἀφθονωτάτως βλύσασα
καὶ λαὸν κορέσασα
τὸν διψῶντα τὴν ζωήν, ἄχραντε,
χαῖρε πανάμωμε.

**Χ**αῖρε παράδεισε τρυφῆς
ἡ τὸ ξύλον τῆς ζωῆς
μέσον βλαστήσασα Χριστὸν
τὸν ἐλόντα θάνατον
ὃν ἐβλάστησεν ἡμῖν ξύλου
ἡ τοῦ πρώτου ἀπόγνωσις.

**Γ**εραίρει πᾶσα γενεὰ
ὡς προέφησας, ἁγνή,
σὲ τὴν τεκοῦσαν ἀληθῶς
τὸν ὅλον Κύριον
ὃν ἱκέτευε ἡμᾶς πάσης
ἀνάγκης ῥύσασθαι.

**Ἰ**κετηρίαν πρὸς Θεὸν
νῦν προσάγαγε, σεμνή,
ὑπὲρ ἡμῶν τῶν ταπεινῶν
καὶ ἀχρείων δούλων σου
ὅπως ῥύσηται ἡμᾶς πάντων
δεινῶν καὶ κακώσεων.

Ὠδὴ γ'. Στερεωθήτω ἡ καρδία μου.

**Χ**αῖρε ἀπείρανδρε Θεόνυμφε
ἡ τὸ φῶς τοῖς πέρασι λάμψασα·
χαῖρε βοήθεια πιστῶν
καὶ ἐλπὶς ἀκαταίσχυντε·
χαῖρε ὅτι τὰ οὐράνια
τῇ γῇ συναγάλλονται.

**Χ**αῖρε ῥάβδος ἡ βλαστήσασα
εὐθαλὲς ἄνθος καὶ ἀμάραντον·
χαῖρε ἡ τράπεζα ἐν ᾗ
ἄρτος ἅγιος πρόκειται

οὗ οἱ τρώγοντες, πανύμνητε,
οὐ θνήσκουσι πώποτε.

**Β**εβαρυμένον με τὸν δοῦλόν σου
ταῖς ἀμέτροις θλίψεσι, Δέσποινα,
καὶ τῷ πελάγει τῶν δεινῶν
ταλαιπώρως ποντούμενον
μὴ παρίδῃς, ἀγαθή,
ἀλλὰ συνήθως ἐλέησον.

**Ὢ** τοῦ φρικτοῦ καὶ ξένου θαύματος·
χερσὶ βαστάζεις, πανάμωμε,
καὶ διατρέφεις ἐκ μαζῶν
τὸν τὰ πάντα βαστάζοντα
τῷ πατρί τε ὁμοούσιον
καὶ τῷ Πνεύματι σύνθρονον.

Ὠδὴ δ΄. Ἐπήρθη ὁ ἥλιος.

**Χ**ωρίον εὐρύχωρον
τῆς ἀχωρήτου φύσεως ὑπάρχεις, σεμνή,
διὸ γεγηθότες σοι πιστοί, Παρθένε,
τὸ χαῖρε χαρμονικῶς νῦν ἀναμέλπομεν.

**Μ**ητέρων τὸ καύχημα
καὶ τῶν παρθένων ἄνθος ἀνεδείχθης, σεμνή,
Θεὸν ὅτι ἔτεκες σεσαρκωμένον·
ὅθεν εὐχαρίστως σοι τὸ χαῖρε κραυγάζομεν.

**Β**υθὸς ἁμαρτίας με
κατακαλύπτει, πάναγνε, τὸν δοῦλόν σου·
διὸ καὶ προσπίπτω σοι, εὐλογημένη,
προφθάσασα οἴκτειρον καὶ ἐξανάστησον.

**Ἀ**νύμφευτε Δέσποινα,
τῶν συνεχόντων νῦν με χαλεπῶν πειρασμῶν
ταχέως ἀπάλλαξον καὶ θυμηδίας
τὸν δοῦλόν σου πλήρωσον ὅπως δοξάζω σε.

Ὠδὴ ε΄. Τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

**Χ**αῖρε τοῦ κόσμου Δέσποινα,
Παρθένε ἁγνή,
χαῖρε κραταιόν τε
καὶ ἄσειστον ἔρεισμα
καὶ ὅπλον θεῖον τῶν ὑμνούντων σε·
χαῖρε κόσμου σκέπη
χαρὰ καὶ προστασία.

**Χ**αῖρε ἀστὴρ ὁλόφωτε
εἰσάγων ἐμφανῶς
ἥλιον ἐν κόσμῳ
τὸν μέγαν καὶ ἄδυτον
φωτίζοντα πάντας τοὺς ὑμνοῦντάς σε·
χαῖρε κόσμου δόξα
ἐλπὶς καὶ σωτηρία.

**Χ**αρὰν τὴν ἀνεκλάλητον
ὡς τέξασα σαφῶς
ἔμπλησον ἀπείρου
χαρᾶς τὴν καρδίαν μου
καὶ εὐφροσύνης, ἀειπάρθενε,
τοῦ δυστυχοῦς ὄντος
καὶ τεταπεινωμένου.

**Ν**έφος με τὸν δείλαιον
ἐκάλυψε δεινῶν
καὶ δυσωδίας, Παρθένε,
ψυχῇ τε καὶ σώματι
κατασκοτίζει τὸν παντλήμονα·
ἀλλ᾽ ἡ τὸ φῶς τεκοῦσα
λάμψον χαρᾶς μοι φάος.

Ὠδὴ ϛ΄. Τὸν προφήτην διέσωσας.

**Τ**οῦ Ἀδὰμ χαῖρε Δέσποινα
τοῦ πεσόντος ἀνόρθωσις·
χαῖρε τῶν δακρύων τῆς Εὔας
καὶ πόνων ἡ λύτρωσις.

**Χ**αῖρε γῆς τὸ θεμέλιον
ἐν κοιλίᾳ βαστάσασα,
ἄχραντε, ἀκόπως καὶ τοῦτο
μαζοῖς σου θηλάσασα.

**Τ**ῆς ψυχῆς μου τὰ τραύματα
ἰατρεύουσα σῶσόν με
ἡ τὸν ἰατῆρα νοσούντων
ἀρρήτως κυήσασα.

**Ν**αυαγίῳ τῶν θλίψεων
χειμαζόμενος, Δέσποινα,
ὡς Πέτρος βοῶ σοι ὁ τάλας
τὴν χεῖρά μοι ἔκτεινον.



# ΚΑΘΙΣΜΑ

**Ἦχος α΄. Τὸν τάφον σου σωτήρ.**

**Δ**ακρύων μοι πηγάς,
Θεοτόκε, παράσχου
δι᾽ ὧν τῶν ἡδονῶν
κατασβέσας τὴν φλόγα
ψυχῆς μου τὰς αὔλακας
καρποφόρους ἐργάσωμαι
καὶ ἀξίως
ἐν ταπεινώσει καρδίας
ἐκτελέσαι με
τὰς τῆς ζωῆς μου ἡμέρας,
Παρθένε πανάμωμε.

Ὠδὴ ζ΄. Ἡ κάμινος.

**Χ**αῖρε Θεοῦ πανάγιον τέμενος·
χαῖρε δι᾽ ἧς ἐλύθη παράβασις·
χαῖρε βροτῶν ἀληθῶς
τὸ καταφύγιον.

**Χ**αῖρε πιστῆς ἀσπόρου νυμφεύσεως·
χαῖρε δι᾽ ἧς ἠνοίχθη παράδεισος·
χαῖρε φαιδρὸν τοῦ ὑψίστου
καταγώγιον.

**Ὡ**ς ὁ λῃστὴς κραυγάζω τὸ μνήσθητι
ὡς ὁ Δαβὶδ βοῶ τὸ ἐλέησον
μὴ παρίδῃς, ἁγνή,
ἀλλ᾽ ἀνακάλεσαί με.

**Ἡ** τῶν πιστῶν ἑτοίμη βοήθεια
ἄρτι κἀμοὶ βοήθεια γένοιο
τῷ ἐκζητοῦντι θερμῶς
τὴν σὴν ἀντίληψιν.

Ὠδὴ η΄. Τὸν ἐν φλογὶ πυρός.

**Χ**αῖρε πανέντιμον
χριστιανῶν τὸ κῦδος·
χαῖρε ἀπειρόνυμφε μῆτερ·
χαρὰ καὶ δόξα χαῖρε
τῶν πίστει μελῳδούντων
ὑμνεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Χ**ορούς παράλαβε
ἀρχαγγέλων ἀγγέλων
σὺν ἀποστόλοις προφήταις
καὶ τῶν μαρτύρων δῆμον
ὁσίων καὶ δικαίων
ἡ πάντων Δέσποινα,
καὶ Χριστὸν δυσώπει ὑπὲρ τῶν οἰκετῶν σου.

**Χ**αίροις ἀκράδαντον
οἰκουμένης τὸ τεῖχος·
χαῖρε πανθαύμαστε κόρη·
χαῖρε ἐλπὶς καὶ σκέπη
τῶν πίστει μελῳδούντων
ὑμνεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Σ**βέσον τὴν κάμινον
τῶν παθῶν μου, Παρθένε,
τῇ τοῦ ἐλέους δρόσῳ
καὶ ἐκ βυθοῦ πταισμάτων
ἀνάγαγε καὶ σῶσον
προθύμως κράζοντι
σὲ ὑπερυψοῦμεν, Χριστέ, εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Σὲ ἥν περ εἶδε Μωϋσῆς.

**Σ**ὲ ἥν περ εἶδε Μωϋσῆς
ἀκατάφλεκτον βάτον
καὶ κλίμακα ἔμψυχον
ἣν Ἰακὼβ τεθέαται
καὶ πύλην οὐράνιον
δι᾽ ἧς διῆλθεν ὁ μόνος Θεὸς ἡμῶν
ὕμνοις, μῆτερ ἁγνή, μεγαλύνομεν.

**Σ**ὲ ἥν περ εἶδεν Ἰακὼβ
ἀπὸ γῆς εἰς οὐρανὸν
προσψαύουσαν κλίμακα
καὶ τοὺς βροτοὺς ἀνέλκουσαν
πρὸς θείαν κατάπαυσιν
καὶ ἀνεκλάλητον ὄντως χαρὰν
ὕμνοις, μῆτερ ἁγνή, μεγαλύνομεν.

Σὲ ἥν περ εἶδε μυστικῶς
ἐν τῷ πνεύματι ποτὲ
ὁ προφήτης Ἀββακοὺμ
δασύ τε καὶ κατάσκιον ὄρος,
Παρθένε ἀμόλυντε,
ὁμοφρόνως πάντες πιστοὶ
ὕμνοις, μῆτερ ἁγνή, μεγαλύνομεν.

**Σ**οὶ τῇ τεκούσῃ τὴν χαρὰν
νῦν προσέρχομαι θερμῶς,
Παρθένε θεόνυμφε,
αἰτῶν ὁ δυστυχέστατος
καὶ ἄθλιος δοῦλός σου
χαράν μοι πέμψον οἰκέτῃ τῷ σῷ
ὅπως πόθῳ ἀεὶ μεγαλύνω σε.

---

## 26

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1]

οὗ ἡ ἀκροστιχίς

« ***Δέσποινα νεῦσον πρὸς λιτὰς Θεοδώρου.*** »

ΠΟΙΗΜΑ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΣΤΟΥΔΙΤΟΥ

(Ἐν τῷ α' Τροπαρίῳ ἑκάστης ᾠδῆς δέεται ὁ ἁμαρτωλὸς πρὸς τὴν Θεοτόκον· ἐν τῷ β' δέεται ἡ Θεοτόκος πρὸς τὸν Χριστόν· ἐν τῷ γ' ἀποκρίνεται ὁ Χριστὸς πρὸς τὴν Θεοτόκον· καὶ ἐν τῷ δ' ἀποκρίνεται ἡ Θεοτόκος πρὸς τὸν ἁμαρτωλόν.)

### *Ἦχος α'. Ὠδὴ α'. Ὠδὴν ἐπινίκιον.*

**Δ**οχεῖον τῆς φύσεως
τῆς ἀχωρήτου
Χριστὸν ἐκδυσώπησον
ἵνα πυρὸς ῥύσηται
τοῦ ἀφεγγοῦς με, ἁγνή,
καὶ ἀναδείξῃ κοινωνὸν
τῆς βασιλείας αὐτοῦ.

**Ἐ**μὴν δέξαι δέησιν,
υἱὲ καὶ Λόγε,
καὶ ῥῦσαι κολάσεως
τὸν βοῶντα δοῦλόν σου
πρός με ἐκ βάθους ψυχῆς
καὶ καταξίωσον αὐτὸν
τῆς βασιλείας σου.

**Σ**ύ, μῆτερ, ἐλέους με
πηγὴν γινώσκεις·
καὶ γὰρ τοὺς καθ' ὥραν μοι
τῷ Δεσπότῃ πταίοντας
ἁμαρτωλοὺς ἐλεῶ·
ἀλλ' οὗτος λίαν με αἰσχροῖς
καταπικραίνει κακοῖς.

**Π**ολλοῖς παραπτώμασι
καὶ ἀτοπίαις
αἰσχραῖς παρεπίκρανας
τὸν υἱόν μου ὅθεν σοι
εἰς ἀγανάκτησιν νῦν
κεκίνηται καὶ εἰς ὀργὴν
ἡ εὐσπλαγχνία αὐτοῦ.

Ὠδὴ γ'. Τῷ πρὸ τῶν αἰώνων.

**Ὅ**λον μου τὸν βίον
ἀληθῶς ἐν κακοῖς ἐδαπάνησα
καὶ διὰ τοῦτό σοι κραυγάζω
τὸν υἱόν σου δυσώπει,
ἁγνή, ἵνα ὡς τὸν ἄσωτον
ἀνακαλέσῃ καὶ σώσῃ με νῦν
κείμενον τοῖς πταίσμασιν.

**Ἵ**λαθι, παντάναξ,
ὁ τεχθεὶς ἀπορρήτως ἐκ μήτρας μου
καὶ κατοικτείρησον σὸν δοῦλον
ὡς τὸν ἄσωτον πάλαι
υἱὸν καὶ δεῖξον, πανάγαθε,
τῆς δεξιᾶς παραστάτην τῆς σῆς
ἐν ἡμέρᾳ κρίσεως.

**Ν**ουνεχῶς, ὦ μῆτερ,
ἐκβοῶ σοι κἀγὼ ἐπακοῦσαί μου·

---

1) Εὕρηται καὶ ἐν τῷ Θεοτοκαρίῳ Νικοδήμου σ. 5 (ἐκδ. Ἀθηνῶν τοῦ 1906).



ὁ ἀσωτίαις ἐμβιώσας
ἐν θερμῇ μετανοίᾳ
ἐλθὼν ἔκραζε τὸ ἥμαρτον·
ἀλλ' οὗτος κἂν σοι βοᾷ μεταγνοὺς
ἐν ὑστέροις φωράται.

**Ἅ** μοι ἔφης εἶπον
τῷ υἱῷ μου κραυγάζουσα ἵνα σὲ
καταξιώσῃ βασιλείας·
ἀλλ' οὗτός μοι ἀντέφη·
θερμῇ πίστει οὐ προσῆλθέ μοι
καὶ διὰ τοῦτο ἐκπέμπω αὐτὸν
ἀπὸ τοῦ προσώπου μου.

Ὠδὴ δ'. Ἐν πνεύματι προβλέπων.

**Ν**εύσας, ὦ Παρθένε,
τὴν δύναμιν τὴν σὴν
μετὰ δέους κράζω σοι
τῇ μόνῃ ἀγαθῇ
εἰ καὶ μετάνοιαν ὅλως θερμὴν οὐκ ἔχω
ἀλλὰ ταῖς σαῖς πρὸς τὸν Δεσπότην ἱκεσίαις
δίδου μοι τελείαν διόρθωσιν.

**Ἐ**πάκουσον ὁ φύσει
φιλάνθρωπος Θεὸς
τῆς μητρός σου, Δέσποτα,
βοώσης ἐκτενῶς
καὶ τὸν σὸν δοῦλον ἐκλύτρωσαι καταδίκης
εἰ δὲ καὶ πίστιν οὐ κέκτηται τελείαν
ταύτην ὡς Θεὸς αὐτῷ δώρησαι.

**Ὑ**πόθεσιν, ὦ μῆτερ,
αὐτῷ παντοδαπὴν
τοῦ σωθῆναι δέδωκα
ἀλλ' οὗτος οὐκ ἐᾷ
τὰς ἁμαρτίας· εἰσῆλθε καὶ ἐν θανάτῳ
καὶ διὰ τοῦτο οὐδὲ δύναται σωθῆναι
ἕως οὗ εἰς πῦρ ἀπελεύσεται.

**Σ**ὲ νῦν ἐπιγινώσκω
αἰτίαν τῆς σαυτοῦ
ἀπωλείας ὥς φησιν
ὁ θεῖός μου υἱός·
σὺ γὰρ κατάκεισαι ὅλως τῇ ἁμαρτίᾳ
καὶ παρεδόθης τελείως τῇ ῥαθυμίᾳ·
τίς ἐξαναστήσει κείμενον;

Ὠδὴ ε'. Θεὸς ὢν εἰρήνης.

**Ὁ**δοὺς μετανοίας,
Παρθένε, ποθῶ
διατρίβειν ἀεὶ τὰς φερούσας με
ζωὴν πρὸς ἀτελεύτητον·
ἀλλ' αὖθις τὰ δεινὰ
στρατήματα δαιμόνων
καθέλκουσι κρημνίσαι
εἰς βυθὸν ἁμαρτίας
καὶ ἀπωλείας δεινὸν βόρβορον.

**Ν**εκρώσας τὸν θάνατον,
σῶτερ, τὸ πρὶν
τὸν Ἀδὰμ τῶν δεσμῶν ἠλευθέρωσας·
διὸ καὶ νῦν τὸν δοῦλόν σου,
υἱέ μου, δυσωπῶ
ἐξάρπασον δαιμόνων
τῶν ἐμπαιζόντων·
αὐτοὶ γὰρ οὐκ ἐῶσι
μετανοῆσαί τινα πώποτε.

**Π**ανύμνητε μῆτερ,
βοῶ σοι κἀγὼ
προσευχῇ καὶ νηστείᾳ ἐξέρχονται
τὰ πλήθη τὰ παμπόνηρα
δαιμόνων ἐξ αὐτοῦ·
ἀλλ' οὗτος ἐγκρατείᾳ
δεήσει καὶ ἁγνείᾳ
μὴ καθάρας τὸ σῶμα
δαιμόνων φεῦ! γέγονε σπήλαιον.

**Ρ**ημάτων τῶν πρὶν
τοῦ υἱοῦ μου καλῶς
ἐνωτίζου καὶ γνῶθι τὰ δέοντα·
ἡνίκα γὰρ οὐκ ἴσχυσαν
οἱ τούτου μαθηταὶ
τὸ πνεῦμα ἐκδιῶξαι
ἐβόα τούτοις λέγων·
προσευχῇ καὶ νηστείᾳ
δαιμόνων γένος ἐκδιώκεται.

Ὠδὴ στ'. Τὸν προφήτην Ἰωνᾶν.

**Ο**ὐ ῥημάτων εὐπορῶ
ἀρετῶν τε ἀπορῶ·
οὐ γὰρ στέργω προσευχὴν
καὶ νηστείαν ἐκτελεῖν,
Θεόνυμφε,
καὶ διὰ τοῦτο
πρὸς σὲ κατέφυγον.

**Σ**ύνες, εὔσπλαγχνε υἱέ,
σῆς μητρὸς ἐκδυσωπῶ·
ὁ προστρέχων ἐπ' ἐμὲ
χρηστῶν ἔργων ἀπορεῖ
καὶ κράζει μοι·
οὐκ ἔχω πλὴν σου
ἐλπίδα, Δέσποινα.

**Δ**ιεκνεύουσα θερμῶς
παῦσαι, μῆτερ, τοῦ λαλεῖν·
καὶ γὰρ οὗτος ἀφορῶν
ὅτι εὔσπλαγχνός εἰμι
μολύνεται
μὴ ἐπιβλέπων
εἰς τὴν ὀργὴν τὴν ἐμήν.

**Ἱ**κετεύω ὑπὲρ σοῦ
τὸν υἱόν μου καὶ Θεὸν
ἵνα τύχῃς ἱλασμοῦ·
ἀλλ' αὐτός μοι ἐκβοᾷ
τοῦ παύσασθαι
καὶ μὴ πρεσβεύειν
εἰς τὸ σωθῆναί σε.

## ΚΑΘΙΣΜΑ

***Ἦχος α'. Τὸν τάφον σου σωτήρ.***

**Π**αράδεισον ἐν γῇ
λογικόν σε φυτεύσας
Χριστὸς ὁ φυτουργὸς
παραδείσου τοῦ πρώτου
ἐν μέσῳ σου, Δέσποινα,
ὡς ζωῆς ξύλον ἔφυσεν
ὃν ἱκέτευε
τοῦ τῆς τρυφῆς παραδείσου
ἀξιῶσαί με
καὶ ἐφ' ὑδάτων ἐκθρέψαι
τερπνῆς ἀναπαύσεως.

Ὠδὴ ζ'. Οἱ παῖδες εὐσεβείᾳ.

**Τ**ὴν πᾶσάν μου ἐλπίδα
ἐπὶ σοὶ ἀνατίθημι, Δέσποινα,
καὶ μὴ ἀπώσῃ εἰς βυθὸν
ἀπωλείας με τὸν δείλαιον·
ἀλλ' ἀνάστρεψον τῷ σῷ βοῶσα πάλιν υἱῷ
μὴ ἀπολέσῃς τὸ πλάσμα τῶν χειρῶν σου.

**Ἀ**μέτρητον ὡς ἔχον
εὐσπλαγχνίας τὸ πέλαγος, Δέσποτα,
δέξαι με πάλιν δυσωπῶ
σὲ τὸν μόνον εὐδιάλλακτον
καὶ οἰκτείρησον τῶν σῶν χειρῶν τὸ ποίημα
ὁ οἰκτειρήσας ποτὲ τὴν Χαναναίαν.

**Ἱ**λάσκομαι καὶ σῴζω
τὸν ἐν πόθῳ πολλῷ προσερχόμενον·
καὶ γὰρ οὐ θέλω τὸ ἐμὸν
ἀπολέσθαι πλάσμα πώποτε·
εἰς τὸ σῶσαι γὰρ αὐτὸ ὅλος ἐξεχύθην ἐκ σοῦ·
ἀλλ' οὗτος πόρρω τῶν ἔργων μου ὑπάρχει.

**Σ**οφία τοῦ ὑψίστου
προϋπάρχων ὁ υἱός μου γέγονεν
ἄνθρωπος ὅλος ἐξ ἐμοῦ
ἵνα σώσῃ τοὺς φυλάσσοντας
μετὰ πίστεως θερμῆς τὸ θεῖον βάπτισμα·
ἀλλὰ σὺ τούτου ἀμέτοχος ἐδείχθης.

Ὠδὴ η'. Ὃν φρίττουσιν ἄγγελοι.

**Θ**αρρήσας προσῆλθόν σοι,
Παρθένε, θεωρῶν
τὸν σὸν υἱὸν σώσαντα
τὴν πόρνην καὶ λῃστήν·
αὐτοὶ γὰρ νομίμως
οὐδὲν ἔργον χρηστὸν
ἔπραξαν ἐν βίῳ
ἀλλ' ἔτυχον συγγνώμης.

**Ἐ**ξ ὕψους ἐπίβλεψον
εἰσάκουσον τῆς σῆς
μητρὸς δεομένης σου
καὶ ῥῦσαι τοῦ πυρὸς
τὸν δοῦλόν σου τοῦτον
ὡς τὴν πόρνην τὸ πρὶν
καὶ ὡς ἐλυτρώσω
λῃστὴν ἐν τῷ σταυρῷ σου.

**Ὁ** πάλαι κρεμάμενος
λῃστὴς ἐν τῷ σταυρῷ
ἐν πίστει ἐκραύγαζε
τὸ μνήσθητι κἀμοῦ·
ἡ πόρνη δὲ πάλιν



τῶν δακρύων πηγὰς
ἔβλυζεν, ἀλλ' οὗτος
αὐτοῖς οὐχ ὡμοιώθη.

**Δ**ιασώσουσαν σέσωκε
τὴν πόρνην ὁ Χριστὸς
ὡσαύτως πιστεύσαντα
λῃστὴν ἐν τῷ σταυρῷ·
εἰ οὖν θέλεις ἄρτι
σωτηρίας τυχεῖν
πρόσδραμε Κυρίῳ
σὺν δάκρυσι καὶ πίστει.

Ὠδὴ θ'. Τὴν φωσφόρον νεφέλην.

**Ὤ**φθην ἁπάντων ἀνθρώπων
ἁμαρτωλότερος, κόρη,
καὶ διὰ τοῦτο προσελθεῖν
τῷ υἱῷ σου αἰδοῦμαι·
ἀλλὰ δυσώπησον αὐτὸν
καὶ ἵλεων ποίησον
τοῦ δέξασθαι
ἐν θερμῇ με τῇ πίστει
καὶ ἐν πόθῳ προσερχόμενον αὐτῷ.

**Ρ**ῦσαι κολάσεως, Λόγε,
τὸν προσελθόντα σοι δοῦλον
καὶ μὴ μνησθῇς ἀνομιῶν
τῶν αὐτοῦ δυσωπῶ σε·
εἰ γὰρ καὶ ἥμαρτε, σωτήρ,
ἀλλά μοι προσανέφυγε
καὶ δέομαι
δι' ἐμὲ τοῦτον δέξαι
ὁ τοῖς πᾶσι τὰ αἰτήματα πληρῶν.

**Ο**ὐκ ἔστιν ἄξιος, μῆτερ,
ὁ προσφυγὼν σοι ἐλέους·
καὶ γὰρ ἀνθρώπων με οὐδεὶς
ὡς αὐτὸς παροργίζει·
ἀλλὰ πρεσβείαις σου σεπταῖς
αὐτὸν τῆς κολάσεως
ἀμέτοχον
ἐν τῇ κρίσει ποιήσω
εἰ προσάξει μετανοίας μοι καρπούς.

**Ὑ**πὸ τὸν ᾅδην ὑπάρχων
ἀνεβιβάσθης πρὸς ὕψος
ταῖς πρὸς τὸν θεῖόν μου υἱὸν
ἱκεσίαις καὶ πρόσχες
μὴ τοῖς προτέροις σου δεινοῖς
ἐμπέσῃς ἐγκλήμασιν·
ἀλλ' ἄπελθε
εἰς ὁδοὺς μετανοίας
μήπως πάλιν τῇ γεέννῃ ἐμβληθῇς.

---

## 27

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1]

οὗ ἡ ἀκροστιχίς

« ***Θρήνων ἐμῶν δέχοιο τὸν πρῶτον κόρη· ναί.*** »

ΠΟΙΗΜΑ ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

***Ἦχος α'. Ὠδὴ α'. Σοῦ ἡ τροπαιοῦχος.***

**Θ**ρήνων ἀπαρχὰς δεῦρο ψυχὴ
τῇ Θεοτόκῳ προσοίσωμεν σήμερον·
αὕτη γὰρ ἐρρύσατο
τῆς τοῦ Ἀδὰμ κατάρας τὸ ἀνθρώπινον
καὶ τὴν εὐλογίαν
καὶ χαρμονὴν ἐδωρήσατο.

1) Ὁ Κανὼν οὗτος ἐν τῷ Θεοτοκαρίῳ Νικοδήμου (σ. 7) φέρεται ἐπ' ὀνόματι Ἀνδρέου Κρήτης, ὡς καὶ οἱ λοιποὶ θρηνώδεις Κανόνες τῶν ἑπομένων ἤχων· ἀλλ' ὁ Εἱρμὸς « Σοῦ ἡ τροπαιοῦχος δεξιά », ἐφ' οὗ ἐβασίσθη ὁ παρὼν Κανών, εἶνε ἀναμφισβητήτως Ἰωάννου τοῦ Δαμασκηνοῦ· ἐξ οὗ ἐξάγεται τὸ φυσικὸν συμπέρασμα ὅτι ὁ Ἀνδρέας σύγχρονος ἦν τοῦ Δαμασκηνοῦ, γνωρίσας τοὺς Εἱρμοὺς αὐτοῦ καὶ χρησιμοποιήσας αὐτούς.

**Ρ**είθροις Ἰορδάνου τὰ ἐμὰ
περισσωθέντα οὐδόλως ἰσχύουσι
δάκρυα ἐκνίψασθαι
τὸν τῶν ἐμῶν ἁμαρτημάτων βόρβορον·
ἀλλὰ σύ, Παρθένε,
τῷ σῷ ἐλέει με κάθαρον.

**Ἥ**λιον γεννήσασα Χριστὸν
δικαιοσύνης, Παρθένε, τὸν ἄδυτον
φώτισόν μου δέομαι
τὰ τῆς ψυχῆς ἠμαυρωμένα ὄμματα
ἡδονῶν ἀχλύϊ
καὶ ἁμαρτίας παχύτητι.

**Ν**όμους τοῦ Δεσπότου παραβὰς
πᾶσαν ἰδέαν κακίας ἐτέλεσα
καὶ νῦν ἐπιστρέφοντα
μή με παρίδῃς τὸν ἀχρεῖον δοῦλόν σου,
Δέσποινα Μαρία,
ἀλλ' οἰκτείρασα σῶσόν με.

Ὠδὴ γ'. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

**Ὡ**ς πάλαι τὴν Εὔαν εὑρηκὼς
ὁ ὄφις με ἠπάτησε
καὶ ἡδονῆς τῇ γεύσει ἐξέβαλε
τοῦ παραδείσου τῆς θείας γνώσεως
ἡ Χριστὸν κυήσασα
τὸν Ἀδὰμ τὸν δεύτερον
πρὸς ζωὴν ἐπανάγαγε, Δέσποινα.

**Ν**οσήσας τοῦ Κάϊν δυστυχῶς,
Παρθένε, τὴν ἀπόνοιαν
ὡς ἀδελφὸν τὸν νοῦν μου ἀπέκτεινα
φιληδονίας ξίφει χρησάμενος
καὶ φθονήσας κάκιστα
τούτου τὴν ἀνάβασιν
ἀλλὰ σὺ ὡς φιλάνθρωπος σῶσόν με.

**Ἐ**θρήνησε πάλαι ὁ Ἀδὰμ
Ἐδὲμ ἀποικιζόμενος
χερουβὶμ τοῦ τὴν εἴσοδον φράττοντος
πεσὼν ἐγὼ δὲ τῆς θείας γνώσεως
θρηνῶν ἱκετεύω σε
σὺν ἁγίοις πρέσβευε,
Θεομῆτορ, παθῶν λυτρωθῆναί με.

**Μ**ελέτη θανάτου, ὦ ψυχὴ
ἀθλία, προηγείσθω σου
ἐν ταῖς τοῦ βίου πράξεσι πάντοτε
καὶ θρῆνον λάβε καὶ πένθος σύστησον
ἔχουσα μεσίτριαν
τὴν ἁγνὴν καὶ ἄμωμον
πρὸς Χριστὸν τὸν ἐκ ταύτης βλαστήσαντα.

Ὠδὴ δ'. Ὄρος σε τῇ χάριτι.

**Ὦ** τῶν σῶν θαυμάτων, ἀπειρόγαμε Δέσποινα,
ὅτι μεσίτρια βροτῶν
ἁμαρτωλῶν πρὸς τὸν ἐκ σοῦ
τεχθέντα γεγένησαι·
διὸ κἀμὲ ὑπὲρ βροτοὺς ἁμαρτήσαντα
καταλλαγῆναι αὐτῷ ἐκδυσώπησον.

**Ν**έκρωσον, Παρθένε, τῆς σαρκός μου τὸ φρόνημα
καὶ τῶν παθῶν τὰς προσβολὰς
καὶ τῶν δαιμόνων τὰς βουλὰς
ἀπράκτους ἀπέργασαι
καὶ τῆς ζωῆς τρίβους βαίνειν ὁδήγησον
ἡ τὴν ζωὴν τῶν ἁπάντων κυήσασα.

**Δ**άκρυσι κάθαρον μολυσμοὺς τῆς καρδίας μου
ταῖς προστασίαις τῶν σεπτῶν
ἀγγέλων ποίησον, ἁγνή,
ψυχῆς τε τὴν ζόφωσιν
καὶ τοῦ νοὸς τὰς ἐκτροπὰς ἀνακάλεσαι
καὶ ἀπαθείας πρὸς τρίβον ὁδήγησον.

**Ἔ**ννοιαν αἰσχίστοις λογισμοῖς κατεμόλυνα
καὶ τὴν ψυχὴν ταῖς ἡδοναῖς
τοὺς ἐπὶ Νῶε ὑπερβὰς
αἰσχροῖς ἀτοπήμασι·
διὸ βοῶ, Θεοκυῆτορ, με οἴκτειρον
κατακλυσμοῦ νοητοῦ διασώζουσα.

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

**Χ**αλεπῆς με
ἐκ φλογὸς τῆς γεέννης ἐξάρπασον
ἡ τεκοῦσα
τῆς θεότητος πῦρ τὸ ἀπρόσιτον
καθ' ἡμᾶς γενόμενον
θεανδρικῇ τῇ ὑποστάσει,
Θεομῆτορ πανάμωμε.



**Ο**ὐ πτοοῦμαι
τὰς μελλούσας κολάσεις ὁ ἄθλιος
οὐ τὸ σκότος
οὐ βρυγμὸν τῶν ὀδόντων καὶ σκώληκα
οὐ τὸ πῦρ τὸ ἄσβεστον·
διὸ αἰτοῦμαί σε, Παρθένε,
τούτων με πάντων ἐκλύτρωσαι.

**Ἴ**ασαί μου
τῆς ψυχῆς τὰ ἀλγήματα, πάναγνε,
ἡ τεκοῦσα
τὸν τὰς νόσους ἡμῶν ἰασάμενον
τοῖς αὐτοῦ παθήμασι
τοῖς σωτηρίοις καὶ πανσέπτοις
ἵνα πιστῶς μεγαλύνω σε.

**Ο**ὐχ ὡς ὁ Λάμεχ
νεανίσκον καὶ ἄνδρα ἀπέκτεινα,
Θεομῆτορ,
ἀλλὰ νοῦν καὶ λόγον τοῖς πταίσμασι·
μὴ σὺν ἡ ἐκδίκησις
τεταμιευθήτω μου τῇ κρίσει
ἀλλ' ἐνταῦθά με κάθαρον.

Ὠδὴ ς'. Ἐκύκλωσεν ἡμᾶς.

**Τ**ὸ σῶμα κατεμόλυνα ταῖς πράξεσι
τὸν νοῦν ταῖς ἐνθυμήσεσι
τὰς αἰσθήσεις τῇ ἀφῇ τῶν ἡδονῶν
τούτων μοι τὴν ἴασιν χορήγησον
τοῖς σταλαγμοῖς
ἐμῶν δακρύων, Θεοχαρίτωτε.

**Ὁ** χρόνος τῆς ζωῆς μου δεδαπάνηται
ἐν ὕπνῳ καὶ ἀνέσει
καὶ τρυφῇ καὶ ῥεμβασμοῖς τῶν λογισμῶν·
νῦν οὖν κἂν ἐν γήρᾳ με σωφρόνισον,
μῆτερ Θεοῦ,
καὶ πρὸς μετάνοιαν χειραγώγησον.

**Ν**οσήσας τῶν πρὸ νόμου τὴν ἀπόνοιαν
ἀφρόνως ἐπεχείρησα
ὡς πυργώματα τὰς πράξεις τὰς αἰσχρὰς
ἄλλην ἐπ' ἄλλην συναρμόσασθαι·
σὺ οὖν, ἁγνή,
τῷ θείῳ με συνέτισον πνεύματι.

**Π**αγίδα μοι κεκρύφασι, πανάμωμε,
οἱ ὄντως ὑπερήφανοι
καὶ σχοινίοις τῶν ἐμῶν ἁμαρτιῶν
βρόχους τοῖς ποσί μου διετείναντο
οὕς, ἀγαθή,
ὡς ἀραχνίους μίτους διάλυσον.

## ΚΑΘΙΣΜΑ

**Ἦχος α'. Χορὸς ἀγγελικός.**

**Ἐ**λπὶς χριστιανῶν
ἀψευδὴς καὶ βεβαία
ἐλέους χορηγὲ
καὶ πηγὴ συμπαθείας
ἡ κλεῖς διανοίγουσα
τοῦ Θεοῦ τὴν χρηστότητα
πᾶσιν ἄνοιξον
τῆς εὐσπλαγχνίας τὴν πύλην
πᾶσι δώρησαι
τοῦ τῆς τρυφῆς παραδείσου
τὴν εἴσοδον, ἄχραντε.

Ὠδὴ ζ'. Σὲ νοητὴν Θεοτόκε.

**Ρ**ῆξον, ἁγνή,
δεσμοὺς τῆς καρδίας μου
λήθην καὶ ἄγνοιαν δεινὴν
καὶ τὴν πώρωσιν τῆς ψυχῆς
καὶ ἠλιθιότητα
δι' ὧν συνδεσμούμενος
ὁ νοῦς μου τρέχειν οὐ δύναται
πρὸς πλατυσμὸν θεωρίας
καὶ ὕψος θείας γνώσεως.

**Ὦ** τῶν ἐμῶν
παθῶν καὶ κινήσεων!
ὦ τῶν ἀμέτρων μου κακῶν!
ποῖον αἶσχος αἰσχροποιὸν
οὐκ ἀφρόνως πέπραχα
ποῖον οὐκ ἐτέλεσα
ἡδυπαθείας ἁμάρτημα·
σὺ οὖν, ἁγνή, κἂν ἐν γήρᾳ
μετάνοιάν μοι δώρησαι.

**Τ**ὴν ἐν ἐμοὶ
ῥαθυμίαν, Δέσποινα,
καὶ νυσταγμὸν τὸν χαλεπὸν

ταῖς ἀγρύπνοις σου πρὸς Θεὸν
  δέομαι δεήσεσιν,
ἄχραντε, ἀπόλυσον
  καὶ μελῳδοῦντά με οἴκτειρον
ὁ αἰνετὸς τῶν πατέρων
  Θεὸς καὶ ὑπερένδοξος.

**Ο**ἴμοι ψυχή!
πῶς ἀπηναισχύντησας
  ὑπὲρ τὸν Χὰμ τὸν ἀναιδῆ
οὐκ ἐκάλυψας τὴν αἰδῶ
  τοῦ σοὶ πλησιάζοντος
φύσει τε καὶ χάριτι
  ἀλλ' ἀπανθρώπως ἐφιάλεις·
νῦν οὖν θερμῶς πρὸς τὴν εὔσπλαγχνον
  δράμε μετανόησον.

Ὠδὴ η'. Ἐν καμίνῳ παῖδες.

**Ν**εκρωθεῖσα, τάλαινα ψυχή,
δεινῶς τῇ ἀμελείᾳ
  ἐγέρθητι ὡς ἐξ ὕπνου
καὶ μεσίτριαν ποιοῦ
  τὴν μόνην ἀπείρανδρον
Θεοτόκον ὅπως σε τρόποις
  ζωώσῃ μετανοίας
καὶ τῆς ἀπαθείας
  καθυποδείξῃ τρίβους.

**Κ**οίμισόν μου δὴ τὰς ἐμπαθεῖς
ὀρέξεις, παναγία,
  παθῶν τε τῶν ψυχοφθόρων
τὰ ἰνδάλματα, ἁγνή,
  εἰς τέλος ἐξάλειψον,
Θεομῆτορ, ἵνα δοξάζω
  ἀεὶ καὶ εὐλογῶ σε
τὴν μόνην αἰτίαν
  τῆς πάντων σωτηρίας.

**Ὁ**λοτρόπως πᾶσαν ἡδονὴν
ἐτέλεσα ἀφρόνως
  καὶ πάσας μου τὰς αἰσθήσεις
κατεμόλυνα αἰσχρῶς·
  πρὸς σὲ τὴν ἀμόλυντον
καταφεύγω, Δέσποινα πάντων
  ἁμαρτωλῶν προστάτις,
ῥῦσαι τοῦ πυρός με
  καὶ σκότους αἰωνίου.

**Ρ**αντισμῷ δακρύων μου, ἁγνή,
ἀπόπλυνον τὰ ἕλκη
  καὶ τραύματα τῆς ψυχῆς μου
ἡ τεκοῦσα τὸν Χριστὸν
  τὸν λουτροῖς ἰώμενον
καὶ αἱμόρρους ὅπως ἀκούσω
  φωνῆς τῆς ποθουμένης
σώζου τῇ σῇ πίστει
  πορεύου εἰς εἰρήνην.

Ὠδὴ θ'. Τύπος τῆς ἁγνῆς.

**Ἤ**δη πρὸς τῷ τέλει γέγονα
τῶν χρονικῶν μου, κόρη, φεῦ μοι! [πράξεων
  καὶ βαρούμενος
ταῖς ἁμαρτίαις ἀπέρχομαι
  εἰς ἀπείρους αἰῶνας κολάζεσθαι
ἡ τὸν κριτὴν τεκοῦσα
  τοῦτον ἱλέωσαί μοι, Δέσποινα.

**Ν**όμους τοῦ Θεοῦ ἠθέτησα
καὶ τῆς ἁμαρτίας νόμῳ αὐτὸν ἐδούλωσα
  νόμῳ τοῦ νοὸς
οὐχ ὑποκύψας ὁ ἄθλιος
  ἡ τοὺς νόμους λαθοῦσα τῆς φύσεως
ἐν τῷ σεπτῷ σου τόκῳ
  νόμους σαρκός μου καθυπόταξον.

**Ἆ**ρον τὸ βαρὺ φορτίον μου
τῶν ἐγκλημάτων, Θεοτόκε πανάμωμε,
  καὶ τὸν ἐλαφρόν,
ἁγνή, ζυγὸν καταξίωσον
  τοῦ υἱοῦ καὶ Θεοῦ σου βαστάζειν με
καὶ τρίβον διοδεύειν
  τὴν πρὸς τὴν ἄνω λῆξιν ἄγουσαν.

**Ἵ**να τὸν βυθὸν τὸν ἄπειρον
τῶν οἰκτιρμῶν σου ἐνδείξῃς τῆς σῆς [χρηστότητος
  καὶ τὴν εὐσπλαγχνίαν
τοῦ υἱοῦ σου, πανύμνητε,
  ὑπὲρ πάντας κἀμὲ ἁμαρτήσαντα
συγχώρησίν μοι δίδου
  καὶ παραδείσου τὴν κατοίκησιν.



# 28
# ΚΑΝΩΝ ΕΤΕΡΟΣ[1]

οὗ ἡ ἀκροστιχίς

« ***Πρώτη δέησις τῇ πανάγνῳ Παρθένῳ Φωτίου.*** »

## ΠΟΙΗΜΑ ΦΩΤΙΟΥ
## ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

***Ἦχος α'. Ὠδὴ α'. Σοῦ ἡ τροπαιοῦχος δεξιά.***

**Π**ύλη τοῦ φωτὸς τοῦ νοητοῦ
τῆς μετανοίας μοι πύλας διάνοιξον
  καὶ τὸν νοῦν μου φώτισον
τὸ ζοφερὸν σκότος ἀποδιώκουσα
  τὸ τῆς ἀμαρτίας
καὶ τῶν παθῶν, παναμώμητε.

**Ρ**ῦσαι τὴν ψυχήν μου, ἀγαθή,
τῆς δυναστείας τοῦ δολίου δράκοντος
  τοῦ τοῖς δελεάσμασι
τῶν ἡδονῶν ταύτην συγκαταφέροντος
  πονηρᾷ ἀπάτῃ
τῆς ἀπωλείας πρὸς βάραθρα.

**Ὡ**ς τῶν ἀγαθῶν τῶν ὑπὲρ νοῦν
ἀναδειχθεῖσα τοῖς ἀνθρώποις πρόξενος,
  Δέσποινα πανάχραντε,
οὕτω κἀμοὶ τῆς σωτηρίας πρόξενος
  τῆς αἰωνιζούσης
καὶ εὐφροσύνης γενήθητι.

**Τ**ὸν πάντα βουλήματι αὐτοῦ
δημιουργήσαντα κράτει θεότητος
  Λόγον τὸν ἀΐδιον,
ἁγνή, ἐν μήτρᾳ σου ἐχώρησας
  ἐπ' εὐεργεσίᾳ
τῶν γηγενῶν σωματούμενον.

Ὠδὴ γ'. Ὁ μόνος εἰδώς.

**Ἡ** σκέπη καὶ λύτρωσις ἡμῶν
τὸ τεῖχος καὶ κραταίωμα
  τῶν εὐφημούντων σε, πολυΰμνητε,
ἀπὸ παντοίων ῥῦσαί με θλίψεων
  καὶ τῶν πειρασμῶν
τῶν τοῦ βίου πάντοτε
  περιέπουσα ὅπως δοξάζω σε.

**Δ**έσποινα τοῦ κόσμου ἀγαθή,
τοῦ μόνου φιλοικτίρμονος
  τοῦ εὐσπλαγχνίας ἔχοντος πέλαγος
τοῦ σαρκωθέντος ἐκ τῶν πανάγνων σου
  αἱμάτων δεήθητι
τοῦ κατοικτειρῆσαί με
  τοῖς ἀμέτροις κακοῖς συνεχόμενον.

**Ἔ**χουσα συμπάθειαν πολλὴν
καὶ σπλάγχνα φιλοικτίρμονα
  καὶ ὑπὲρ ἔννοιαν ἀγαθότητα
ἐπ' ἐμὲ ταῦτα δεῖξον, πανάχραντε,
  τὸν εἰς σὲ προστρέχοντα
καὶ τῶν παραπτώσεων
  τῶν ἀπείρων τὴν ἄφεσιν δίδου μοι.

**Ἡ** μήτρα σου ὤφθη ἀληθῶς,
Μαρία ἀειπάρθενε,
  τοῦ οὐρανοῦ πλατυτέρα χωρήσασα
τὸν βασιλέα καὶ ποιητὴν τοῦ παντὸς
  τὸν πάσῃ ἀχώρητον
τῇ κτίσει ὑπάρχοντα
  τῇ δυνάμει αὐτοῦ τῆς θεότητος.

1) Εὕρηται καὶ ἐν τῷ Θεοτοκαρίῳ Νικοδήμου σ. 13 (ἐκδ. Ἀθηνῶν 1906).

Ὠδὴ δ'. Ὄρος σε τῇ χάριτι.

**Σ**ῶσόν με, Παρθένε ἀπειρόγαμε, σῶσόν με
μή με παρίδῃς, ἀγαθή,
καταπονούμενον δεινοῖς
ἡδοναῖς καὶ πάθεσι
καὶ λογισμοῖς βεβήλοις καὶ πονηρίας μεστοῖς
καὶ τῶν δαιμόνων παρενοχλήσεσιν.

**Ἱ**κέτης προσέρχομαι τῇ σκέπῃ σου, ἄχραντε,
καὶ ἐκβοῶ ἀπὸ θερμῆς
κατωδύνου μου ψυχῆς·
ἐλέησον ῥῦσαί με
ἐκ τοῦ πυρὸς τῆς αἰωνίου κολάσεως
ταῖς πρὸς Θεὸν σαῖς ἀχράντοις δεήσεσι.

**Σ**αρκός μου τὴν ἔκλυσιν, ψυχῆς μου τὴν πάρεσιν
τῇ ῥωστικῇ τῆς σῆς ῥοπῆς
ἰσχύϊ, Δέσποινα σεμνή,
ἀνάκτησον πρόσφορον
ταύταις σαφῶς τὴν θεραπείαν παρέχουσα
πρὸς ἐργασίαν τοῦ θείου θελήματος.

**Τ**ὸ μέγα καὶ πάνσεπτον καὶ θεῖον μυστήριον
τῆς ἀποκρύφου τοῦ Θεοῦ
βουλῆς ἐν σοὶ πανυψηλῶς,
ἁγνή, πεφανέρωται
ὅτι αὐτὸς ὁ κατ' οὐσίαν ἀχώρητος
τῇ κτίσει πάσῃ ἐν τῇ γαστρί σου κεχώρηται.

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

**Ἡ** λυχνία
ἡ χρυσῆ ἡ τὸ θεῖον λαμπάδιον
κατέχουσα
τῶν παθῶν μου τὸν γνόφον σκεδάσασα
τὸν τοῦ θείου ἔρωτος
πυρσὸν ἐν τῇ ἐμῇ καρδίᾳ,
Θεογεννῆτορ, διάναψον.

**Π**ολυπλόκους
μηχανὰς καὶ ἐνέδρας τοῦ δράκοντος
τοῦ δολίου,
Θεοτόκε Παρθένε, διάλυσον
ἃς κατὰ τοῦ δούλου σου
ἐπινοεῖται πανουργίᾳ
τοῦ συλλαβεῖν με πειρώμενος.

**Ἀ**πορήσας
ἐξ ἁπάσης βοηθείας, ἄχραντε,
ἀνθρωπίνης
πρὸς τὴν σὴν ὀξυτάτην ἀντίληψιν
εὐλαβῶς προσέδραμον
σύ με τῆς σῆς καὶ προμηθείας
καὶ εὐμενείας ἀξίωσον.

**Ν**ομικοί σε
καὶ σκιώδεις προέφαινον ἔσεσθαι
τύποι πάλαι
Θεοτόκον ἁγνὴν παναμώμητον
ἡμεῖς δὲ κατέχοντες
ἔργῳ νῦν τούτων τὰς ἐκβάσεις
ἀκαταπαύστως ὑμνοῦμέν σε.

Ὠδὴ ς'. Ἐκύκλωσεν ἡμᾶς.

**Ἀ**νάκτορον Θεοῦ παναγιώτατον
πρεσβείαις σου καθάρισον
τὴν ψυχήν μου καὶ τὸ σῶμα καὶ τὸν νοῦν
ἐκ βεβήλων ἔργων καὶ αἰσχρῶν ἐννοιῶν
καὶ τοῦ ἐκ σοῦ
ἀποτεχθέντος ναόν με ποίησον.

**Γ**αλήνῃ νοητῇ σύ με προσόρμισον
τὴν ζάλην καὶ τὸν τάραχον
τῶν παθῶν μου κατευνάζουσα, σεμνή,
καὶ τὴν τρικυμίαν ἐκδιώκουσα
τῶν ἡδονῶν
ἡ τὴν γαλήνην τὴν θείαν τέξασα.

**Ν**αμάτων μυστικῶν τῶν σῶν δεήσεων
τὴν τῶν πταισμάτων καύσωνι
ἐκτακεῖσάν μου καρδίαν, ἀγαθή,
ἔμπλησον καὶ δεῖξον καρποφόρον αὐτὴν
θεοφιλῶν
καὶ θεοπρεπῶν λόγων καὶ πράξεων.

**Ὡ**ς οὖσα καθαρὰ καὶ πανακήρατος
τὸν Λόγον τὸν ἀκήρατον
ὑπεδέξω ἐν νηδύϊ σου, σεμνή,
καὶ τοῦτον ἐγέννησας εἰς λύτρωσιν
τῶν γηγενῶν
τῶν προπατόρων τῆς ἀποφάσεως.



# ΚΑΘΙΣΜΑ

*Ἦχος α'. Τὸν τάφον σου σωτήρ.*

**Ἀ**σπόρως τὸν Χριστὸν
ἀπεκύησας μόνη·
τὸ θαῦμα ὑπὲρ νοῦν
πῶς παρθένος καὶ μήτηρ·
διὸ Θεοτόκον σε
προσκυνοῦντες δοξάζομεν·
σὺ γὰρ ἔτεκες
τὸν βασιλέα τῆς δόξης
ὃν δυσώπησον
τοῦ εἰρηνεῦσαι τὸν κόσμον
καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ ζ'. Σὲ νοητὴν Θεοτόκε.

**Π**ίστει πολλῇ
καὶ πόθῳ προσέρχομαι
τῇ θείᾳ σκέπῃ σου, σεμνή,
σὺ γενοῦ μοι καταφυγὴ
σύ μου ἱλαστήριον
σύ με ἀπολύτρωσαι
ἐκ τῶν κινδύνων καὶ θλίψεων
καὶ πειρασμῶν, Θεοτόκε,
καὶ νόσων καὶ κακώσεων.

**Ἀ**νατολὴ
τοῦ ἡλίου, Δέσποινα,
τοῦ νοητοῦ ὡς συμπαθὴς
σὺ τῇ αἴγλῃ τῇ παμφαεῖ
τῆς θείας πρεσβείας σου
φαῦσον μετανοίας μοι
ἀνατολὴν ἐκδιώκουσα
τὴν ζοφερὰν τῶν παθῶν μου
ὁμίχλην καὶ πταισμάτων μου.

**Ρ**ῦσαι ἡμᾶς
τοὺς ἀνευφημοῦντάς σε
τῆς τυραννίδος τοῦ ἐχθροῦ
τοῦ ζητοῦντος μανιωδῶς
τὴν ἡμῶν ἀπώλειαν
καὶ τούτου ματαίωσον
τὴν πονηρίαν, πανάμωμε,
καὶ μηχανὴν αὐτοῦ πᾶσαν
δυνάμει σου ἀμβλύνουσα.

**Θ**ρόνον Θεοῦ
καὶ παστάδα ἔμψυχον,
Θεογεννῆτορ, οἱ πιστοὶ
ἐπιγνόντες σε ἀληθῶς
πίστει ἐκβοῶμέν σοι·
σῶζε τοὺς οἰκέτας σου
ἀπὸ πασῶν περιστάσεων
ὅπως ἀεὶ εὐλογῶμεν,
ἁγνή, καὶ προσκυνοῦμέν σε.

Ὠδὴ η'. Ἐν καμίνῳ παῖδες.

**Ἐ**πὶ πέτραν στῆσον ἀσφαλῆ
τῆς τοῦ Θεοῦ ἀγάπης
τὰς βάσεις τὰς τῆς ψυχῆς μου
καὶ παθῶν ταῖς προσβολαῖς
φύλαξον ἀκλόνητον,
Θεοτόκε, ἵνα ἑδραίᾳ
καρδίᾳ ἀναμέλπω
καὶ δοξολογῶ σε
πιστῶς εἰς τοὺς αἰῶνας.

**Ν**εύρωσόν μου, Δέσποινα ἁγνή,
τὸν τόνον τῆς καρδίας
ἰσχύν με κατὰ παθῶν
περιζωννύουσα τὴν σὴν
καὶ τηροῦσα ἄτρωτον
ἐκ τῆς τούτων ἐπικρατείας
καὶ σφοδρᾶς τυραννίδος
ἵνα σε δοξάζω
ἀεὶ ἐν εὐθυμίᾳ.

**Ὦ** Παρθένε Δέσποινα σεμνή,
γραφικῶς ἡ ψυχή μου
ὀπίσω σου ἐκολλήθη·
διὸ ἔκτεινον τὴν σὴν
δεξιὰν τὴν ἄχραντον
καὶ ἐν πᾶσιν ἀντιλαβοῦ μου
σκέπουσα καὶ φρουροῦσα
καὶ τῆς αἰωνίου
χαρᾶς καταξιοῦσα.

**Φ**ωτοφόρον σκήνωμα Θεοῦ
ἐδείχθης, Θεοτόκε,
καὶ ἔμψυχον καὶ ἁγνότατον
παλάτιον, σεμνή,
καὶ θρόνος πυρίμορφος
τῆς ἀστέκτου θείας οὐσίας·
διό σε ἀνυμνοῦμεν
καὶ δοξολογοῦμεν
πιστοὶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τύπον τῆς ἁγνῆς.

Ὤφθης αἴγλη καθαρότητος
πᾶσαν τὴν κτίσιν ἐπιχαίρουσα, ἁγνή,
ἀλλὰ δέξαι με
τὸν μολυσμοῖς καταχράναντα
ἡδονῶν ὑπὲρ ἅπαντα ἄνθρωπον
ψυχήν τε καὶ τὸ σῶμα
καὶ ταῖς πρεσβείαις ἀποκάθαρον.

Τρίβοις θείαις ἐκβιβάζουσα
τῆς μετανοίας τὴν ψυχήν μου ἐπίστρεψον
ἐξ ὁδοῦ, ἁγνή,
τῆς ἀπαγούσης εἰς θάνατον
καὶ πρὸς ὄλεθρον ὄντως αἰώνιον,
Μαρία Θεοτόκε,
ἁμαρτωλῶν τὸ ἱλαστήριον.

Ἵνα τί με ἐγκατέλιπες
φῶς τῶν ἐμῶν ὀμμάτων καὶ ἀγαλλίαμα
τῆς καρδίας μου;
καὶ πειρασμοί με ἐκύκλωσαν
ἀλλ' οἰκτείρησον, κόρη, καὶ σῶσόν με
ἐκ πάντων τῶν λυπούντων
τῶν θλιβομένων ἡ παράκλησις.

Ὄρος τοῦ Θεοῦ πανάγιον
ἡ δεξιὰ Κυρίου προκατειργάσατο
ἀποκρίας με
περιπλανώμενον ὄρεσι
καὶ κρημνοῖς καὶ βαράθροις ἀθλούμενον
ζητήσασα πρὸς ὄρος
τῆς ἀρετῆς με χειραγώγησον.

Ὕμνον εὐλαβῶς προσφέρομεν
τῷ σῷ ἀσπόρῳ τόκῳ διὰ σοῦ, Δέσποινα
πανυπέραγνε,
καὶ σὲ ἀπαύστως δοξάζομεν
δυσωποῦντες ῥυσθῆναι κολάσεως
τοὺς πόθῳ σε τιμῶντας
καὶ ὀρθοδόξῳ πίστει σέβοντας.

---

## 29
## ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1]

### ΠΟΙΗΜΑ ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

***Ἦχος α'. Ὠδὴ α'. Ὠδὴν ἐπινίκιον.***

Ὠδὴν παρακλήσεως
τῇ Θεοτόκῳ
πιστοὶ προσενέγκωμεν
ἱλασμὸν αἰτούμενοι
τῶν ἐγκλημάτων ἡμῶν
καὶ τοῦ ἐχθροῦ ἀποφυγὴν
καὶ σωτηρίαν ψυχῶν.

Ἐλέους τὴν ἄβυσσον
ἡ τετοκυῖα
ἐλέησον οἴκτειρον
τὴν ἐμὴν ἀσθένειαν,
Θεοχαρίτωτε,
καὶ χειραγώγησον πρὸς φῶς
τῆς κατανύξεως.

Ὑψώθην ὁ ἄθλιος
τῇ ἀπονοίᾳ
ἀρθεὶς τῷ φρονήματι
καὶ εἰς βόθρον πέπτωκα
τῶν παραπτώσεων
τῇ μετανοίᾳ με, ἁγνή,
πάλιν ἀνόρθωσον.

Μυρίοις ἐγκλήμασιν
ἁμαρτημάτων
βαρούμενος, ἄχραντε,
σοὶ προσπίπτω δέξαι με
μετανοοῦντα θερμῶς
καὶ ἵλεών μοι τὸν κριτὴν
ποίησον, Δέσποινα.

1) Εὕρηται καὶ ἐν τῷ Θεοτοκαρίῳ Νικοδήμου σ. 15 (ἔκδ. Ἀθηνῶν τοῦ 1906).



Ὠδὴ γ'. Στερεωθήτω ἡ καρδία μου.

Ὁ πλημμελήσας ὑπὲρ ἅπαντας
τοὺς ἀνθρώπους μόνος ἐγώ εἰμι
καὶ διὰ τοῦτό σοι βοῶ,
παναμώμητε Δέσποινα,
βοηθῆσαι τῷ οἰκέτῃ σου
λαβεῖν τὴν συγχώρησιν.

Βεβαρημένον τοῖς παθήμασι
καὶ ταῖς τρικυμίαις ποντούμενον
ὁ δολιόφρων, ἀγαθή,
ἐπιχειρεῖ ἁρπάσαι με·
ἀλλὰ ῥῦσαι καὶ ἀνάγαγε
πρὸς φῶς μετανοίας με.

Ἐγὼ ὑπάρχω, κόρη πάναγνε,
δένδρον τὸ ἄκαρπον φεῦ! καὶ ἄκαρπον
ὅπερ ποίησαί με καρπὸν
καλὸν θεῖον παράσχου μοι
καὶ ἐμπλῆσαί με τῆς χάριτος
Χριστοῦ καὶ γλυκύτητος.

Δεῖξόν μοι τρίβον τὴν σωτήριον
δι' ἧς βασιλείαν οὐράνιον
κληρονομήσω, ἀγαθή,
ὁ ἀνάξιος δοῦλός σου
καὶ ἀκούω τὴν τρισάγιον
ᾠδὴν ἀγαλλόμενος.

Ὠδὴ γ'. Εἰσακήκοα Κύριε τὴν ἀκοήν σου.

Νοητοὶ ὥσπερ γίγαντες
τρεῖς τῶν παθῶν με κατατροποῦνται
ἀηδία λήθη ἄγνοια·
ἀλλὰ σύ, Θεόνυμφε,
ἡ βοηθός μου τούτους κατάβαλε.

Γαυριῶντι φρονήματι
καὶ ἐπηρμένῃ τῇ διανοίᾳ
ἐκτετέλεκα τὸν βίον μου·
ἀλλὰ σὺ ταπείνωσιν,
Θεοκυῆτορ, δίδου καὶ σῶσόν με.

Ῥυπωθεὶς κατεμόλυνα
ταῖς ἀσωτείαις τὴν ψυχήν μου
τῶν δαιμόνων καταγώγιον
γεγονὼς ὁ δείλαιος,
πάναγνε Μαρία, καθάρισον.

Παναγία θεόνυμφε,
παραμυθία τῶν θλιβομένων
τῶν βροτῶν τὸ καταφύγιον
τῶν πιστῶν τὸ στήριγμα
σῶσόν με τὸν δοῦλόν σου δέομαι.

Ὠδὴ ε'. Τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

Τραχεῖαν δι' ἀσκήσεως
ὁδὸν ἀρετῆς
βαίνειν με, Παρθένε,
ῥῶσιν ἐνδίδωσον
ὅπως τὰ πάθη κατευνάσαιμι
καὶ ἀπαθείας ἴδω
τὸν γαλήνιον λιμένα.

Σὲ μόνην καταφύγιον
πλουτοῦμεν, ἁγνή,
πάντες οἱ Θεὸν
κακῶς παροργίσαντες
καὶ ἁμαρτίαις βαρυνόμενοι
ὅπως σαῖς πρεσβείαις
αὐτῷ ἱλεωθῶμεν.

Νηστείαις καὶ δεήσεσι
ποτὲ Νινευὶ
ἵλεων αὐτῇ
τὸν μόνον φιλάνθρωπον
τῇ μετανοίᾳ ἀπειργάσατο·
ἐγὼ δέ, Θεομῆτορ,
πρὸς σὲ νῦν καταφεύγω.

Φθείρας τὴν θείαν στολὴν
τοῦ βαπτίσματος
ἄλλος οὐκ ἔστιν
ὡς ἐγὼ ὁ παμβέβηλος·
διὸ βοῶ σοι μὴ παρίδῃς με
ἀλλὰ σῶσον, κόρη,
τὸν σὸν ἀχρεῖον δοῦλον.

Ὠδὴ ς'. Τὸν προφήτην Ἰωνᾶν.

Τὰς αἰτίας τῶν παθῶν
οὐκ ἐκκόπτω παντελῶς
καὶ ἀπάθειαν ζητῶ
ἐν εὐχαῖς διηνεκῶς,
πανύμνητε,
τὴν πώρωσίν μου
λῦσον καὶ σῶσόν με.

*Υ*περέβην ἀληθῶς
Σοδομίτας αἰσχρουργῶν
καὶ πτοοῦμαι μὴ τὸ πῦρ
δαπανήσῃ με ἐκεῖ,
Θεόνυμφε,
τῆς τούτου πείρας
ῥῦσαι καὶ σῶσόν με.

*Σ*τένω τρέμω καὶ βοῶ
μὴ παρίδῃς με, ἁγνή,
τὸν εἰς πάθη ὀλικῶς
ἐμπεσόντα χαλεπά,
ἀλλ' οἴκτειρον
καὶ πρὸς μετάνοιαν
χειραγώγησον.

*Ζ*ῶντα φρούρει με ἀεὶ
λυτρουμένη πειρασμῶν
ἐχωρισθέντα δὲ τῆς γῆς
πρὸς αἰώνιον ζωὴν
ὁδήγησον,
Παρθενομῆτορ,
τῇ εὐσπλαγχνίᾳ σου.

## ΚΑΘΙΣΜΑ

***Ἦχος α΄. Χορὸς ἀγγελικός.***

*Π*αράσχου μοι, ἁγνή,
κατανύξεως ῥεῖθρα
δακρύων προχοὴν
δαψιλῆ καὶ πλουσίαν
ἡ βλύσασα ἄβυσσον
οἰκτιρμῶν καὶ χρηστότητος
ἀνατέλλουσαν
τὴν τῶν κακῶν μου πλημμυρῶν
ἀπορρύπτουσαν
τὴν φοινικὴν τῶν παθῶν μου
ῥοὴν καὶ ἀνάβλυσιν.

Ὠδὴ ζ΄. Ἡ κάμινος σωτῆρ ἐδροσίζετο.

*Ν*εφέλην σε γινώσκω, Θεόνυμφε,
τὸν ἥλιον τῆς δόξης κυήσασαν
φωταγωγοῦντα πάντα
τὰ νυκτώδη μου ἐγκλήματα.

*Ξ*ηράνασα φυτά, Θεονύμφευτε,
τῶν λογισμῶν καὶ ἀτόπων μου πράξεων
ἀεί με ἐκβλαστάνειν
ἀναιρέτως καρπὸν ποίησον.

*Γ*υμνός εἰμι ἀρετῶν ἐνδύματος
καὶ βάλλομαι τοῦ νυμφῶνος πόρρωθεν
ἡ τὸν Χριστὸν τεκοῦσα
ἀφθαρσίᾳ με ἀμφίασον.

*Μ*αστίζειν συνεχῶς με οὐ παύεται,
Παρθένε, ἡ συνείδησις ἔνδοθεν·
ἀλλὰ ἀπάλλαξόν με
τῇ ταχείᾳ ἀντιλήψει σου.

Ὠδὴ η΄. Ὃν φρίττουσιν ἄγγελοι.

*Π*ῶς κάθῃ ἀμέριμνος,
ταλαίπωρε ψυχή;
πῶς λήθῃ παρέδωκας
τὰς πράξεις τὰς αἰσχράς;
ἀνάπτυξον ταύτας
τῇ μητρὶ τοῦ Θεοῦ
ἵνα μεσιτεύσῃ
τῷ ἐξ αὐτῆς τεχθέντι.

*Π*αρόμοιος γέγονα
τῷ πάλαι Ἰσραὴλ
καταστρέχων ἐμαυτοῦ
ὡς ἄλλου Ἰσαάκ·
διὰ τῆς αἰκίας
ἐκδιώκομαι
τῆς Ἀβραμιαίας
τῆς ἄνω κληρουχίας.

*Ξ*ενώσας τῆς ἄνωθεν
πατρίδος ἐμαυτὸν
εἰς ξένους κατήντησα
πολίτας καὶ λῃστὰς
αἰτούμενος ξένην
ἐδωδὴν συφορβῶν·
σὺ οὖν, Θεοτόκε,
ὡς τὸν ἄσωτον σῶσον.

*Ἀ*γνείας διέρρηξα
σφραγῖδας ἀναιδῶς
ἁγνείας ἡ τέξασα
Χριστὸν τὸν φυτουργὸν
ἁγνῶς βιοτεύειν
τὸν ἐπίλοιπον
χρόνον τῆς ζωῆς μου
ποίησον, Θεομῆτορ.



Ὠδὴ θ΄. Τὴν φωτοφόρον νεφέλην.

*Θ*εῖον ἰδεῖν ἠξιώθη
ὁ Ἀβραὰμ ὡς ἦν θέμις
φιλοξενίαν ἠσκηκώς·
ἐγὼ δὲ φειδωλίαν
μισοξενίαν ἔσχηκὼς
εἰκότως ἀπέρριμμαι
εἰς γέενναν·
ἀλλὰ σύ, Θεοτόκε,
ἐξελοῦ με
τῆς κολάσεως ἐκεῖ.

*Ρ*είθροις δακρύων ἡ πόρνη
Χριστοῦ τὰ ἄχραντα ἴχνη
ἀμείβομένη γοερῶς
τῶν πταισμάτων τὴν λύσιν
εὕρατο τάχιον, ἁγνή,
ἐγὼ δὲ προσπίπτω σοι
ἐξ ὅλης μου
τῆς καρδίας στενάζω
καὶ αἰτοῦμαι
λυτρωθῆναι τῶν παθῶν.

*Ν*οῦν καὶ ψυχὴν καὶ τὸ σῶμα
καὶ τὰς λοιπάς μου αἰσθήσεις
σοὶ ἀνατίθημι, ἁγνή,
διαφύλαξον σῶα
ἐκ τῶν βελῶν τοῦ πονηροῦ
καὶ δός μοι κατάνυξιν
τοῦ κλαύσασθαι
τὰ συμβάντα μοι πάθη
ῥαθυμοῦντι
καὶ βιοῦντι ἀμελῶς.

*Ἐ*ξ ἀμελείας εἰς λήθην
εἰς ἀφοβίαν ἐκ λήθης
ἐξ ἀφοβίας εἰς βυθὸν
ἐμπεσὼν ἁμαρτίας
σοί, Θεομῆτορ, ἐκβοῶ
τὴν χεῖρά μοι ἔκτεινον
καὶ σῶσόν με
ὥσπερ ἔσωσε Πέτρον
ὁ υἱός σου
ἐκ θαλάσσης τῆς πικρᾶς.

## 30

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ ΙΑΜΒΙΚΟΣ [1]

οὗ ἡ ἀκροστιχὶς

« ***Λιτὴν δέχου, πάναγνε, τῶν σῶν προσφύγων.*** »

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

***Ἦχος α΄. Ὠδὴ α΄. Ἔσωσε λαόν.***

*Λ*όγοις σε, σεμνή, ὑπὲρ λόγον μόνην
Θεὸν τεκοῦσαν τὸν πρὸ αἰώνων Λόγον
οὐδεὶς ἀνυμνεῖν ἀγγέλων ἢ γηγενῶν
σθένει· δέχου δὲ δῶρον ἡμῶν τὸν πόθον
λύουσα παθῶν συμφορῶν καὶ θλί-
[ψεων.

*Ἴ*δε, κραταιὰ τῶν ἀπορουμένων σκέπη,
ἡμῶν τὸν ὄγκον τῆς ἀθυμίας ὅτι
τοῖς ἐξ ἀναγκῶν οὐ πάρεστι θλιβεροῖς
θυμηδίας τις ἐλπὶς οὐ σωτηρίας
οἴκτειρον ἡμᾶς· λύτρον γὰρ εἶ θλί-
[ψεων.

*Τ*ρέμουσι τὸν σὸν τῆς βρεφουργίας
[τρόπον
χοροὶ ἀΰλων δημιουργοὶ τῶν ἄνω·
τὸν φύντα γὰρ πρὶν ἀχρόνως ἐκ τοῦ
[πατρὸς

1) Ἐδόθη καὶ ἐν τῷ Θεοτοκαρίῳ Νικοδήμου σ. 123 (ἐκδ. Ἀθηνῶν 1906).

μόνη φέρεις ὡς υἱὸν ᾧ καὶ συντόνως
  πρέσβευε, σεμνή, λύτρον γὰρ εἰ θλίψεων.

*Ἠ*στραψεν ἡ σὴ παμφαεστάτη χάρις
καὶ πᾶν ζοφῶδες τῆς ἁμαρτίας νέφος
  ἀφεῖλεν, ἁγνή, καὶ πόνων ἀπαλλαγὴν
ξένην ἔδειξας πάλαι καὶ νῦν φωτί σου
  ἅπασαν ἡμῶν λῦσον ἀχλὺν θλίψεων.

ᾨδὴ γ΄. Νεῦσον πρὸς ὕμνους.

*Ν*ῦν τῇ δεήσει μητρικῇ σου, παντάναξ,
ἐχθρῶν ὁρατῶν καὶ νοητῶν προσβολῶν
  φύλαττε πάντας· ἔστι γὰρ αὕτη μόνη
τεῖχός τε καὶ καύχημα καὶ θεία σκέπη
  ἣν ὡς ἀληθῶς προστάτιν δοξάζομεν.

*Δ*έχου τὸν ὕμνον εὐμενῶς, ὦ Παρθένε,
καὶ παῦσον ἐχθρῶν τὴν ἀπειλὴν δεομένων
  ἣν τοῖς σὲ προσκυνοῦσι βλασφήμοις λόγοις
θρασυνόμενοι προσφέρουσιν ἀθέως
  λέπτυνον αὐτῶν ὡς κόνιν τὸ φρύαγμα.

*Ἔ*ργῳ προφῆται τὸν ἀκήρατον Λόγον
ἐκ σοῦ θεαυγῶς μητρὸς ἀπειροζύγου
  πάλαι προκατήγγειλαν, ἁγνὴ Παρθένε·
σὺ γὰρ μεσιτεύσασα τῷ θείῳ τόκῳ
  δέδωκας ἡμῖν πταισμάτων λυτήριον.

*Χ*ριστοῦ δοχεῖον καὶ πυρίφλεκτον βάτον
ναόν τε σεπτὸν καὶ νοητὴν λυχνίαν
  ῥάβδον καὶ τράπεζαν ἐξ ἧς ὁ τρέφων
ἅπαντας ἐβλάστησεν, ὦ Θεοτόκε,
  σὲ τῶν θεοπτῶν ἐσκόπει ὁμήγυρις.

ᾨδὴ δ΄. Γένους βροτείου.

*Ο*ἷς ἔστι γλῶσσα ῥητορεύειν ἐνθέως
τοῖς σοῖς ἑαυτοὺς τρανοποιοῦντες κρότοις
  ὅλην σε δεικνύουσι Χριστοῦ πλησίον
ἄμωμον ὡραίαν τε σεμνὴν παρθένον
  πάντων ἱλασμὸν πρὸς Θεὸν σωτήριον.

*Ὕ*πνον ἀφεῖλες τῆς ἐμῆς ῥαθυμίας
ἄγρυπνος οὖσα πρὸς τὸ σώζειν, Παρθένε,
  ἐχθροῦ γὰρ ὄντως ἡ ζωοργὸς αἰτία
κόρους ἔλυσε καρδίας μου παγκάκως
  ἀνέκτερον φῶς σαῖς λιταῖς μοι προξένει.

*Π*ρόστηθι πάντων τῶν τελούντων ἐν πόνοις
σκέπουσα πάσης προσβολῆς ἐναντίας·
  ἰδοὺ γὰρ ὥσπερ ἐν πολυκλύστῳ ζάλῃ
συνεσχέθημεν ἐκ βρόχων ἁμαρτίας
  γενοῦ βοηθὸς ἀσφαλὴς σοῖς οἰκέταις.

*Ἄ*νανδρε μῆτερ πῶς ἀπάτορα κύεις;
ἄμομε νύμφη πῶς λοχεύεις ἐν τόκῳ;
  Θεὸς κενωθεὶς εἰς βροτείαν φύσιν
σὰρξ νῦν πέφηνεν ἐξ ἐμοῦ τῆς Παρθένου
  ἵν᾽ εἰς ἑαυτὸν τοὺς βροτοὺς ἀνελκύσῃ.

ᾨδὴ ε΄. Ἐκ νυκτὸς ἔργων.

*Ν*έον τὸν ὄντα καὶ πρὸ πάντων ἀχρόνως
ἤνεγκας, ἁγνή, ὡς βρέφος σαῖς ἀγκάλαις
  ὃν ἐκδυσώπει ταῖς ἀκοιμήτοις ὅλαις
παρρησίαις σου μητρόθεν κινουμένη
  τυχεῖν ἡμῖν προξενεῖν σωτηρίαν.

*Ἁ*γνή, τὸν αἶνον ὥσπερ αἴτησιν δέχου
θραύουσα τόξα καὶ βολὰς τῶν τῆς Ἄγαρ·
  ἐν σοὶ γὰρ ὄντως τὴν ἑαυτῶν ἐλπίδα
ὡς εἰς κρατίστην καὶ μόνην σωτηρίαν
  τεθείκαμεν νῦν σῶζε πάντας, Παρθένε.

*Γ*νωσθέν μοι ὤφθη τὸ πρὶν ἠγνοημένον
ἐκ νηδύος σου φρικτὸν ἔργον, Παρθένε,
  νῦν γὰρ προῆλθε πάντας ὁ πλάσας Λόγος
καὶ τὴν πεσοῦσαν ἐξανέπλυσε φύσιν·
  αὖθις δ᾽ ἀνῆλθεν εἰς πόλον σελασφόρον.

*Ν*ενευκότας νῦν εἰς ἀπόγνωσιν μόνη
ἠλευθέρωσας ἐκ χάους ψυχοφθόρου·



  σὺ γὰρ τὸ πάντων ὕψος, ἁγνὴ Μαρία,
πέφυκας ὄντως καὶ προπύργιος σκέπη
  δι᾽ ἧς ἀπηλλάγημεν ἐθνικῆς βλάβης.

ᾨδὴ στ΄. Ναίων Ἰωνᾶς.

*Ἐ*ν παντὶ πιστοὶ τῆς ἁμαρτίας σάλῳ
κεκτημένοι σε πυρσὸν ὡς φασεφόρον
  κλύδωνα πάντα καὶ ζάλην τρικυμίας
ἔργῳ περῶσι καὶ πρὸς ὅρμον εὐδίας
  ψυχὰς ἀπευθύνουσιν, εὐλογημένη.

*Τ*ρέφουσα μαζοῖς οὐρανοῦ τὸν Δεσπότην
τρυφὴν γλυκαίνεις τὴν πάλαι βροτοκτόνον·
  ἐμοῦ πικρὰν δὲ τῆς ἁμαρτίας πόσιν
τῇ σῇ γλυκείᾳ πρὸς βροτοὺς εὐσπλαγχνίᾳ,
  πάναγνε, δεῖξον ἡδονὴν σωτηρίας.

*Ὤ*φθης ἀληθὴς ἀσφαλῶς μοι προστάτις
δεινῶν τε λύτρον καὶ παράκλησις πόνων
  καὶ νῦν γενοῦ μοι ψυχικῶν συντριμμάτων
δεσμὸς χορηγῶν τῶν παθῶν μου τὴν λύσιν,
  Δέσποινα μῆτερ τοῦ Θεοῦ Λόγου μόνη.

*Ν*έφος λογισμῶν ἐκταράττει με ζάλης
βυθῷ καθέλκον καὶ κλύδωνι πταισμάτων·
  ἀλλ᾽ ὦ γαλήνη καὶ λιμὴν εὐσπλαγχνίας
ἀχλὺν πονηρὰν τῶν ἐμῶν ἐγκλημάτων
  διασκέδασον ὡς ἀσύγκριτον φάος.

ᾨδὴ ζ΄. Τῷ παντάνακτος.

*Σ*ὺ τοῦ παλαιοῦ τῆς προμήτορος χρέους
Χριστὸν τεκοῦσα λύτρον ὤφθης, Παρθένε,
  καὶ νῦν χρεῶν μοι τῆς ἁμαρτίας δίδου,
ἁγνή, δυσωπῶ πρὸς Θεὸν τὴν ἐγγύην·
  σὺ γὰρ μεσίτις εὐδιάλλακτος μόνη.

*Ὡ*ς τὸν πλάσαντα συλλαβοῦσα νηδύϊ
ἔδειξας, ὦ Δέσποινα, τῆς πρὶν εἰκόνος
  ὄντως τὸ κάλλος αὖθις ὡραϊσμένον
ὡς φῶς ἀληθῶς γνώσεως, σεβασμία,
  λάμψασα τοῖς ζητοῦσι τὴν σωτηρίαν.

*Ν*ύμφη πάναγνος οὐ προῆλθεν ἐκ τόκου
πατρὸς σπορᾶς ἄνωθεν οὐδαμῶς πάλαι
  βρέφος τὰ κλεῖθρα λύσαν ὤφθη παρθένου·
ὦ πῶς ἁγνὴ σὺ τῶν δὲ νῦν, Θεοδόχε
  Δέσποινα, πειραθεῖσα σώζῃ παρθένος!

*Π*ρὸς τὸν σὸν υἱὸν μητρικῇ παρρησίᾳ
ἀεὶ κεχρημένη τε καὶ λυτρουμένη
  πάντας βαρέθρων μὴ παρώσῃ, Παρθένε,
τοὺς πάντοθεν νῦν θλίψεσι κυκλουμένους
ὅπως σε προσκυνῶμεν οἱ σεσωσμένοι.

ᾨδὴ η΄. Μήτραν ἀφλέκτως.

*Ρ*εῖθρον φανεῖσα ψυχικῶν μολυσμάτων
πλῦνον μολυσμὸν τῶν ἐμῶν ἐγκλημάτων
  ὃν μοι κακῶς προσῆψεν ὁ φθορεὺς δράκων,
ἄχραντε μῆτερ θαυματουργὲ τῶν ὅλων
  ἡ προξενοῦσα τὴν καθάρσιον χάριν.

*Ὅ*λην πεσοῦσαν ἐξ Ἀδὰμ ἐμὴν φύσιν
ὅλος κενωθεὶς ὁ προάναρχος Λόγος
  θεανδρικῶς ἐκ σοῦ με σώζει, Παρθένε,
ὅν περ δυσώπει μητροκινήτῳ σχέσει
  καὶ νῦν με πάντων δυσχερῶν ἁρπάσαι.

*Σ*οὶ τὰς δεήσεις ἐκ τελείας καρδίας
φέροντες ἡμεῖς ὡς βροτῶν τῇ ἐλπίδι
  τὰς τῶν παθῶν ὠδῖνας ἡμῶν, Παρθένε,
πάσας γυμνοῦμεν τῇ πανολκεῖ σου σκέπῃ
  γενοῦ μεσίτις σωστικὴ σοῖς οἰκέταις.

*Φ*άνηθι φέγγος οἷς ζοφώδης αἰτία
ὤδινεν ἡμῖν ψυχικὴν ἀβλεψίαν·
  σὺ γὰρ τὸ φῶς τεκοῦσα λάμπεις, Παρθένε
ἄχραντε, πᾶσι τοῖς βροτοῖς σωτηρίαν
  δι᾽ ἧς περῶμεν εἰς ἀείφωτον τρίβον.

Ὠδὴ θ'. Στέργειν μὲν ἡμᾶς.

***Υ***μνον μὲν οὐδεὶς ὡς ἐπάξιον φέρει
σοί, μῆτερ ἁγνή, καὶ γὰρ ἰσχὺς οὐ σθένει
πάντων ἄθλον καὶ γένους βροτησίου
σιγὴν δὲ λοιπὸν ἀντὶ τῶν ὕμνων δέχου·
λόγου γὰρ ἐστιν ἡ προαίρεσις πλέον.

***Γ***λῶσσαι πονηρῶν ἐκμανεῖσαι πρὸς δόλον
λόγους καθ' ἡμῶν ἐκχέουσιν ὡς βέλη·
ταύτας ἐρήμους ἀνθράκων ἐπομβρίαις
δεῖξον κρατιστῶς ἐκπεφρουρημένας, Λόγε,
πληρῶν δέησιν μητρικήν σου, παντάναξ.

***Ω*** χριστιανῶν παντελὴς σωτηρία
ἡ τῶν ὑπὲρ νοῦν αἰτία δωρημάτων
τὴν ἀνάγνων μου χειλέων ἱκεσίαν
πεμφθεῖσαν εἰς σὲ καὶ τὴν ἐκ σοῦ προσδέχου
λύσιν, πάναγνε, προξενοῦσα πταισμάτων.

***Ν***ίκην κατ' ἐχθρῶν δυσμενῶν καὶ βαρβάρων
ἔχει σε λαός, παντάνασσα, καὶ κράτος
ὅπως ὁ λάτρις τοῦ τόκου σου, Παρθένε,
καὶ νῦν βοηθὸς ἀρωγοτάτη μόνη
ταύτῃ γένοιο δυσχερῶν λυτρουμένη.

---

# 31

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1]

οὗ ἡ ἀκροστιχίς

« ***Ἀπάρχομαί σοι τῶν ἐμῶν λόγων κόρη Μάρκος.*** »

## ΠΟΙΗΜΑ ΜΑΡΚΟΥ ΕΦΕΣΟΥ ΤΟΥ ΕΥΓΕΝΙΚΟΥ

Κώδ. Καθολικοῦ τῶν Ἰβήρων καὶ Κώδ. Καλύβης ἁγίου Ἀκακίου ἐν Καυσοκαλυβίοις.

***Ἦχος α'. Ὠδὴ α'. Ὠδὴν ἐπινίκιον.***

***Ἀ***ρχόμενοι σήμερον
τοῦ τελευταίου
τῶν μηνῶν ἀρχόμεθα
λογικοῖς ἄνθεσι
προδιαπλέκειν φαιδρῶς
τῇ ἀπαρχῇ τῆς ζωῆς ἡμῶν
ὕμνον ἐξόδιον.

***Π***αρθένε πανάμωμε
Θεογεννῆτορ,
τὴν ποίμνην σου φύλαττε
ἣν πολλάκις ἔσωσας
ἐκ πολλῶν θλίψεων
καὶ ἐθνικῶν προσβολῶν καὶ νῦν
τιμῶσαν τὴν (σεπτὴν) μνήμην σου.

***Ἀ***σμάτων τῇ χάριτι
τὰς πανιέρους
ἡμέρας φαιδρύνωμεν
ἱερῶς χαίροντες
ἐν αἷς ἡ μήτηρ τοῦ Θεοῦ
τὴν ἐκδημίαν πρὸς αὐτὸν
ποιεῖται χαίρουσα.

***Ρ***ευστοὶ χρηματίσαντες
δι' ἁμαρτίαν
πρὸς ζωὴν τὴν ἄρρευστον
διὰ σοῦ, Δέσποινα,
ἀνακεκλήμεθα· διὸ
τὴν χάριν σοι πιστῶς
ἐπιγραφόμεθα.

1) Ψάλλονται ἐν Ἁγίῳ Ὄρει οἱ τοῦ Μάρκου Κανόνες κατ' Αὔγουστον πρὸ τῆς Κοιμήσεως τῆς Θεοτόκου.



Ὠδὴ γ'. Λίθον ὃν ἀπεδοκίμασαν.

***Χ***αῖρε τῆς χαρᾶς ἡ πρόξενος
τῷ βροτείῳ γένει·
χαῖρε ἡ τῆς λύπης
ἀπαλλαγὴ καὶ λύσις·
χαρᾶς ἀδιαδόχου
χωρίον εὐρύχωρον
ἡ δι' ἀγγέλου τῆς χαρᾶς
καὶ νῦν λαβοῦσα τὰ μηνύματα.

***Ὅ***πλῳ εὐδοκίας, Δέσποινα,
τοὺς πιστούς σου δούλους
ἅπαντας συνήθως
ἀσφαλίζοντας τεμένει
τῷ σῷ φθορᾶς ἀπάλλαξον
καὶ τρέψον τὴν ὀργήν σου
ἐπὶ τοὺς ἀπίστους αὐτῶν
καταβαλοῦσα τὰ φρυάγματα.

***Μ***έση Θεοῦ χρηματίσασα
καὶ ἀνθρώπων, κόρη,
μέσον τὸν παρόντα
διαλαβοῦσα μῆνα
τῇ θείᾳ μεταστάσει
φαιδρύνεις τὰ σύμπαντα
καὶ εἰς πανήγυριν φαιδρὰν
ἐπισυνάγεις τοὺς θεόφρονας.

***Ἄ***δων ὁ προφήτης πνεύματι
τὰ σὰ μεγαλεῖα
πᾶσα ἀνεβόα
ἔσωθεν ἡ δόξα
τοῦ μόνου βασιλέως
τῆς θυγατρὸς ὑπάρχει·
διὸ οἱ πλούσιοι τοῦ λαοῦ
τὸ πρόσωπόν σου λιτανεύουσιν.

Ὠδὴ δ'. Ἐν πνεύματι προβλέπων.

***Ἰ***δοὺ τῇ βασιλίδι
λαμπρὸς ἐπιφανεὶς
ὁ συνήθης ἄγγελος
τὸ σύμβολον αὐτῇ
τῆς τοῦ θανάτου νίκης φέρων ἐγχειρίζει
φοίνικος κλάδον ὥσπερ πρώην τῷ Δεσπότῃ
φέροντες ἐπήντων οἱ ὄχλοι πιστῶς.

***Σ***υνέλθωμεν προθύμως
ἐν φόβῳ καὶ χαρᾷ,
βασιλεῖς καὶ ἄρχοντες
λαὸς καὶ ἱερεῖς
νέοι, πρεσβῦται, μονασταὶ καὶ μιγάδες
ᾆσαι ἄξια τὴν μητέρα Κυρίου
μέλλουσαν ἀπαίρειν ἐκ γῆς προσειπεῖν.

***Ὁ*** μέγας ἐν προφήταις,
συνενόησε, Μωσῆς
τυπικῶς τεθέαται
ἐν βάτῳ καὶ πυρὶ
τοῦ μυστηρίου τὸ θαῦμα τῆς σῆς λοχείας·
καὶ γὰρ ἀφλέκτως πῦρ τὸ ἄϋλον ἐδέξω·
δόξα τῷ Θεῷ τῷ φανέντι ἐκ σοῦ.

***Ἰ***άματα ἐκ θείας
παλάμης σου, ἁγνή,
τοῖς νοσοῦσι δώρησαι
δεινῶς κατὰ ψυχήν·
βιωτικαῖς γὰρ μερίμναις προσηλωθέντες
τὰ τῆς ψυχῆς νῦν παρέργως φεῦ! ἐκτελοῦμεν·
ἀναισθησίᾳ νοσοῦντας ἴασαι.

Ὠδὴ ε'. Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλον.

***Τ***ὴν πολυώνυμον καὶ περίκλυτον
στάμνον καὶ τράπεζαν
ὄρος ἅγιον
βάτον καὶ κλίμακα προορασθεῖσαν
πάντες ἀνυμνήσωμεν
ἐκ γῆς μεταβαίνουσαν.

***Ὡ***ς ὑπερέχουσα πάσης κτίσεως
ἐν ἁγιότητι
δόξαν ἄρρητον,
ἁγνή, πεπλούτηκας· ὅθεν τὸν μῆνα
τοῦτον ἀνατίθεμεν
εἰς σὴν δόξαν, Δέσποινα.

***Ν***εοποιεῖς φθαρεῖσαν, ἄχραντε,
φύσιν τὴν βρότειον·
διὸ ποίμνην τὴν
τῷ σῷ ὀνόματι σεμνυνομένην
λύτρωσαι πρεσβείαις σου
φθορᾶς καὶ κακώσεως.

**Ἐ**πὶ τοῦ ὄρους προσευχομένης σου,
πάναγνε Δέσποινα,
προσκυνούμενα
τὰ δένδρα νέμουσι δουλοπρεπῆ σοι
εὐλαβῶς προσκύνησιν·
ὢ θαῦμα παράδοξον!

Ὠδὴ ϛʹ. Τὸν προφήτην Ἰωνᾶν.

**Μ**όνη ἔτεκες Θεὸν
μόνη ἔμεινας ἁγνὴ
μόνον θέλησον αὐτὴ
καὶ λυθήτω τὰ δεινὰ
καὶ ὕρονται
οἱ σοὶ οἰκέται
τὴν σὴν βοήθειαν.

**Ὡ**ς νεφέλη μυστική,
μητροπάρθενε ἁγνή,
καθοδήγησον ἡμᾶς
πρὸς οὐράνιον ζωὴν
τὸν καύσωνα
τῆς ἁμαρτίας
ἐξαφανίζουσα.

**Ν**έον βρέφος ἐπὶ γῆς
ὁ παντέλειος Θεὸς
προελήλυθεν ἐκ σοῦ
δύο φύσεις ἐν ταὐτῷ
θελήματα
καὶ ἐνεργείας
φέρων, πανάμωμε.

**Λ**ύεις πταίσματα ψυχῶν
παύεις νόσους τῆς σαρκὸς
ἀπελαύνεις πᾶν δεινὸν
τῶν τιμώντων σε, ἁγνή,
τὸ δύνασθαι
μόνον τὸ θέλειν
σύνδρομον ἔχουσα.

Ὠδὴ ζʹ. Τῶν ἐν καμίνῳ παίδων.

**Ὁ** τοὺς ἁγίους παῖδας ἐκ πυρὸς
ῥυσάμενος καὶ ἐκ λεόντων Δανιὴλ
καὶ τοῖς σοῖς δούλοις
ἐκ παθῶν καὶ πταισμάτων
ἀναρρύσας, εὔσπλαγχνε,
δίδου εὐαρέστως ζῆν
ταῖς τῆς μητρός σου εὐχαῖς.

**Γ**ῆ ἡ τὸν στάχυν τὸν ζωοποιὸν
βλαστήσασα καὶ τὴν ἐπουράνιον ζωὴν
διὰ θανάτου
ἐκ τῆς γῆς μεθισταμένη
τοῖς ἐν γῇ κατέλιπε
τὴν εὐλογίαν ἡμῶν
ἐν τοῖς ἀμφίοις αὐτῆς.

**Ὤ**φθης τῷ θείῳ πάλαι Ἰσραὴλ
ἡ οὐράνιος κλίμαξ ἐφ' ἧν οἱ ἄγγελοι [Θεοῦ
καὶ ὁ Δεσπότης
ἐπ' αὐτῆς ἐστήρικτο
τῆς Θεοτόκου
τυποῦσα τὴν μετάστασιν.

**Ν**αὸς Θεοῦ ὑπάρχουσα, σεμνή,
τοὺς πίστει σου νῦν ἐν τῷ τεμένει ἱερῶς
συναγομένους
καὶ τὴν σὴν προσδεχομένους
ἀρωγὴν περίσωζε
ἐκ πειρασμῶν ψυχικῶν
καὶ νοσημάτων δεινῶν.

Ὠδὴ ηʹ. Ὃν φρίττουσιν ἄγγελοι.

**Κ**αλεῖ πρὸς οὐράνιον
καὶ ἔνθεον ζωὴν
ὁ κτίστης καὶ Κύριος
μητέρα τὴν αὐτοῦ
καὶ τῷ μυστηρίῳ
τέλος πρέπον διδοὺς
κάτεισιν ἐν δόξῃ
ταύτην ἀνακομίσων.

**Ὁ** τόμος προέγραψε
τὸ θαῦμά σου, σεμνή,
ὁ πόκος ἐμήνυε
τὸν ξένον ὑετὸν
ἐν σοὶ καταβάντα
καὶ τὴν φύσιν ἡμῶν
καυσουμένην δρόσῳ
ζωῆς ἀναλαβόντα.

**Ρ**εούσης ἀφέμενοι
ζωῆς καὶ χαμερποῦς
μενούσῃ προσέλθωμεν
καὶ κρείττονι ζωῇ
καὶ συνεπαρθῶμεν
τῇ Δεσποίνῃ ἡμῶν
γῆθεν ἀνιούσῃ
ζωὴν πρὸς τὴν ἀγήρω.



**Ἡ** πύλη ἡ βλέπουσα
κατὰ ἀνατολὰς
ἡ κλίμαξ ἡ ἔνθεος
ἡ ῥάβδος Ἀαρὼν
ἡ ζῶσα νεφέλη
ἐν νεφέλαις καλεῖ
γῆθεν αἰρομένη
τοὺς θείους ἀποστόλους.

Ὠδὴ θʹ. Τὸν ζωοδόχον πηγήν.

**Μ**αρμαρυγαῖς τῆς ἄνω θεότητος
περιαστράπτων ἐν δόξῃ κατέρχεται
τοῦτο ἤδη δεύτερον
ὁ υἱός σου, Δέσποινα,
σὺν μυριάσι πολλαῖς ἀγγέλων νόων
τὴν σὴν ἁγίαν ψυχὴν προσληψόμενος.

**Ἁ**μαρτημάτων δεσμοῖς συνεχόμενοι
τῇ τοῦ θανάτου τομῇ παρεδόθημεν
καὶ καταφθειρόμεθα
ἐκ δικαίας κρίσεως
τοῦ σοῦ υἱοῦ καὶ Θεοῦ ἀλλὰ θαρ- [ροῦντες
τῇ σῇ, πανάμωμε, σκέπῃ σωθείημεν.

**Ρ**ητορευόντων ἄπειρα στόματα
καὶ φιλοσόφων ἄσοφον σοφίσματα
μάταια ἐλήλεγκται
φροῦδα κεχρημάτικε
τῷ μυστηρίῳ τῷ σῷ κατοργηθέντα
Θεογεννῆτορ πανάμωμε Δέσποινα.

**Κ**εκρατημένοι τῷ θείῳ σου ἔρωτι
οἱ προσκυνοῦντες τὸ μέγα μυστήριον
τοῦ ἀσπόρου τόκου σου,
Δέσποινα πανύμνητε,
λόγοις εὐρύθμων ᾠδῶν ἀσμάτων [ὕμνοις
τὰ ἐξιτήριά σοι προσφθεγγόμεθα.

**Ὃ**ς ἐν ἐρήμῳ λαὸν μυριάριθμον
στύλῳ πυρὸς καὶ νεφέλης ὡδήγησεν
οὗτος πρὸς τὸ τέμενος
τοῦτό σου τὸ ἅγιον,
μῆτερ ἁγνή, ὁδηγεῖ δυνάμει θείᾳ
τοὺς δεομένους τῆς σῆς ἀντιλήψεως.

**Σ**ιὼν ἁγία Θεοῦ πόλις ἔμψυχε,
Θεομῆτορ, τὴν ποίμνην σου φύλαττε
τὴν τῷ σῷ ὀνόματι
δομηθεῖσαν ἄνωθεν
καὶ ἐκ ποικίλων δεινῶν ἀνασωθεῖσαν
καὶ νῦν ὡς μάλιστα σοὶ προσανέχουσαν.

32

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1]

οὗ ἡ ἀκροστιχίς

**« Τῇ παντανάσσῃ πρῶτον ἐξάδω μέλος Μανουήλ. »**

ΠΟΙΗΜΑ ΜΑΝΟΥΗΛ ΤΟΥ ΜΕΓΑΛΟΥ ΡΗΤΟΡΟΣ

Κώδ. Καθολικοῦ τῶν Ἰβήρων.

***Ἦχος αʹ. Ὠδὴ αʹ. Σοῦ ἡ τροπαιοῦχος.***

**Τ**είχισον τὸν ναὸν μου, ἀγαθή,
τῇ φωταυγεῖ πρὸς Θεὸν μεσιτείᾳ σου
ὃν ἀρρήτως τέτοκας
ἵνα πιστῶς τὰ μεγαλεῖα ὑμνήσω σου·
σὺ γὰρ φῶς τοῦ κόσμου
ὡς ἀληθῶς ἀναδέδειξαι.

**Ἡ** πηγὴ τῶν θείων δωρεῶν
ἤδη ἀπαίρει πρὸς φῶς τὸ ἀνέσπερον
καὶ πιστοὺς τῇ χάριτι
τῇ ἑαυτῆς ἐπευλογεῖ κραυγάζοντας·
ἁγνὴ τὸ φῶς τοῦ κόσμου
ὡς ἀληθῶς ἀναδέδειξαι.

1) Ψάλλεται ἐν τῇ τοῦ Αὐγούστου νηστείᾳ τῆς ὑπεραγίας Θεοτόκου.

***Π***αλάτιον ἔμψυχον Θεοῦ
ἡ τῶν ἀνθρώπων τὴν φύσιν κοσμήσασα
γῆθεν νῦν ἀπαίρουσα
μὴ ἐπιλάθου ἡμῶν τῶν ὑμνούντων σε·
σὺ γὰρ φῶς τοῦ κόσμου
ὡς ἀληθῶς ἀναδέδειξαι.

**Ἀ**ναιτίως λόγον ἐκ πατρὸς
ἐξ ἀϊδίου, ἁγνή, πηγαζόμενον
ὑπὲρ φύσιν τέτοκας
εἰς σωτηρίαν τῆς βροτείου φύσεως·
ὅθεν τὸ φῶς τοῦ κόσμου
ὡς ἀληθῶς ἀναδέδειξαι.

***Ν***αὸς ὑπεράγιος, σεμνή,
τῆς ἀπροσίτου ἐγένου θεότητος
χάριτας βραβεύουσα
ἀγαθοδότως τοῖς εἰς σὲ προστρέχουσι·
σὺ γὰρ φῶς τοῦ κόσμου
ὡς ἀληθῶς ἀναδέδειξαι.

Ὠδὴ γ΄. Ὁ μόνος εἰδώς.

***Τ***ὸ ὄρος τὸ ἅγιον σὺ εἶ,
Παρθένε, τὸ κατάσκιον·
τοῦ γὰρ ὑψίστου πατρὸς ἡ δύναμις
ὑπερφυῶς σοι ἐπισκιάσασα
οὐρανὸν κατάστερον
τοῦ νῦν στερεώματος
ἀσυγκρίτως ὑπέρτερον ἔδειξεν.

**Ἀ**ΰλων καὶ θείων οὐσιῶν
χορεῖαι παριστάμεναι
σοὶ μετὰ δέους, Παρθένε ἄχραντε,
οὐκ ἐξαρκοῦσιν ὑμνεῖν ἀξίως σε·
τὸ γὰρ σὸν ἀξίωμα
αὐτῶν ὁ Θεὸς ἡμῶν
ἀσυγκρίτως ὑπέρτερον ἔδειξεν.

***Ν***εφέλη ὑπάρχεις φωτεινὴ
τὸ μάννα ὑετίζουσα
τὸ τῆς ζωῆς πιστοῖς καὶ ἀνίσχουσα
δικαιοσύνης σαφῶς τὸν ἥλιον·
σοῦ γὰρ τὸ ἀξίωμα
Χριστὸς ὁ Θεὸς ἡμῶν
τῶν χερουβὶμ ὑπέρτερον ἔδειξεν.

**Ἀ**φλέκτως ἡ βάτος τῷ πυρὶ
τὸ πρὶν προσομιλήσασα
τόκον τὸν σὸν ἐδήλου, Θεόνυμφε,
καὶ γὰρ τὸ πλήρωμα τῆς θεότητος
τὸν υἱὸν ἐκύησας
ὅς σου τὸ ἀξίωμα
τῶν σεραφὶμ ὑπέρτερον ἔδειξεν.

Ὠδὴ δ΄. Ὄρος σε τῇ χάριτι.

***Σ***υμβολικῶς οἱ θεῖοί σε προφῆται ἐν
[πνεύματι
προανεκήρυξαν σαφῶς
δοχεῖον ἔσεσθαι Θεοῦ
τοῦ Λόγου, Θεόνυμφε,
καὶ διὰ σοῦ οἱ ἐν τῷ σκότει θεά-
[σονται
τὸ μέγα φῶς θεϊκῆς ἐπιγνώσεως.

***Σ***ὲ πανυπερένδοξε Χριστὸς ὁ Θεὸς
[ἡμῶν
καθαρὰν ὥσπερ ἀπαρχὴν
ἐκ τῶν ἀνθρώπων εἰληφὼς
τὴν φύσιν ἡγίασεν
ἡμῶν σαφῶς καὶ φιλανθρώπως ἔδι-
[δαξε
τὸ μέγα φῶς θεϊκῆς ἐπιγνώσεως.

**Ἡ** ἐλπὶς καὶ στήριγμα ἡμῶν καὶ
[βοήθεια
τὰς ἱκεσίας τῶν πιστῶς
σὲ αἰτουμένων, ἀγαθή,
πρόσδεξαι καὶ πλήρωσον
πανευμενῶς τὸν νοῦν ἡμῶν συνετί-
[ζουσα
ἰδεῖν τὸ φῶς θεϊκῆς ἐπιγνώσεως.

***Π***άντων τὸ προσφύγιον σὺ ὑπάρχεις,
[ἄχραντε,
τῶν ἐλπιζόντων ἐπὶ σὲ
καὶ ἀνυμνούντων ἐκ ψυχῆς
τὴν θείαν λοχείαν σου
διηνεκῶς ἐξ ἧς ἡμῖν ἐπεγένετο
τὸ μέγα φῶς θεϊκῆς ἐπιγνώσεως.

Ὠδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.

***Ρ***άβδος χαῖρε
Ἀαρὼν ἡ ἀρρήτως ἀνθήσασα
ἄνθος θεῖον,
Θεοτόκε ἁγνή, τὸ ἀείζωον
ἐξ οὗ ἀφθαρτίζονται
οἱ μετὰ πόθου προσκυνοῦντες
τὸν ἀνερμήνευτον τόκον σου.



**Ὤ**φθης πάλαι
τῷ προπάτορι κλίμαξ οὐράνιος
δι' ἧς νόες
πρὸς Θεοῦ θεωρίαν ἀνίεσαν
καὶ ἀνθυπεφέροντο
πρὸς σὸν μυστήριον καὶ ὕμνουν
τὸν ἀνερμήνευτον τόκον σου.

***Τ***όμον θεῖον
ὁ προφήτης σε εἶδεν ἐν πνεύματι
ἐν ᾧ Λόγος
τοῦ πατρὸς ὁ ἐπέρθεος γέγραπται
εἰς κόσμου ἀνάπλασιν
ἡμεῖς δὲ πίστει προσκυνοῦμεν
τὸν ἀνερμήνευτον τόκον σου.

***Ο***ὐκ ἰσχύει
γλῶσσα βρότειος ὕμνον ἐπάξιον
σοὶ προσάξαι,
Θεοτόκε, διὸ καὶ ἰσόρροπον
δύναμιν χορήγησον
τῇ προαιρέσει ἀνυμνῆσαι
τὸν ἀνερμήνευτον τόκον σου.

Ὠδὴ ϛ΄. Ἐκύκλωσεν ἡμᾶς.

***Ν***οός μου τὴν πολλὴν ὄντως σκοτό-
[μαιναν
ἀπέλασον καὶ δώρησαι
τῇ ψυχῇ μου χαρμοσύνην ἀληθῆ
ὅπως ἐν χαρᾷ, κόρη, δοξάζω σε·
σὺ γὰρ ἐλπὶς
καὶ σωτηρία μου καὶ βοήθεια.

**Ἐ**πλήγην τῇ δεινῇ τοῦ πολεμήτορος
ῥομφαίᾳ καὶ νενέκρωμαι
τὰς αἰσθήσεις νῦν, Παρθένε, τῆς
[ψυχῆς·
ἀλλ' ἡ τὴν ζωὴν τεκοῦσα ζώωσον·
σὺ γὰρ ἐλπὶς
καὶ σωτηρία μου καὶ βοήθεια.

***Ξ***ενίζει πάντα νοῦν τὰ ὑπεράπειρα
θαυμάσιά σου, πάναγνε,
ἃ ἐξέχεας σοῖς δούλοις δαψιλῶς
ὧν στεναγμοῖς θᾶττον κἀμὲ ζώωσον·
σὺ γὰρ ἐλπὶς
καὶ σωτηρία μου καὶ βοήθεια.

**Ἀ**νόρθωσον λαόν σου τὸν χριστώ-
[νυμον
ἐκλελοιπότα, Δέσποινα,
χαλεπῇ καταδουλώσει τῶν ἐχθρῶν
καὶ εἰς τὸ μηδὲν ἤδη ὁδεύοντα·
σὺ γὰρ ἐλπὶς
καὶ σωτηρία μου καὶ βοήθεια.

Ὠδὴ ζ΄. Σὲ νοητήν.

***Δ***άκρυα δὸς
μετανοίας, Δέσποινα,
τῇ πανταθλίᾳ μου ψυχῇ
ἵνα πλύνω τῶν παθῶν
ῥύπον καὶ ἐπάξιος
οἶκος, Θεονύμφευτε,
ὑπάρξω θεῖος τῆς χάριτος
σὲ ἀνυμνῶν καὶ δοξάζων
τὴν μόνην πολυύμνητον.

**Ὡ**ς φωτεινὸν
τέμενος ὑπάρχουσα
τοῦ θείου Πνεύματος, ἁγνή,
ἀπαστράπτεις τὰς δωρεὰς
τοῖς εἰς σὲ προστρέχουσι·
κἀμοῦ τὴν διάνοιαν
τῷ σῷ ἐλέει χαρίτωσον
ἵνα πιστῶς σε δοξάζω
τὴν μόνην πολυύμνητον.

***Μ***ή με, ἁγνή,
παρίδῃς προστρέχοντα
τοῖς σοῖς ἀπείροις οἰκτιρμοῖς
ἡ τεκοῦσα ὡς ἀληθῶς
ἐλέους τὴν ἄβυσσον·
ἀλλὰ κατοικτείρησον
ὡς συμπαθὴς καὶ ἀνόρθωσον
ὅπως ἀεί σε δοξάζω
τὴν μόνην πολυύμνητον.

**Ἐ**λπὶς πιστῶν,
Θεοτόκε Δέσποινα,
τῆς διανοίας τῆς ἐμῆς
τὰ κινήματα νοερῶς
πάντα σὺ ἐπίστασαι
καὶ πρὸς σὲ κατεύθυνον
διὰ τὴν σὴν ἀγαθότητα
ἵνα σὺν πόθῳ ὑμνῶ σε
τὴν μόνην πολυύμνητον.

Ὠδὴ η'. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

*Λ*υχνία πολύφωτε χρυσῆ
Θεοῦ τῶν χαρισμάτων
ἐκπέμπουσα τὰς ἀκτῖνας
πλουσίως ὡς ἀγαθὴ
τοῖς πίστει καὶ πόθῳ σοι
ἐκβοῶ σοι χαῖρε Παρθένε
τοῦ Θεοῦ Λόγου μήτηρ
δι' ἧς ἐφωτίσθη
τὸ γένος τῶν ἀνθρώπων.

*Ὁ* παράδεισος ὁ μυστικὸς
τῆς τρισηλίου αἴγλης
σωτήριόν τε καὶ θείαν
ἀνατέλλουσα ὀδμὴν
τοῖς μέλπουσι πάντοτε
ἐκ ψυχῆς σοι· χαῖρε Παρθένε
τοῦ Θεοῦ Λόγου μήτηρ
δι' ἧς ἐφωτίσθη
τὸ γένος τῶν ἀνθρώπων.

*Σ*αλπίγγων ἡ πάλαι ἑορτὴ
τῶν προφητῶν ἐδήλου
σάλπιγγας τὰς πνευματικὰς
δι' ὧν ἤχησαν, ἁγνή,
τὸ μέγα μυστήριον
τοῦ σοῦ τόκου χαῖρε βοῶντες
τοῦ Θεοῦ Λόγου μήτηρ
δι' ἧς ἐφωτίσθη
τὸ γένος τῶν ἀνθρώπων.

*Μ*εγάλα σοι ὁ δυνατὸς
ἐποίησε, Παρθένε,
οὐσίας τῆς ἀκηράτου
σὲ δοχεῖον ἱερὸν
εἰς κόσμου ἀνάπλασιν
ἀξιώσας· ὅθεν βοῶμεν·
χαῖρε Θεοῦ ἡ μήτηρ
δι' ἧς ἐφωτίσθη
τὸ γένος τῶν ἀνθρώπων.

*Ἀ*νύμφευτε κόρη Μαριὰμ
παθῶν μου τοὺς χειμάρρους
τὴν ταπεινήν μου καρδίαν
κατακλύζοντας δεινῶς
ἀνάστειλον θείᾳ σου
ἐπινεύσει ἵνα σοι μέλπω
χαῖρε Θεοῦ ἡ μήτηρ
δι' ἧς ἐφωτίσθη
τὸ γένος τῶν ἀνθρώπων.

Ὠδὴ θ'. Τύπον τῆς ἁγνῆς.

*Ν*άμα σωτηρίου πόσεως
ἐκ τῶν πηγῶν τοῦ σοῦ ἐλέους, παν-[άχραντε,
πλουσίᾳ χειρὶ
ἐξασθενοῦντί μοι
ζωτικὴν χορηγοῦσα ἀνάψυξιν
ὅπως ἀκαταπαύστως
καὶ ὁλοψύχως μεγαλύνω σε.

*Ὅ*λος πληγωθεὶς κατάκειμαι
ταῖς ἐπηρείαις ταῖς δειναῖς τοῦ ἀλά-[στορος·
ἀλλ' ἡ τὴν ζωὴν
τὴν ἐνυπόστατον, Δέσποινα,
τεξαμένη εἰς πάντων ἀνάστασιν
ἐξέγειρον ἐν τάχει
ὅπως σὺν πόθῳ μεγαλύνω σε.

*Ὕ*λης τῆς ῥεούσης, ἄχραντε,
τῆς κοσμικῆς καὶ τὴν ψυχὴν ὑποσύρου-[σαν
εἰς βάθος κακῶν
τὸν σόν με δοῦλον ἀπάλλαξον
τῇ ἀμάχῳ καὶ θείᾳ δυνάμει σου
ὅπως ἀκαταπαύστως
καὶ ὁλοψύχως μεγαλύνω σε.

*Ἦ*λθεν ἡμῖν φῶς τῆς γνώσεως
τῆς θεϊκῆς διὰ τοῦ τόκου σου, πάναγνε,
καὶ νῦν νοερῶς
τὰ νοητὰ κατοπτεύομεν
τοῦ υἱοῦ σου τὰ θεῖα μυστήρια·
διὸ ἀκαταπαύστως
σὲ ὁλοψύχως μεγαλύνομεν.

*Λ*άμψον χαρμοσύνως φέγγος μοι
διὰ πολὺ τῆς εὐσπλαγχνίας σου πέλαγος
ἡ τῶν προπατόρων
τὴν κατήφειαν λύσασα
καὶ χαρὰν ἀντὶ λύπης εἰσάξασα
ὅπως ἀκαταπαύστως
καὶ ὁλοψύχως μεγαλύνω σε.



# 33
# ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1]

Κώδ. Θ 67. Λαύρας.
354 φ. 20α
Ἐθν. Βιβλ. Παρισίων

## *Ἦχος α'. Ὠδὴ α'. Ὠδὴν ἐπινίκιον.*

*Ἡ* βάτος ἐτύπου σε,
Θεογεννῆτορ,
τὸ πῦρ γὰρ ἐβάσταζας
ἀληθῶς τὸ ἄστεκτον
μείνασα ἄφλεκτος·
ὅθεν σε πίστεως φωναῖς
ὑμνολογοῦμεν ἀεί.

*Φ*ορέσας τὸν ἄνθρωπον
ὁ Θεὸς Λόγος
ἐκ σοῦ ὑπὲρ ἔννοιαν
ἐσαρκώθη, ἄχραντε,
διὸ πᾶσα πνοὴ
δοξολογεῖ καὶ προσκυνεῖ
καὶ κατὰ χρέος τιμᾷ.

*Σ*υνέλαβες, ἄχραντε,
ἀρρήτῳ λόγῳ
τὸν πάντα συνέχοντα
τὰ τῆς γῆς πληρώματα
καὶ τοῦτον τέτοκας
ὃν ἐκδυσώπει ἐκτενῶς
τοῦ ἐλεῆσαι ἡμᾶς.

*Ἡ* μόνη τὸν ἄχρονον
Θεὸν ἐν χρόνῳ
τεκοῦσα σαρκούμενον,
παναγία ἄχραντε,
πάντα τὰ χρόνια
τῆς παναθλίας μου ψυχῆς
πάθη θεράπευσον.

Ὠδὴ γ'. Στερεωθήτω ἡ καρδία μου.

*Τ*ῆς στειρευούσης διανοίας μου
ἀκαρπίαν πᾶσαν ἀφάνισον
καὶ καρποφόρον ἀρεταῖς
τὴν ψυχήν μου ἀνάδειξον
παναγία Θεοτόκε,
τῶν πιστῶν ἡ βοήθεια.

*Ρ*ῦσαί με πάσης περιστάσεως
καὶ πολλῶν σκανδάλων τοῦ ὄφεως
αἰωνιζούσης τε φλογὸς
καὶ τοῦ σκότους, πανάμωμε,
ἡ τὸ φῶς ἀποκυήσασα
ἡμῖν τὸ ἀνέσπερον.

*Ἵ*να θεώσῃ τὸ ἀνθρώπινον
ὁ Θεὸς ἐγένετο ἄνθρωπος
ἐκ σοῦ, Παρθένε, τῆς ἁγνῆς
ὑπὲρ λόγον καὶ ἔννοιαν·
διὰ τοῦτό σε συμφώνως
οἱ πιστοὶ μακαρίζομεν.

*Ὁ* κατὰ φύσιν ἀπερίγραπτος
σαρκωθεὶς ἐκ σοῦ περιγράφεται,
Θεοχαρίτωτε ἁγνή,
ὃν ἀπαύστως ἱκέτευε
οἰκτειρῆσαι καὶ φωτίσαι
τὰς ψυχὰς τῶν ὑμνούντων σε.

Ὠδὴ δ'. Ἐν πνεύματι προβλέπων.

*Τ*ὴν ἄχραντόν σου μήτραν
οἰκήσας ὁ Χριστός,
παναγία Δέσποινα,
ἐθέωσεν ἡμᾶς
σαρκὸς προσλήψει ἐμψυχωμένης· διό [σε
ἁγνὴν μητέρα ὀρθοδόξως ἀνυμνοῦμεν,
Δέσποινα τοῦ κόσμου βοήθεια.

*Ἁ*γία Θεοτόκε,
ἁγίασον ἡμᾶς
ἡ τὸν ὑπεράγιον

1) Τινὰ τῶν Τροπαρίων τοῦ παρόντος Κανόνος εὕρηνται καὶ ἐν τῇ ἐκδόσει τοῦ Ἀγαπίου, ὅστις ἥρπαξε τροπάρια διαφόρων Κανόνων καὶ συνηρμολόγησε τὸ ὑπ' αὐτοῦ ἐκδοθὲν Θεοτοκάριον ἐν μορφῇ παραδοξοτέρᾳ.

κυήσασα σαρκὶ
ὁμοιωθῆναι θελήσαντα τοῖς ἀνθρώποις
καὶ οὐρανίου βασιλείας πάντας δεῖξον,
ἄχραντε, μετόχους πρεσβείαις σου.

***Π***αρθένε Θεοτόκε
ἀμόλυντε σκηνὴ
μολυνθέντα πταίσμασι
καθάρισόν με νῦν
τῶν οἰκτιρμῶν σου καθαρωτάταις ῥανίσι
καὶ δός μοι χεῖρα βοηθείας ἵνα κράζω
δόξα σοι, ἁγνὴ Θεοδόξαστε.

***Ν***αὸς ἡγιασμένος
ἐδείχθης τοῦ Θεοῦ
τοῦ ἐν σοὶ σκηνώσαντος,
Παρθένε, ὑπὲρ νοῦν
αὐτὸν δυσώπει ἁμαρτιῶν ἡμᾶς ῥύπου
ἀποκαθάραι ὅπως οἶκος γνωρισθῶμεν
καὶ κατοικητήριον πνεύματος.

Ὠδὴ ε΄. Τὴν σὴν εἰρήνην δὸς ἡμῖν.

***Ν***εκρόν με ἀπειργάσατο
ποτὲ ἐν τῇ Ἐδὲμ
γεῦσις πονηρά·
ζωὴν δὲ κυήσασα,
ἁγνή, τῷ ξύλῳ πάλαι θνήξαντα
ζωοποίησόν με
καὶ βράβευσον εἰρήνην.

***Δ***ιάσωσόν με, πάναγνε,
κινδύνων χαλεπῶν
ἔγειρον παθῶν
κοπρίας καὶ ῥῦσαί με
αἰχμαλωσίας καὶ κακώσεως
πονηρῶν δαιμόνων
τὸν σὸν ἀχρεῖον δοῦλον.

***Ν***εφέλην καὶ παράδεισον
καὶ πύλην σε φωτὸς
τράπεζαν καὶ πόκον
γινώσκομεν καὶ στάμνον
μάννα ἔνδον φέρουσαν
τὸν γλυκασμὸν τοῦ κόσμου,
ἁγνὴ Παρθενομῆτορ.

***Κ***υήσασα, πανάμωμε,
Θεὸν Ἐμμανουὴλ
ἄνθρωπον σαρκὸς
δι᾽ οἶκτον γενόμενον
τοῦτον δυσώπει ὡς φιλάνθρωπον,
ἁγνή, κατοικτειρῆσαι
λαὸν ἡμαρτηκότα.

Ὠδὴ ϛ΄. Τὸν προφήτην Ἰωνᾶν.

***Μ***ολυνθέντα με πολλαῖς
ἁμαρτίαις τὴν ψυχὴν
δυσωπῶ σε ἐκτενῶς
τὴν ἀμόλυντον σκηνὴν
ἀπόπλυνον
παντοίου ῥύπου
τῇ μεσιτείᾳ σου.

***Κ***υβερνῆτίς μου γενοῦ
θαλαττεύοντι, ἁγνή,
ἐν πελάγει χαλεπῷ
τῶν τοῦ βίου πειρασμῶν
καὶ ἴθυνον
πρὸς σωτηρίας ὁδὸν
καὶ σῶσόν με.

***Ἁ***γιάσματος σκηνὴ
δεδειγμένη, Μαριάμ,
μιανθεῖσαν ἡδοναῖς
τὴν ἀθλίαν μου ψυχὴν
ἁγίασον
καὶ θείας δόξης
μέτοχον ποίησον.

***Τ***ρικυμίαι λογισμῶν
καὶ παθῶν ἐπαγωγαὶ
καὶ βυθὸς ἁμαρτιῶν
τὴν ἀθλίαν μου ψυχὴν
χειμάζουσι
βοήθησόν μοι,
ἁγία Δέσποινα.

Ὠδὴ ζ΄. Τοὺς ἐν καμίνῳ παῖδας.

***Ὁ*** τοῦ πατρὸς συνάναρχος υἱὸς
σοῦ ἐν γαστρὶ ᾤκησε δεξάμενος ἀρχὴν
ὅπως ἡμᾶς
τῶν πονηρῶν ἀρχῶν τοῦ σκότους
ὡς Θεὸς λυτρώσηται,



Θεογεννῆτορ ἁγνή,
τοὺς προσκυνοῦντας αὐτόν.

***Π***εποικιλμένη θείαις ἀρεταῖς
ἐκύησας Λόγον τὸν συνάναρχον πατρὶ
τὸν ἀρεταῖς
τοὺς οὐρανούς, ἁγνὴ Παρθένε,
ἀληθῶς καλύψαντα
ὃν δυσώπει ἀεὶ
τοῦ οἰκτειρῆσαι ἡμᾶς.

***Ἁ***γίασον ἡμῶν τοὺς λογισμοὺς
βεβαίωσον πάντων τὰς ψυχάς, μῆτερ Θεοῦ,
πράττειν καλῶς
τὰ δικαιώματα, Παρθένε,
τοῦ δι᾽ οἶκτον ἄφατον
σωματωθέντος ἐκ σοῦ
Λόγου ἀνάρχου πατρός.

***Ν***ενεκρωμένον πάθεσι σαρκός,
πανάμωμε, ζώωσον τὸν νοῦν μου καὶ Θεῷ
τὰ ἀρεστὰ
ἐπιτελεῖν ἐνίσχυσόν με
ἵνα μεγαλύνω σε
ἵνα δοξάζω ἀεὶ
τὴν εὐσπλαγχνίαν σου.

Ὠδὴ η΄. Ὃν φρίττουσιν ἄγγελοι.

***Ρ***υσθείημεν, πάναγνε,
ταῖς σαῖς πρὸς τὸν Θεὸν
ἀγρύπνοις δεήσεσι
παντοίων πειρασμῶν
οἱ σὲ Θεοτόκον
ἐπιστάμενοι
τὴν εὐλογημένην
καὶ κεχαριτωμένην.

***Σ***αρκοῦται ὁ ἄσαρκος
ἐκ σοῦ θεοπρεπῶς
ὃν αἴτησαι, πάναγνε,
τὰ πάθη τῆς ἐμῆς
σαρκὸς θανατῶσαι
καὶ ζωῶσαί μου
τὴν νενεκρωμένην
ψυχὴν ταῖς ἁμαρτίαις.

***Ἰ***άσω τὸ σύντριμμα
Ἀδὰμ τοῦ χοϊκοῦ
σωτῆρα κυήσασα,
πανάχραντε, Θεὸν
αὐτὸν ἐκδυσώπει
τὰς πληγὰς τῆς ἐμῆς
ψυχῆς θεραπεῦσαι
ἀνίατα νοσούσης.

***Ἀ***νάστησον κείμενον
εἰς βάθη με κακῶν
τοὺς νῦν πολεμοῦντάς με
πολέμησον ἐχθροὺς
τρωθέντα ἀτόποις
ἡδοναῖς τὴν ψυχὴν
ἁγνή, μὴ παρίδῃς
ἀλλ᾽ οἴκτειρον καὶ σῶσον.

Ὠδὴ θ΄. Τὴν φωτοφόρον νεφέλην.

***Φ***ωτοειδῆ σε νεφέλην
ὁ Ἡσαΐας ἑώρα
ἐξ ἧς ὁ ἥλιος ἡμῖν
ὁ τῆς δικαιοσύνης
ἐξανατείλας μυστικῶς
τὴν κτίσιν ἐφώτισε,
πανάμωμε,
διὰ τοῦτό σε πίστει
ἀνυμνοῦμεν
τὴν καλὴν ἐν γυναιξί.

***Φ***ῶς ἡ τεκοῦσα τὸ θεῖον
τὸ ἐκ πατρὸς ἀνατεῖλαν
τὴν σκοτισθεῖσάν μου ψυχὴν
ταῖς ἀπάταις τοῦ βίου
καὶ γεγονυῖαν τῶν ἐχθρῶν,
πανάμωμε, παίγνιον
οἰκτείρησον
καὶ φωτὸς μετανοίας
σωτηρίου
καταξίωσον, ἁγνή.

***Φ***ιλαμαρτήμων ὑπάρχων
ἐν ἀμελείᾳ διάγω
καὶ τὸ κριτήριον, ἁγνή,
τὸ ἀδέκαστον τρέμω
ἐν ᾧ με τήρησον ταῖς σαῖς
ἁγίαις δεήσεσιν
ἀνεύθυνον

ἀκατάκριτον ὅπως
ὡς προστάτιν
μακαρίζω σε ἀεί.

**Φ**ρίττω τὸ βῆμα, Παρθένε,
καὶ τὸ ἀλάθητον ὄμμα
τοῦ σοῦ υἱοῦ πράξεις αἰσχρὰς
ἐπὶ γῆς ἐκτελέσας·
καὶ διὰ τοῦτό σοι βοῶ,
πανεύσπλαγχνε Δέσποινα,
βοήθησον
καὶ τῆς τότε ἀνάγκης
ἐξελοῦ με
καὶ διάσωσον, ἁγνή.

---

## 34

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1]

***Ἦχος α΄. Ὠδὴ α΄. Ὠδὴν ἐπινίκιον.***

**Σ**οφίας τὴν ἄβυσσον
ἡ τετοκυῖα
σταγόνα σοφίας μοι,
πηγὴ χαριτόβρυτε,
σεμνή, κατάπεμψον
ὑμνολογῆσαι τῶν χαρί-
των σου τὸ πέλαγος.

**Υ**μνῶ σε, πανύμνητε,
ἣν ἀνυμνοῦσιν
ἀγγέλων τὰ τάγματα
ὡς Θεὸν κυήσασαν
τὸν ὑπερύμνητον
ὃν πᾶσα κτίσις ἀνυμνεῖ
ὅτι δεδόξασται.

Ὠδὴ γ΄. Στερεωθήτω ἡ καρδία μου.

**Ὁ** οὐρανὸς ὁ καθαρώτατος
τὸ τοῦ βασιλέως ἀνάκτορον
ὁ χαριτόπνους ἀληθῶς
καὶ εὐώδης παράδεισος
ἡ ἐλπὶς χριστιανῶν
ἡ Θεοτόκος ἀνυμνείσθω μοι.

**Λ**όγῳ τὸν Λόγον ἀπεκύησας
τὸν τῷ λόγῳ πᾶσαν πρὸς ὕπαρξιν
παραγαγόντα λογικὴν
φύσιν ἅμα καὶ ἄλογον
ἀλογίας ἐκλυτρούμενος
βροτούς, πανευλόγητε.

Ὠδὴ δ΄. Ἐν πνεύματι προβλέπων.

**Θ**ανάτου μὲν αἰτία
ἡ Εὔα τοῖς βροτοῖς
συμβουλίᾳ ὄφεως
γεγένηται, ἁγνή,
σὺ δέ, Παρθένε, τεκοῦσα λόγῳ τὸν
[Λόγον
ἀθανασίας καὶ ζωῆς πρόξενος ὤφθης·
ὅθεν ἐπαξίως ὑμνοῦμέν σε.

**Ἐ**ν πνεύματι προφῆται
προεῖδόν σε, ἁγνή,
ὄρος πύλην τράπεζαν
ἁγίαν κιβωτὸν
λυχνίαν θρόνον ζωῆς στάμνον καὶ
[κλίνην
Θεοῦ μητέρα ἐν συμβόλοις σε δηλοῦντες
ὧν ἡμεῖς ὁρῶμεν τὴν ἔκβασιν.

Ὠδὴ ε΄. Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλον.

**Ὡ**ς κιβωτός, σεμνή, ἁγιάσματος
καὶ ὡς πυρίμορφος

1) Εὕρηται ἐν τῷ Μηνιαίῳ τοῦ Δεκεμβρίου (στ΄) κατὰ τὴν ἑορτὴν τοῦ ἁγίου Νικολάου, ἀλλ' ἐλλειπὴς δύο τροπαρίων εἰς ἑκάστην ᾠδήν. Παρελήφθη ἐκ τῆς ἐκδόσεως τοῦ Βαρθ. Κουτλουμουσιανοῦ τῆς γενομένης ἐν Βενετίᾳ τῷ 1895.



θρόνος ἁγίας
καὶ ὡς παλάτιον ἡγιασμένον,
Δέσποινα, ἐχώρησας
Θεὸν παντοκράτορα.

**Μ**ήτηρ ἀπείρανδρος ἐν παρθένοις σὺ
αὖθις παρθένος δὲ
ἐν μητράσι μόνη,
πάναγνε, ἀρρήτως ὤφθης·
Θεὸν γὰρ ἐγέννησας
τὸν φύσεις ἀμείβοντα.

Ὠδὴ στ΄. Τὸν προφήτην Ἰωνᾶν.

**Π**ροστασία τῶν πιστῶν
ἀθυμούντων χαρμονὴ
εὐφροσύνης καὶ χαρᾶς
ἔμπλησον πνευματικῆς
τοὺς δούλους σου
τοὺς πεποιθότας
τῇ προστασίᾳ σου.

**Ο**ὐρανὸς ὁ λογικὸς
ὁ ναὸς ὁ καθαρὸς
ἡ ἁγία κιβωτὸς
ὁ τερπνότατος Θεοῦ
παράδεισος
ἐν ᾧ τὸ ξύλον
ζωῆς ὑμνείσθω μοι.

Ὠδὴ ζ΄. Ἡ κάμινος σωτῆρ ἐδρόσιζεν.

**Ὁ** ὑψιστος παράδεισον ἔμψυχον
παστάδα τε, ἁγνή, χαριτόπλοκον
χρυσόμορφον πορφύραν
καὶ οὐρανόν σε ἀνέδειξεν.

**Σ**τερέωσον τὸν νοῦν μου τρεπόμενον
τὸν λογισμὸν κλονούμενον ἔδρασον
ἐν ἀσαλεύτῳ με πέτρᾳ
τῇ σῇ σκέπῃ, μητροπάρθενε.

Ὠδὴ η΄. Ὃν φρίττουσιν ἄγγελοι.

**Ὡ**ς ἔμψυχος θάλαμος
καὶ ἔμπνους ἁλουργὶς
χλαμὺς ἁλουργόχροος
τῷ πάντων βασιλεῖ
ἐδείχθης, Παρθένε,
καὶ πορφύρα ἐξ ἧς
ἡ σὰρξ συνεξυφάνθη
τοῦ θεανθρώπου Λόγου.

**Σ**υνέλαβες, ἄχραντε,
τὸν ἅπασαν δρακὶ
τὴν κτίσιν συνέχοντα
ὡς κτίστην καὶ Θεὸν
ἀρρήτως ἀφράστως
δι' ἡμᾶς καθ' ἡμᾶς
βροτὸν γεγονότα
καὶ ὃ ἦν μὴ ἐκστάντα.

Ὠδὴ θ΄. Τὴν ζωοδόχον πηγήν.

**Ρ**είθρῳ τῆς σῆς με κατάρδευσον
[χάριτος
τῶν συμφορῶν τῷ φλογμῷ φλογιζό-
[μενον
καὶ δεινῶς πικρόμενον,
πηγὴ χαριτόβρυτε,
ποταμὸν ἡ τεκοῦσα τῶν χαρίτων
ἐξ οὗ ὁ πίνων διψήσει οὐδέποτε.

**Ὡ**ς τοῦ νυμφίου ὡραῖόν σε θάλαμον
ὡς τοῦ Δεσπότου παλάτιον ἔμψυχον
ὡς πορφύραν πάγχρυσον
καὶ τερπνὸν ἀνάκτορον
τοῦ Χριστοῦ, Δέσποινα πάντων,
καθικετεύοντά σε σῶσόν με.

---

# 35

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κώδ. 370 φ. 7β
Ἐθν. Βιβλ. Παρισίων

*Ἦχος α΄. Ὠδὴ α΄. Σοῦ ἡ τροπαιοῦχος.*

**Ρ**εῖθρά μοι δακρύων ψυχικῶν
ἡ τὴν πηγὴν τῆς ἀφέσεως τέξασα
δώρησαι, πανάμωμε,
ἁμαρτιῶν τὸν ῥύπον ἀποπλύνοντα
καὶ ἐν ταπεινώσει
τὸν βίον μου διεξάγοντα.

**Ὑ**περτέρα γέγονας, ἁγνή,
τῶν ποιημάτων Θεὸν σωματώσασα·
ὅθεν ἱκετεύω σε
ἀπὸ κοπρίας με παθῶν ἀνάστησον
καὶ πρὸς θεῖον ὕψος
τῆς μετανοίας εἰσάγαγε.

**Ἵ**λεώς μοι φάνηθι, ἁγνή,
ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως δέομαι
πάσης ῥυομένη με
φρικωδεστάτης καὶ δεινῆς κολάσεως
τὸν καταφυγόντα
ὑπὸ τὴν σκέπην σου, πάναγνε.

Ὠδὴ γ΄. Ὁ μόνος εἰδώς.

**Ν**αὸς ὡς ὑπάρχουσα Θεοῦ
τοῦ πάντων βασιλεύοντος
τὸν γεγονότα σπήλαιον, πάναγνε,
τῶν ψυχοφθόρων λῃστῶν ἐξάρπασον
τῆς αὐτοῦ κακώσεως
καὶ τοῦ θείου Πνεύματος
καθαρὸν ἐνδιαίτημα δεῖξόν με.

**Δ**ακρύων με πέμψον ὀχετοὺς
ξηραίνοντας τὰ ῥεύματα
τῶν πονηρῶν μου πράξεων δέομαι
τῆς εὐσπλαγχνίας τὸ γαληνότατον
ἡ τεκοῦσα πέλαγος
Χριστὸν τὸν Θεὸν ἡμῶν,
Θεοτόκε Παρθένε πανάμωμε.

**Ἰ**σχύς μου καὶ πύργος ἀσφαλὴς
γενοῦ θεοχαρίτωτε,
καὶ θυρεὸς καὶ ὅπλον ἀήττητον
καὶ νοουμένων ἐχθρῶν τὰς φάλαγγας
ἀφ’ ἡμῶν ἐλαύνουσα,
Θεοτόκε πάναγνε,
τῶ[ν] χυνή τῶν ἀνθρώπων [βοήθεια]

Ὠδὴ δ΄. Ὅρος σε τῇ χάριτι.

**Δ**αιμόνων ἀπάτῃ χαλεπῶς ἐξελκόμενον
τῶν ἐντολῶν με τοῦ Θεοῦ
μὴ ὑπερίδῃς, ἀγαθή,
ἀλλ’ οἴκτειρον δέομαι
καὶ τῆς αὐτοῦ ἀπάτης δεῖξον ἀνώτερον
τὸν προσφυγόντα, ἁγνή, τῷ ἐλέει σου.

**Ὁ** μόνος ὑπάρχων ἐλεήμων Χριστὲ ὁ Θεὸς
τῆς σὲ τεκούσης ταῖς εὐχαῖς
τοὺς πεποιθότας ἐπὶ σοὶ
ἐλέησον οἴκτειρον
καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου ὁδήγησον
καὶ αἰωνίου ζωῆς καταξίωσον.

**Ὑ**πνώσας εἰς θάνατον ἐν τάφῳ κατάκειμαι
τῆς ἀπογνώσεως, ἁγνή,
πεπεδημένος ταῖς σειραῖς
τῶν παραπτωμάτων μου·
ἀλλὰ τῇ σῇ ἀγρύπνῳ πρεσβείᾳ ἔγειρον
καὶ πρὸς μετάνοιαν ἴθυνον δέομαι.

Ὠδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.

**Ο**ἱ χείμαρροι
τῶν πολλῶν μου πταισμάτων προσέρρηξαν
καὶ τὸν οἶκον
τῆς ψυχῆς μου κατέπτωσαν, Δέσποινα,



ἀλλ’ ἡ ἐπανόρθωσις
[ὑπάρχουσα] τῶν προπατόρων
ἀνάστησόν με τὸν δοῦλόν σου.

**Ἰ**λεῖ με
τῶν παθῶν ἐμπαγέντα τὸν ἄθλιον
καὶ τῷ πάλῳ
τῶν πολλῶν ἐγκλημάτων ποντούμενον
χεῖρα δοῦσα, Δέσποινα,
ἐξάγαγέ με καὶ πρὸς ὅρμον
τῆς μετανοίας ὁδήγησον.

**Ψ**υχικῶν μου
μολυσμάτων τὴν κάθαρσιν δώρησαι
καὶ σαρκός μου
τὰς ὀδύνας θεράπευσον, Δέσποινα,
καὶ τῆς κατεχούσης με
χαλεπωτάτης ῥαθυμίας
ἀπάλλαξον ταῖς πρεσβείαις σου.

Ὠδὴ ς΄. Ἐκύκλωσεν ἡμᾶς.

**Χ**ειρόγραφον, ἁγνή, τῶν ἐγκλημάτων μου
τῇ λόγχῃ διαρρήξασα
τοῦ τεχθέντος ἐξ ἀσπόρου σου γαστρὸς
βίβλῳ με γραφῆναι καταξίωσον
τῶν ἐκλεκτῶν
τὸν προσφυγόντα τῇ θείᾳ σκέπῃ σου.

**Ἱ**λάσθητι, Χριστέ, ἡμῖν τοῖς δούλοις σου
πρεσβείαις τῆς τεκούσης σε
καὶ κατάπεμψον ὡς μόνος ἀγαθὸς
τῶν πλημμελημάτων τὴν συγχώρησιν·
σὺ γὰρ σωτὴρ
καὶ ῥύστης πάντων τῶν ἐλπιζόντων εἰς σέ.

**Κ**λονοῦσι προσβολαὶ τῶν ἐναντίων με
εἰς θάνατον καθέλκουσαι
ἀλλ’ ἐν πέτρᾳ με Χριστοῦ τῶν ἐντολῶν
στήριξον προφθάσασα, πανύμνητε,
καὶ πρὸς ζωὴν
ὁδήγησόν με τὴν αἰωνίζουσαν.

## ΚΑΘΙΣΜΑ

***Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.***

**Τ**ὰς χεῖράς σου τὰς θείας
εἰς τὸν κτίστην ἐβάστασας,
Παρθένε παναγία,
σαρκωθέντα χρηστότητι
προτείνασα δυσώπησον αὐτὸν
λυτρώσασθαι ἡμᾶς ἐκ πειρασμῶν
καὶ παθῶν καὶ κινδύνων
τοὺς εὐφημοῦντάς σε πόθῳ καὶ βοῶντάς σοι
δόξα τῷ ἐνοικήσαντι ἐν σοὶ
δόξα τῷ προελθόντι ἐκ σοῦ
δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Ὠδὴ ζ΄. Σὲ νοητὴν Θεοτόκε.

**Ὡ**ς τὴν πηγὴν
τῆς ζωῆς κυήσασα
τὴν νεκρωθεῖσάν μου ψυχὴν
ζωηφόρῳ σου δεξιᾷ,
πάναγνε, ἀνάστησον
καὶ βοᾶν ἀξίωσον
ἐν κατανύξει καρδίας μου
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Ν**έος Ἀδὰμ
ἐξ ἁγνῶν αἱμάτων σου
ὁ προαιώνιος Θεὸς
ἐχρημάτισεν ἀληθῶς
ὅν περ νῦν ἱκέτευε
τὸν παλαιωθέντα με
ἀνακαινίσαι κραυγάζοντα·
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Μ**ανιωδῶς
ὁ ἐχθρὸς ἐπέρχεται
ἁρπάσαι θέλων ἐπὶ γῆς
τὴν ψυχήν μου τὴν ταπεινὴν
τούτου τὰ βουλεύματα,
πάναγνε, διάλυσον
καὶ μελῳδοῦντά με οἴκτειρον
ὁ αἰνετὸς τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η΄. Ἐν καμίνῳ παῖδες.

**Λ**αμπρυνόν μου, πύλη τοῦ φωτός,
τὸ ὄμμα τῆς καρδίας
τὰ νέφη τῶν παθημάτων
καὶ τὸ σκότος τὸ βαθύ,

ἁγνή, ἀπλαύνουσα
ἵνα μέλπει πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

**Υ**πὲρ πάντων, Δέσποινα ἁγνή,
μὴ παύσῃ δυσωποῦσα
τῶν σὲ ἐπικαλουμένων
ὡς μητέρα τοῦ Θεοῦ
τὴν μόνην πανάμωμον
καὶ βοώντων πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

**Σ**ωτηρίας αἴτιον Χριστὸν
ἀφράστως ἡ τεκοῦσα
ἱκέτευε ὑπὲρ πάντων
τῶν βοώντων ἐκτενῶς,
Παρθένε πανύμνητε,
εὐλογεῖτε πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τύπον τῆς ἁγνῆς.

**Ἆ**ρον τὸ βαρὺ φορτίον μου
τῶν ἐγκλημάτων, Θεοτόκε πανύμνητε,
καὶ τὸν ἐλαφρό-
τατον ζυγὸν καταξίωσον
τοῦ υἱοῦ καὶ Θεοῦ σου βαστάζειν με
καὶ τρίβον διοδεύειν
τὴν πρὸς τὴν ἄνω λῆξιν ἄγουσαν.

**Τ**ρέμω ἐννοῶν, πανάμωμε,
τὴν φοβερὰν ἡμέραν τῆς παρουσίας
[Χριστοῦ·
ἄκαρπος γὰρ ὁ βί-
ος μου πταισμάτων πεπλήρωται
καὶ παθῶν ἡ ψυχή μου ἐμπέπλησται
ἀλλ' οἰκτειρόν με τότε
καὶ πάσης ῥῦσαι κατακρίσεως.

**Ν**εῦσον, παναγία Δέσποινα,
ταῖς τοῦ ἀχρείου δούλου σου παρακλή-
[σεσι
καὶ τὸν τῆς ψυχῆς
μου καὶ τοῦ σώματος τάραχον
εἰς βαθεῖαν γαλήνην μετάβαλε
ὅπως σε μεγαλύνω
διασωζόμενος τῇ σκέπῃ σου.

# 36
# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κῶδ. 370 φ. 14β.
Ἐθν. Βιβλ. Παρισίων

## *Ἦχος α'. Ὠδὴ α'. Ὠδὴν ἐπινίκιον.*

**Ἡ** μόνη τὸν ἄχρονον
υἱὸν ἐν χρόνῳ
τεκοῦσα σαρκούμενον,
παναγία ἄχραντε,
πάντα τὰ χρόνια
τῆς παναθλίας μου ψυχῆς
πάθη θεράπευσον.

**Τ**ὰ τραύματα, πάναγνε,
τὰ τῆς ψυχῆς μου
καρδίας τὴν πώρωσιν
λογισμοῦ τὴν σκότωσιν
καὶ τοῦ νοὸς ἐκτροπὰς
ἀφάνισον ὡς συμπαθὴς
ταῖς σαῖς δεήσεσιν.

**Τ**ὸ φῶς ἡ κυήσασα
τὸν λυτρωτήν μου
τοῦ σκότους με λύτρωσαι
καὶ βασάνων, ἄχραντε,
τῶν αἰωνίων ἐκεῖ
ὅπως σωζόμενος ὑμνῶ
τὰ μεγαλεῖά σου.

Ὠδὴ γ'. Στερεωθήτω ἡ καρδία μου.

**Τ**ῆς στειρευούσης διανοίας μου
ἀκαρπίαν πᾶσαν ἀφάνισον
καὶ καρποφόρον ἀρεταῖς
τὴν ψυχήν μου ἀνάδειξον,
παναγία Θεοτόκε
τῶν πιστῶν ἡ βοήθεια.



**Ῥ**ῦσαί με πάσης κατακρίσεως
καὶ πολλῶν σκανδάλων τοῦ ἄφεως
τοῦ αἰωνίζοντος πυρὸς
καὶ τοῦ σκότους, πανάμωμε,
ἡ τὸ φῶς ἀποτεκοῦσα
βροτοῖς τὸ ἀνέσπερον.

**Τ**ὸ ἀπαραίτητον κριτήριον
καὶ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον
καὶ τὴν ἀπόφασιν, ἁγνή,
τὴν φρικτὴν ὅλως δέδοικα
σῶσον πρὸ τέλους,
ἀγαθή, τὸν οἰκέτην σου.

Ὠδὴ δ'. Ἐν πνεύματι προβλέπων.

**Π**αρθένε παναγία
ἀμόλυντε σκηνή
μολυνθέντα πάθεσι
καθάρισόν με νῦν
τῶν οἰκτειρμῶν σου ῥανίσι καθαρω-
[τάταις
καὶ δός μοι χεῖρα βοηθείας ἵνα κράζω·
δόξα σοι, ἁγνὴ θεοδόξαστε.

**Ν**αὸς ἡγιασμένος
ἐδείχθης τοῦ Θεοῦ
τοῦ ἐν σοὶ οἰκήσαντος,
Παρθένε, ὑπὲρ νοῦν
αὐτὸν δυσώπει ἁμαρτιῶν ἡμᾶς ῥύπου
ἀποκαθᾶραι ὅπως οἶκος γνωρισθῶμεν
καὶ κατοικητήρια Πνεύματος.

**Ἐ**λέησόν με μόνη
ἐλέους τὴν πηγήν,
Θεοτόκε, τέξασα
καὶ λῦσον τὴν δεινὴν
ψυχῆς μου νόσον καὶ πώρωσιν τῆς
[καρδίας
δακρύων ῥεῖθρα καὶ κατάνυξιν πρὸ τέ-
[λους
θείαν δωρουμένη πρεσβείᾳ σου.

Ὠδὴ ε'. Τὴν σὴν εἰρήνην.

**Ν**εκρόν με εἰργάσατο
ποτὲ ἐν τῇ Ἐδὲμ
γεῦσις πονηρὰ
ζωὴν δὲ κυήσασα,
ἁγνή, τὸν ξύλῳ πάλαι θνήξαντα
ζωοποίησον νῦν με
καὶ βράβευσον εἰρήνην.

**Δ**ιάσωσον, πάναγνε,
κινδύνων χαλεπῶν
ἔγειρον παθῶν
κοπρίας καὶ ῥῦσαί με
αἰχμαλωσίας καὶ κακώσεως
τῶν πονηρῶν δαιμόνων
τὸν σὸν ἀχρεῖον δοῦλον.

**Τ**ὰς κόρας τῆς καρδίας μου
διάνοιξον, ἁγνή,
βλέπειν με τρανῶς
τὴν θείαν λαμπρότητα
καὶ τὴν σὴν δόξαν τὴν ἀνέκφραστον
ὅπως ἐλέους τύχω
καὶ αἰωνίου δόξης.

Ὠδὴ ς'. Τὸν προφήτην Ἰωνᾶν.

**Μ**ολυνθέντα με πολλαῖς
ἁμαρτίαις δυσωπῶ
σὲ τὴν ὄντως ἀγαθὴν
καὶ ἀμόλυντον σκηνὴν
ἀπόπλυνον
παντοίου ῥύπου
τῇ μεσιτείᾳ σου.

**Κ**υβερνήτις μοι γενοῦ
θαλαττεύοντι ἀεὶ
ἐν πελάγει χαλεπῶν
τῶν τοῦ βίου πειρασμῶν
καὶ σῶσόν με
πρὸς σωτηρίας
ὅρμον ἰθύνουσα.

**Τ**ρικυμίαι λογισμῶν
καὶ παθῶν ἐπαγωγαὶ
καὶ βυθὸς ἁμαρτιῶν
τὴν ἀθλίαν μου ψυχὴν
χειμάζουσι
βοήθησόν μοι,
ἁγία δέσποινα.

# ΚΑΘΙΣΜΑ

## *Ἦχος α'.*

**Ἄ**ρρηκτον τεῖχος κεκτημένοι πιστοὶ
τὴν Θεοτόκον Μαρίαν

δεῦτε προσκυνήσωμεν
καὶ προσπέσωμεν αὐτῇ·
παρρησίαν γὰρ ἔχει
πρὸς τὸν τεχθέντα ἐξ αὐτῆς
καὶ πρεσβεύειν καὶ σῴζειν
ἀπὸ ὀργῆς καὶ θανάτου τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ ζ'. Τοὺς ἐν καμίνῳ παῖδάς σου.

**Τ**ὴν μιανθεῖσαν πάθεσι πολλοῖς
ψυχήν μου ἁγίασον, θεόνυμφε ἁγνή,
καὶ τοῦ νοὸς
δεινὰς αἰχμαλωσίας
καὶ καρδίας πώρωσιν
καὶ τῶν δαιμόνων ὁρμὰς
τάχος ἀφάνισον.

**Ν**ενεκρωμένον πάθεσι σαρκός, πανάμωμε, ζώωσον τὸν νοῦν μου καὶ Θεῷ
τὰ ἀρεστὰ
ἐπιτελεῖν ἐνίσχυσόν με
ἵνα μεγαλύνω σε
ἵνα δοξάζω ἀεὶ
τὴν εὐσπλαγχνίαν σου.

**Ν**έκρωσόν μου, Δέσποινα ἁγνή,
τὰ τῆς σαρκὸς πάθη καὶ ψυχῆς μου ταπεινῆς
ῥύπον δεινὸν
ἀποσμήχουσα, Παρθένε,
καὶ λογοθεσίου με
καὶ ἀοράτων ἐχθρῶν
ῥῦσαι καὶ σῶσόν με.

Ὠδὴ η'. Ὃν φρίττουσιν ἄγγελοι.

**Σ**αρκοῦται ὁ ἄσαρκος
ἐκ σοῦ θεοπρεπῶς
ὃν αἴτησαι, πάναγνε,
τὰ πάθη τῆς ἐμῆς
ψυχῆς θανατῶσαι
καὶ ζωῶσαί μου
τὴν νενεκρωμένην
ψυχὴν ταῖς ἁμαρτίαις.

**Ἴ**ασαι τὸ σύντριμμα
Ἀδὰμ τοῦ χοϊκοῦ
σωτῆρα κυήσασα,
πανάχραντε, Θεὸν
αὐτὸν ἐκδυσώπει
τὰς πληγὰς τῆς ἐμῆς
ψυχῆς θεραπεῦσαι
ἀνίατα νοσούσης.

**Ἀ**νάστησον κείμενον
εἰς βάθη με κακῶν
τοὺς νῦν πολεμοῦντάς με
πολέμησον ἐχθρούς
τρωθέντα ἀτόποις
ἡδοναῖς τὴν ψυχήν,
ἁγνή, μὴ παρίδῃς
ἀλλ' οἴκτειρον καὶ σῶσον.

Ὠδὴ θ'. Τὴν φωτοφόρον νεφέλην.

**Φ**ιλαμαρτήμων ὑπάρχων
ἐν ἀμελείᾳ διάγω
καὶ τὸ κριτήριον, ἁγνή,
τὸ ἀδέκαστον τρέμω
ἐν ᾧ με τήρησον ταῖς σαῖς
ἁγίαις δεήσεσι,
Θεόνυμφε,
ἀκατάκριτον ὅπως
ὡς προστάτιν
μακαρίζω σε ἀεί.

**Φ**ρίττω τὸ βῆμα, Παρθένε,
καὶ τὸ ἀλάθητον ὄμμα
τοῦ σοῦ υἱοῦ πράξας πολλὰς
ἐπὶ γῆς ἁμαρτίας
καὶ διὰ τοῦτό σοι βοῶ,
πανεύσπλαγχνε Δέσποινα,
βοήθει μοι
καὶ τῆς τότε ἀνάγκης
ἐξελοῦ με
καὶ διάσωσον, ἁγνή.

**Ὡ**ς φοβερὰ ἡ ἡμέρα
τῆς ἐξετάσεως κόρη,
ὡς ἡ ἀπόφασις φρικτὴ
ὡς δεινὴ ἡ αἰσχύνη!
τίς ὑποστήσεται λοιπόν,
πανάχραντε Δέσποινα,
ἐλέησον
τὴν ἀθλίαν ψυχήν μου
καὶ πρὸ τέλους
δός μοι ἄφεσιν, ἁγνή.



# 37

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κώδ. 354 φ. 5α
Ἐθν. Βιβλ. Παρισίων

***Ἦχος α'. Ὠδὴ α'. Σοῦ ἡ τροπαιοῦχος.***

**Ἀ**ρρήτως συνέλαβες Θεὸν
καὶ ὑπὲρ φύσιν αὐτὸν ἀπεκύησας,
Δέσποινα πανάχραντε,
τοὺς γηγενεῖς πταισμάτων ἀπαλλάττοντα·
ὅθεν δυσωπῶ σε
πολλῶν πταισμάτων με λύτρωσαι.

**Π**ελάγει βυθίζομαι δεινῷ
ἁμαρτιῶν ἀμετρήτων καὶ θλίψεων
ἀλλὰ κυβερνήσει σου
τῆς δυνατῆς πρεσβείας, παναμώμητε,
πρὸς γαλήνην θείαν
τῆς μετανοίας καθόρμισον.

**Π**άσης μου προέστης τῆς ζωῆς
ἀπὸ κινδύνων πολλῶν ῥυσαμένη με
καὶ εὐχαριστήριον
φωνήν σοι ᾄδω, Θεοτόκε ἁγνή,
ἀλλὰ καὶ μελλούσης
ἀφάρπασόν με κολάσεως.

**Τ**ὰς πειρατικὰς ἐπιφοράς
καὶ τῶν κινδύνων τὴν ζάλην κατεύνασον,
μῆτερ παναμώμητε
τοῦ λυτρωτοῦ καὶ κτίστου καὶ Θεοῦ ἡμῶν
χάριν σωτηρίας
καὶ ἱλασμόν μοι βραβεύουσα.

Ὠδὴ γ'. Ὁ μόνος εἰδώς.

**Τ**ὸ εἶδος μορφῆς σου τῆς σεπτῆς
ἀγγέλοις μὲν αἰδέσιμον
τοῖς δὲ βροτοῖς ὑπάρχει σωτήριον,
τοῖς πνεύμασι δὲ τῆς πονηρίας φρικτόν,
ὅπερ πίστει σέβοντες
καὶ κατασπαζόμενοι,
Θεοτόκε, ψυχὰς φωτιζόμεθα.

**Α**ἱμάτων ἐκ σοῦ παρθενικῶν
τὴν σάρκα ὑπεστήσατο
τὴν ἑαυτοῦ ὁ κτίστης καὶ Κύριος
ὃν καθικέτευε, παναμώμητε,
τὸν καταφθαρέντα με
ταῖς ἀτόποις πράξεσι
κατοικτεῖραι δι' ἄφατον ἔλεος.

**Ζ**ωῆς κεκτημένος σε φρουρὸν
καὶ τεῖχος ἀπροσμάχητον
καὶ μετὰ τέλος σκέπην σε εὕροιμι
καὶ προστασίαν ἀκαταμάχητον
πρὸς Θεὸν εἰσάγουσαν
καὶ ζωὴν αἰώνιον
αἰωνίαν καὶ δόξαν, πανάμωμε.

**Ἡ** σύλληψις ἄσπορος, ἁγνή,
ὁ τόκος ἀδιάφθορος·
Θεὸς γὰρ ἦν σαφῶς ὁ γεννώμενος
βροτείας φύσεως τὴν κατάπτωσιν
ἐπανακαλούμενος·
ὅθεν Θεοτόκον σε
ἀληθῶς καὶ κυρίως γεραίρομεν.

Ὠδὴ δ'. Ὄρος σε τῇ χάριτι.

**Ἄ**σχετος ὁρμὴ πρὸς τὸ κακὸν ὑποσύρει με
τῇ συνεργείᾳ τοῦ ἐχθροῦ
καὶ συνηθείᾳ πονηρᾷ
βοήθει με, Δέσποινα,
μὴ παντελῶς ὁ ὄλεθρος ἐπιπέσῃ μοι
διὰ θανάτου κωλύων μετάνοιαν.

**Ὅ**λον μου τὸν χρόνον τῆς ζωῆς ἐξηνάλωσα
ἐν ἀσωτείαις πονηραῖς
καὶ πλημμελείαις χαλεπαῖς
καὶ νῦν κατεπείγουσι
τὴν ταπεινὴν ψυχήν μου ταύτης οἱ πράκτορες,
θεογεννῆτορ Παρθένε, βοήθει μοι.

**Ἄ**κουσον φωνῆς μου κατωδύνου, πανάμωμε,

ἣν ἐκ βαθέων τῆς ψυχῆς
προσάγω μετὰ στεναγμῶν
καὶ λύσιν παράσχου μοι
τῶν ὀφειλῶν ὧν εἰργασάμην ὁ ἄθλιος
ἐκ διανοίας καὶ γνώμης παράφρονος.

*Δ*έσποινα τοῦ κόσμου Θεοτόκε, βοήθει μοι
ὁ πονηρότατος ἐχθρὸς
καταπιέζει σφοδρῶς
δειναῖς ἐνθυμήσεσι
τοῖς λογισμοῖς τοῖς ἐκ Θεοῦ με χωρίζουσι·
μὴ οὖν ἀπώσῃ με μηδὲ παρίδῃς με.

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

*Σ*ὲ ἑτοίμην
πρὸς τὸ σώζειν βοήθειαν κέκτημαι
διὰ τοῦτο
σοὶ προσπίπτω καὶ κράζω σὺν δάκρυσι,
Θεοτόκε, ῥῦσαί με
ἐκ τῶν βελῶν τοῦ ἀλλοτρίου
καὶ τῆς μελλούσης ἐτάσεως.

*Σ*ὺ ἰσχύς μου
καὶ σὺ καύχημα καὶ ἀγαλλίαμα
καὶ φρουρός μου
καὶ ἀντίληψις καὶ καταφύγιον
καὶ προστάτις ἄμαχος,
ὑπεραγία Θεοτόκε,
διό με σῶζε τὸν δοῦλόν σου.

*Ρ*υπωθεῖσαν
τὴν ἀθλίαν ψυχήν μου τοῖς πάθεσι
τῷ ὕσσώπῳ
τῆς ἐνθέου πρεσβείας σου κάθαρον,
Θεοτόκε ἄχραντε,
παρεχομένη σωτηρίας
ταύτῃ φαιδρότατον ἔνδυμα.

*Ἐ*ν ζωῇ μου
ἀσφαλής μοι κυβέρνησις γέγονας
τρικυμίας
λυτρουμένη πολλῶν περιστάσεων
καὶ ἐν τῇ ἐξόδῳ μου
δέομαί σου παράστηθί μοι
σώζουσα, μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Ὠδὴ στ'. Ἐκύκλωσεν ἡμᾶς.

*Ἀ*νάστηθι, σεμνή, εἰς τὴν βοήθειαν
τοῦ δούλου σου τοῦ ἔχοντος
τὰς ἐλπίδας ἑαυτοῦ μετὰ Θεὸν
πρὸς τὴν σὴν ἀντίληψιν τὴν ἄμαχον
μὴ ὁ ἐχθρὸς
ἰσχύσας λάβῃ καὶ ἀφανίσῃ με.

*Ἀ*νάμφευτε θεογεννήτορ ἄχραντε
τὴν χεῖρά σου ἔκτεινον
καὶ ἐξάρπασον ἐκ βάθους τῶν κακῶν
ὧν ἐξ ἀφροσύνης προεξένησα
ἐμῇ ψυχῇ
τῇ ταλαιπώρῳ ὁ ἀθλιώτατος.

*Ν*οσούντων ἰατρὸν πταιόντων ἔγερσιν
πταιόντων ἱλαστήριον,
Θεοτόκε, σε γινώσκων ἀσφαλῶς
δάκρυσι προσπίπτω σοι καὶ κράζω σοι
ὡς δυνατὴ
αὐτή με σῶσον τὸν ἀπολλύμενον.

*Ἐ*λέησον, ἁγνή, τὴν ταπεινήν μου ψυχὴν
καὶ πρόφθασον ἁρπάζουσα
καὶ ἐξαίρουσα αὐτὴν τοῦ πονηροῦ·
σπεύδει γὰρ εἰς χάος παραπέμψαι αὐτὴν
διὰ κακῶν
ὧν ῥαθυμίᾳ πολλῇ ἐξειργάσατο.

## ΚΑΘΙΣΜΑ

***Ἦχος α'. Τὸν τάφον σου σωτήρ.***

*Π*ρεσβείαν πρὸς Θεὸν
κεκτημένοι σε πάντες
προστρέχομεν, σεμνή,
τῷ ἁγίῳ ναῷ σου
αἰτούμενοι συγχώρησιν
παρὰ σοῦ, ἀειπάρθενε,
ῥῦσαι οὖν ἡμᾶς
τῆς τῶν δαιμόνων κακίας
καὶ κολάσεως
καὶ καταδίκης φρικώδους
τοὺς σὲ μακαρίζοντας.



Ὠδὴ ζ'. Σὲ νοητὴν Θεοτόκε κάμινον.

*Θ*εία σκηνὴ
τοῦ Δεσπότου γέγονας
ὡς συλλαβοῦσα ἐν γαστρὶ
καὶ τεκοῦσα τοῦτον σαρκί,
μόνη πανάμωμε,
ὅθεν ἡμᾶς λύτρωσαι
παθῶν καὶ νόσων καὶ θλίψεων
καὶ ὀφειλῶν· καὶ γὰρ ἔχεις
ἰσχὺν καὶ δυναστείαν πολλήν.

*Π*αῦσον, σεμνή,
πόνον τὸν ἀφόρητον
τὸν τῆς ἀθλίας μου ψυχῆς
τὴν χαράν μοι τὴν ἀληθῆ,
Δέσποινα, βραβεύουσα
λῦσον μοι πταισμάτων μου
τὸν πολυτάραχον κλύδωνα·
σὺ γάρ μου εἶ καταφύγιον τε καὶ ἀπολύτρωσις.

*Ὅ*λην ἐν σοὶ
τὴν ἐλπίδα τίθημι
τῆς σωτηρίας τῆς ἐμῆς
σὲ γὰρ κέκτημαι βοηθὸν
καὶ ἀκαταμάχητον
τεῖχος καὶ κραταίωμα
καὶ ἀσφαλείας βεβαίωσιν
καὶ διὰ σοῦ βασιλείας
τυχεῖν ἐλπίζω, Δέσποινα.

*Ἀ*νατολὴ
τοῦ ἡλίου γέγονας
τῆς δόξης, Δέσποινα σεμνή,
διὰ σοῦ γὰρ ἐπιφανεὶς
πάντας ἠλευθέρωσε
σκότους ἀγνωσίας τε
καὶ ζοφερῶν παραπτώσεων·
ὅθεν βοῶ ἐξωτέρου
με σκότους ἐλευθέρωσον.

Ὠδὴ η'. Ἐν καμίνῳ παῖδες Ἰσραήλ.

*Π*αθημάτων τάραχος δεινὸς
ἐκθλίβει τὴν ψυχήν μου
γαλήνης τε καὶ εἰρήνης
ἡ τὸν αἴτιον, ἁγνή,
καὶ πάροχον τέξασα,
Θεοτόκε, ἐν εἰρηναίᾳ
φρουροῦσα καταστάσει
γαλήνης με πλῆσον
λαμπρᾶς καὶ εὐφροσύνης.

*Σ*ωτηρίας πρόξενος ἡμῖν
ἐφάνης, Θεοτόκε,
γεννήσασα τὸν σωτῆρα
καὶ δεσπότην τοῦ παντός·
διὸ ἱκετεύω σε
σωτηρίας καταξιῶσαι
τὴν ταπεινήν ψυχήν μου
τοῦ ὑμνολογεῖν σε
πιστῶς εἰς τοὺς αἰῶνας.

*Ἡ* τὸν κτίστην πάντων καὶ Θεὸν
ἀρρήτως συλλαβοῦσα
διάσωσον ἐκ φθορᾶς με
καὶ παντοίων πειρασμῶν
καὶ δίδου κραυγάζειν ἀεὶ
εὐλογεῖτε πάντα τὰ ἔργα
τὸν Κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

*Τ*ὸν τῶν ὅλων κτίστην καὶ Θεὸν
ὃν ἔτεκες, Παρθένε,
δυσώπησον τοῦ δωρήσασθαι
πταισμάτων ἱλασμὸν
καὶ θλίψεων λύτρωσιν
καὶ κινδύνων καὶ αἰωνίου
πυρὸς καὶ καταδίκης
τοῖς ὁμολογοῦσι
τὴν σὴν ἀπαύστως δόξαν.

Ὠδὴ θ'. Τύπος τῆς ἁγνῆς λοχείας σου.

*Μ*ήτηρ τοῦ Θεοῦ πανάμωμε
τὰ συμπαθῆ σου σπλάγχνα ἐμοὶ ὑπάνοιξον
καὶ ἐκ στόματος
τοῦ νοητοῦ λύκου ῥῦσαί με
τοῦ ζητοῦντος ὀλέσαι καὶ φθεῖραί με
ἐλέησον αἰτῶ σε
μὴ ἀποστρέψῃς με τὸν δοῦλόν σου.

*Π*άσης τῆς ζωῆς μου γέγονας
καὶ προστασία καὶ βεβαία ἀντίληψις
καὶ ἐρρύσω με

πολλῶν κινδύνων καὶ θλίψεων
καὶ ἐχθρῶν γλωσσαλγίας, πανάχραντε,
ἀλλὰ καὶ τοῦ πυρός με
τοῦ αἰωνίου ἀπολύτρωσαι.

**Μ**όνη ἀσθενῶν ἐπίσκεψις
μόνη πιπτόντων ἐπανόρθωσις, Δέσποινα,
μόνη πρὸς Θεὸν
χειραγωγία καὶ εἴσοδος
μόνη πρόξενος τῶν αἰωνίων καλῶν
ἐλέησόν με μόνον
τὸν ὑπὲρ πάντας πλημμελήσαντα.

**Δ**έχου τὴν ἐμὴν σὺν δάκρυσι
νῦν ἱκεσίαν καὶ παράσχου μοι ἄφεσιν
ὧν ἐξήμαρτον
πλημμελημάτων πολλῶν καὶ κακῶν,
Θεοτόκε πανύμνητε Δέσποινα,
εἰς τέλος γὰρ ἐκλείπω
ἐκ τῆς ἀμέτρου ἀπογνώσεως.

## 38

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

### ΟΤΑΝ ΚΟΛΥΜΒΟΙ ΑΓΙΑΣΜΑΤΩΝ ΕΙΣΙ

οὗ ἡ ἀκροστιχὶς

« ***Λουτρῷ σῷ πταισμάτων πλύνον κόρη Ἰωσήφ.*** »

Κώδ. 97 σελ. 99 Ξηροποτάμου.

ΠΟΙΗΜΑ ΙΩΣΗΦ ΤΟΥ ΥΜΝΟΓΡΑΦΟΥ

***Ἦχος α΄. Ὠδὴ α΄. Ὠδὴν ἐπινίκιον.***

**Δ**αβὶς θείου ἄνθρακος
πηγὴ τοῦ ζῶντος,
πανύμνητε, ὕδατος
τῇ θερμῇ πρεσβείᾳ σου
ἐναποκάθαρον
τὸν τῆς ψυχῆς μου μολυσμὸν
ὅπως ὑμνήσω σε.

**Ὁ** πόκος ὁ ἔμψυχος
τῆς θείας δρόσου,
Μαρία θεόνυμφε,
τὰς ψυχὰς τῶν δούλων σου
αἰτοῦμεν δρόσισον
τῆς ἁμαρτίας τῷ φλογμῷ
κατακαείσας δεινῶς.

**Ὑ**πάρχουσα ἅγιος
ναὸς τοῦ Λόγου
ἐν οἴκῳ ἁγίῳ σου
τοὺς πιστῶς, πανύμνητε
ἁγνή, προστρέχοντας
ἁγίασον καὶ ψυχικοῦ
ῥύπου ἀπόπλυνον.

**Τ**ὴν μόνην ἀμόλυντον
ἐκδυσωπῶ σε
τὰ πάθη μου ἴασαι
ψυχῆς καὶ τοῦ σώματος·
τὸν ἰατρὸν γὰρ τῶν ψυχῶν
ἀποκυήσασα σαρκὶ
Χριστὸν τὸν Κύριον.

Ὠδὴ γ΄. Στερεωθήτω ἡ καρδία μου.

**Ῥ**ύπον ἐκπλύνων τῶν παθῶν ἡμῶν
καὶ πηγάζων πᾶσιν ἰάματα
ὁ σὸς ναὸς τοῦ Σιλωὰμ
ὡς ἀνώτερος, Δέσποινα·
ὅθεν πίστει σε καὶ πόθῳ
ἐν αὐτῷ μακαρίζομεν.

**Ὡ**ς φοβερά σου τὰ τεράστια!
ὡς σεπτὸς ὁ οἶκός σου, Δέσποινα!
ἐν ᾧ προστρέχοντας ἀεὶ
ἁγιάζεις τοὺς δούλους σου
ἀποσμήχουσα παθῶν
καὶ λογισμῶν καὶ κακώσεων.



**Σ**ταγὼν καθάπερ ἐν τῇ μήτρᾳ σου
τῆς ζωῆς πηγὴ καταβέβηκεν
ὁ ὑπεράγαθος Θεὸς
ὃν δυσώπει, πανάμωμε,
ἀναβλύσαι ἱλασμὸν
καὶ φωτισμὸν ταῖς ψυχαῖς ἡμῶν.

**Ὤ**φθης, Παρθένε, θρόνος πύρινος
τοῦ βουλήσει σάρκα φορέσαντος
ὃν ἐπὶ θρόνου φοβεροῦ
ὅταν μέλλῃ καθέζεσθαι
ἐκδυσώπει τῆς γεέννης
τοῦ πυρὸς ἡμᾶς ῥύσασθαι.

Ὠδὴ δ΄. Ἐν πνεύματι προβλέπων.

**Π**ηγάζουσα, Παρθένε,
τὸν θεῖον γλυκασμὸν
τῆς πικρίας λύτρωσαι
ἡμᾶς τῶν δυσχερῶν
καὶ τὸν ἐνόντα ταῖς καρδίαις ἡμῶν ῥύπον
ἐξ ἁμαρτίας τῷ λουτρῷ τῆς σῆς πρεσβείας,
Δέσποινα τοῦ κόσμου, ἀπόπλυνον.

**Τ**ὰ ἕλκη τῆς ψυχῆς μου,
ἁγνή, τὰ χαλεπὰ
τῇ μοτώσει κάθαρον
τῶν θείων πρεσβειῶν
καὶ ὑγιῆ με ἀποκατάστησον ὅπως
ἐν εὐφροσύνῃ εὐχαρίστως σε δοξάζω,
μόνη τῶν ἀνθρώπων βοήθεια.

**Ἁ**γία Θεοτόκε
ἐλέησον ἡμᾶς
ἡ τὸν ὑπεράγιον
κυήσασα σαρκὶ
ὁμοιωθῆναι θελήσαντα τοῖς ἀνθρώποις
καὶ οὐρανίου βασιλείας πάντας δεῖξον
μετόχους πρεσβείαις σου, Δέσποινα.

**Ἰ**δοὺ τὸ μέγα ὄρος
κατάσκιον ποτὲ
ὅπερ ἐθεάσατο
ὁ μέγας Ἀββακοὺμ
ἡ Θεομήτωρ ἐξ ἧς Θεὸς ἐσαρκώθη
ὕδωρ πηγάσας ἀφθαρσίας τοῖς βοῶσι
δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε΄. Τὸ φαεινὸν ἡμῖν ἐξαπόστειλον.

**Σ**τάμνος τοῦ μάννα σε προετύπωσεν
ἔνδον φέρουσαν
τὸν γλυκαίνοντα
Μερρᾶς τὰ ὕδατα καὶ τὴν πικρίαν
πᾶσαν τῶν ψυχῶν ἡμῶν
ἐξαίροντα, ἄχραντε.

**Μ**όνη ἐκύησας τὸν ἀόρατον
σάρκα φορέσαντα
τὸν ἐκβλύσαντα
ἐκ πέτρας ὕδωρ ὃν ἐκδυσώπει
πταισμάτων τὴν ἄφεσιν
ὀμβρίσαι τοῖς δούλοις σου.

**Ἀ**νατολήν σε νῦν ὀνομάζομεν
τοῦ ἀνατείλαντος
ἐκ λαγόνων σου
ἡλίου, ἄχραντε, ὃν ἐκδυσώπει
σκότους ἡμᾶς ῥύσασθαι
τοὺς σὲ μακαρίζοντας.

**Τ**ὰ διαβήματα τῶν ψυχῶν ἡμῶν,
κόρη, κατεύθυνον
εἰς ὁδὸν εἰρήνης
πάντοτε τῶν ἐναντίων
καθυποσκελίζουσα
τὰς βάσεις, πανάμωμε.

Ὠδὴ ς΄. Τὸν προφήτην Ἰωνᾶν.

**Ὡ**ραιότατος ναὸς
τοῦ οἰκήσαντος ἐν σοὶ
δεδειγμένη Μαριὰμ
τοὺς τῷ θείῳ σου ναῷ
προστρέχοντας
καλῶν ἰδέαις
νῦν καθωράϊσον.

**Ν**ομική σε ἡ σκηνὴ
προετύπου ἐμφανῶς
ἁγιάσματος σκηνὴν
τοῦ τὴν θείαν σου σκηνὴν
δεικνύοντος
χειμαζομένων
λιμένα εὔδιον.

**Π**ροσελθόντες μυστικῶς
ἀπαντλήσατε πιστῶς
εὐρωστίαν τῶν ψυχῶν

καὶ ὑγείαν τῶν παθῶν
ἡ πάναγνος
πηγάζει πᾶσι
ῥῶσιν καὶ ἔλεος.

**Λ**όγον σύνθρονον πατρὸς
ἐσωμάτωσας, ἁγνή,
ἀλογίας τῶν παθῶν
ἐκλυτρούμενον ἡμᾶς
τοὺς λόγοις σε
ἐνθέοις, κόρη,
πόθῳ γεραίροντας.

Ὠδὴ ζ'. Τῶν ἐν καμίνῳ παίδων σου.

**Ὑ**ψηλοτέρα ὤφθης οὐρανῶν
κυήσασα τὸν δημιουργήσαντα τὴν γῆν
ὃν ἐκτενῶς
καθικετεύουσα μὴ παύσῃ,
παναγία Δέσποινα,
κινδύνων σῶσαι ἡμᾶς
τοὺς σοὶ προστρέχοντας.

**Ν**όσους σωμάτων ἅμα καὶ ψυχῶν
ὁ ἱερὸς κόλυμβος καθαίρει ἀληθῶς
ὃν τῇ φρικτῇ
ἐπιστασίᾳ ἁγιάζεις,
Θεοτόκε ἄχραντε,
αἴρουσα πάσας ἡμῶν,
τὰς ἀσθενείας ἀεί.

**Ὁ** σὸς ναὸς ὡς θεῖος ποταμὸς
πεπλήρωται μυστικῶν ὑδάτων δαψιλῶς
τῶν σῶν, ἁγνή,
καὶ ἰαμάτων παραδόξων
ὧν ἐκβλύζεις πάντοτε
ὄμβροις παντοίων παθῶν
ἀποξηραίνουσα.

**Ν**εῦσον ἡμᾶς σωθῆναι, ἀγαθή,
τὸν ἀγαθὸν τέξασα Θεὸν καὶ λυτρωτὴν
ῥῦσαι ἡμᾶς
ἀπὸ σκανδάλων πολυτρόπων
ἀπὸ πάσης θλίψεως
ἀπὸ παθῶν καὶ φθορᾶς,
Θεογεννῆτορ ἁγνή.

Ὠδὴ η'. Ὃν φρίττουσιν ἄγγελοι.

**Κ**ατάκαρπος ἄμπελος
ὑπάρχουσα, ἁγνή,
τὸν βότρυν τὸν πέπειρον
ἐβλάστησας πιστοῖς
πηγάζοντα οἶνον
ἐπιγνώσεως
καὶ τῆς ἁμαρτίας
ἐξαίροντα τὴν μέθην.

**Ὁ** θεῖός σου κόλυμβος
ἰάματα ἡμῖν
πηγάζει προστάξει σου,
Θεόνυμφε ἁγνή,
διὸ ὡς αἰτίαν
τῶν καλῶν σε ἀεὶ
πάντες ἀνυμνοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

**Ρ**υπῶντας τοῖς πάθεσι
ἀπόπλυνον ἡμῶν
καρδίας καὶ σώματα,
Παρθένε Μαριάμ,
καὶ δίδου ὁσίως
πολιτεύεσθαι νῦν
τοὺς ὑπὸ τὴν σκέπην
τὴν σὴν προσπεφευγότας.

**Ἡ** πύλη τῆς χάριτος
πεντάνασσα ἁγνή,
τοῖς δούλοις σου ἄνοιξον
βοῶμεν ἐκτενῶς
ἐλέους σου πύλας
λυτρουμένη ἡμᾶς
ἐκ πυλῶν θανάτου
τῆς δεινῆς ἁμαρτίας.

Ὠδὴ θ'. Τὴν φωτοφόρον νεφέλην.

**Ἰ**δοὺ ὁ ἅγιος οἶκος
ὁ ἁγιάζων τοὺς πάντας·
ἰδοὺ ὁ τόπος τοῦ Θεοῦ
ὁ παράδοξος ὄντως·
ἰδοὺ ἡ κλίνη Σολομῶν
ἐν ᾗ ἀνεπαύσατο
ὁ Κύριος
ἡ παρθένος Μαρία
τῶν ἀνθρώπων
ἡ σεπτὴ καταφυγή.

**Ὡ**ς θαυμαστός ἐστιν οὗτος
ὁ εὐκλεέστατος δόμος



ἐν ᾧ ὁ οἶκος τοῦ Θεοῦ
ἡ ἁγία Παρθένος
ἐπιφοιτῶσα θαυμαστῶς
ναοὺς ἀπεργάζεται
τοῦ Πνεύματος
τῶν πιστῶν τὰς καρδίας
ἀπὸ πάσης
ἐκκαθαίρουσα φθορᾶς.

**Σ**τῆσον παθῶν μου χειμάρρους
ἡ τὸν οὐράνιον ὄμβρον
ἐν τῇ γαστρί σου ὑπὲρ νοῦν
δεξαμένη, Παρθένε,
καὶ κατανύξεως πηγὴν
κατάκαρπον δέομαι,
ἀνύμφευτε,
τῇ ἀθλίᾳ ψυχῇ μου
ξηρανθείσῃ
τῶν δεινῶν ἐπαγωγαῖς.

**Ἡ** ὑπερώνυμος κόρη
τοῦ Ἰεσσαὶ θεία ῥάβδος
τὸν φυτουργὸν καὶ ποιητὴν
ἐξανθήσασα μόνη
παραφυάδας τῶν παθῶν
ψυχῆς ἐμῆς ξήρανον
καὶ ποίησον
κατανύξεως κλάδους
ἐκβλαστάνειν
διανοίᾳ καθαρᾷ.

**Φ**ιλαμαρτήμονα γνώμην
καὶ ἀδιόρθωτον βίον
καὶ πλημμελήσασαν ψυχὴν
καὶ καρδίαν ῥυπῶσαν
ἔχων ὁ ἄσωτος ἐγὼ
προσπίπτω σοι, Δέσποινα,
βοήθει μοι
καὶ διόρθωσιν δίδου
πρίν με φθάσει
τοῦ θανάτου ἡ τομή.

---

# 39
# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κώδ. 1001 φ. 11
Βατοπεδίου.

*Ἦχος α'. Ὠδὴ α'. Ὠδὴν ἐπινίκιον.*

**Τ**ὸ δένδρον τὸ ἄκαρπον
ἐγὼ ὑπάρχω
καὶ νῦν ἡ ἀξίνη με
ἀπειλεῖ πρὸς θάνατον,
Δέσποτα Κύριε·
διὸ πρὸ τέλους μοι καρπὸν
δίδου μετάνοιαν.

**Β**οήθειαν, Δέσποινα,
τὴν σὴν αἰτοῦμαι
βοήθησον πρόφθασον
πειρασμῶν ἐξάρπασον
τῶν συνεχόντων με·
ὅτι πρὸς σὲ τὴν ἀγαθὴν
πίστει κατέφυγα.

**Τ**ὸ ἄμα, πανύμνητε,
τὸ τῆς ψυχῆς μου
πρὸς σὲ ἀνεπέτασα
ἐκ πολλῶν κακώσεων
κεκρατημένος ἀεί·
διὸ βοῶ σοι ἐκτενῶς
μὴ ὑπερίδῃς με.

**Ἀ**ντίληψιν, Δέσποινα,
τὴν σὴν παράσχου
τῷ δούλῳ σου κάμνοντι
νοσεροῖς παθήμασι
τοῖς τῆς ψυχῆς μου· διὸ
ταῖς ἱκεσίαις σου, ἁγνή,
πρόφθασον, σῶσόν με.

Ὠδὴ γ'. Λίθον ὃν ἀπεδοκίμασαν.

**Δ**εῦρο, ὦ ψυχὴ ταλαίπωρε,
δεῦρο εὐτρεπίζου δεῦρο ἑτοιμάζου

πρίν σε καταλάβῃ
ἡ τελευταία ὥρα
καὶ στέναξον βόησον
ἥμαρτον νῦν, σωτήρ, ἱλάσθητί μοι.

**Δ**έξαι, Δέσποινα, τὸν δοῦλόν σου
τὸν ἡμαρτηκότα δέξαι μὴ παρίδῃς
ἐν δάκρυσι βοῶντα
καὶ στεναγμοῖς καρδίας
βοήθησον ἐν ἀπορίᾳ ὄντα
καὶ ῥῦσαί με ἐκ δεινῶν τῶν ἀμέτρων.

**Σ**πεῦσον μὴ βραδύνῃς, ἄχραντε,
προστατεῖν καὶ σκέπειν σπεῦσον μὴ [παρίδῃς
τὸν ἐν ἀνάγκαις ὄντα
πρὸς σὲ γὰρ τὰς ἐλπίδας
ἐκ βρέφους ἀνέθηκα καὶ ὁ ἐχθρός με
τοῖς πολλοῖς ἐξώκειλε πταίσμασι.

**Τ**ίς μὴ ὄντως ταλανίσῃ με
ῥαθυμίᾳ ζῶντα, τίς δὲ μὴ θρηνήσῃ
βλέπων με, Παρθένε,
κεκαρωμένον ὕπνῳ
δεινῆς ἀπογνώσεως· διὸ πρὸ τέλους
διέγειρον τῆς ῥαθυμίας, ἁγνή.

Ὠδὴ δ΄. Ἐν πνεύματι προβλέπων.

**Ὡ**ς βάθος εὐσπλαγχνίας
ὡς πέλαγος πολὺ
οἰκτιρμῶν ὡς κέκτησαι,
φιλάνθρωπε σωτήρ,
ἐπὶ τοὺς ἄγαν πολλά σοι ἡμαρτηκότας
καὶ αὖθις πάλιν ἐν κλαυθμῷ μετανοοῦν-[τας
δέχου καὶ ἡμῶν τὴν μετάνοιαν.

**Ἀ**πέγνωσμαι ὁ τάλας
ἀπέγνωσμαι, ἁγνή,
μὴ τολμῶν τὰ ὄμματα
ἐπᾶραι πρὸς Θεὸν
ἐκ τῶν ἀμέτρων πταισμάτων μου, [Θεοτόκε,
διὸ σπεῦσον μὴ παρίδῃς, Παναγία,
ἀλλὰ προκατάλαβε σῶσόν με.

**Κ**ρίματι ἁμαρτίας
κατάστικτος ἐγὼ
ταῖς σειραῖς κρατούμενος,
ἁγνή, τῶν ἡδονῶν·
διὸ βοῶ σοι ἀπόλυσόν με ἐκ τούτων·
σὺ γὰρ προστάτις ἐγενήθης τῶν πεν-[θούντων
ἐπὶ ἁμαρτίαις, πανύμνητε.

**Β**οήθεια τοῦ κόσμου
καὶ τεῖχος ἀρραγὲς
καὶ προστάτις πέφυκας
ἐν πλήθει πειρασμῶν
λιμὴν γὰρ ὄντως τῶν ἐν ζάλῃ
χειμαζομένων ἀνεδείχθης, Θεοτόκε,
ὅθεν σου τῇ σκέπῃ προστρέχομεν.

Ὠδὴ ε΄. Ἐκ νυκτὸς ὀρθρίζοντες.

**Ὡ**ς τὸν Τελώνην στενάξαντα
ὡς τὴν πόρνην
δακρύσασαν
ὡς τὸν λῃστὴν πιστεύσαντα
καὶ ὡς τὸν ἄσωτον δέξαι με
προσπίπτοντα φιλάνθρωπε.

**Ὡ**ς νεφέλη τοῦ πνεύματος
ὀμβροφόρους
ἰαμάτων πηγὰς
ἐκχέεις τοῖς κάμνουσι
ψυχικαῖς ἀρρωστίαις
ὦ Θεοτόκε Παρθένε.

**Ο**ἱ τὴν σὴν προστασίαν
κεκτημένοι,
ἀειπάρθενε,
ἐκ πειρασμῶν ῥυόμεθα
καὶ δεινῶν ἁμαρτιῶν
ταῖς πρεσβείαις σου, πανάμωμε.

**Π**αρέστης, ὦ βασίλισσα,
πορφυρόστολος
τῷ παμβασιλεῖ
τὴν ἁλουργίδα βάψασα
ἐκ τῶν ἀχράντων σου αἱμάτων
ἣν Χριστὸς ἠμφιάσατο.

Ὠδὴ στ΄. Τὸν προφήτην Ἰωνᾶν.

**Ἐ**πὶ τῶν νεφελῶν
ἑστηκώς με ἐκφοβεῖς
τὴν δρεπάνην κατέχων



τῆς φρικτῆς σου ἐκείνης
ἐλεύσεως
ἐπαπειλῶν με,
σωτήρ, τὸν θάνατον.

**Ο**ὐ τολμῶ ἀτενίσαι
τῆς ψυχῆς μου τὸ ὄμμα
ἐπὶ σοί, ὦ Παρθένε,
ἐξ ἀμέτρων πταισμάτων·
διό σε νῦν
καθικετεύω
μὴ ὑπερίδῃς με.

**Ο**ἱ τὴν σὴν προστασίαν
κεκτημένοι ἐπὶ γῆς,
Θεοτόκε Παρθένε,
τοῦ ἐχθροῦ τὰς παγίδας
οὐ φρίττουσιν
οὐδὲ πτοοῦνται,
ἁγνὴ [πανάμωμε].

**Ὡ**ραιώθης σύ, ἁγνή,
ὑπὲρ πᾶσαν τὴν κτίσιν
αἰσθητὴν καὶ νοητὴν
ὡς τεκοῦσα τὸν Χριστὸν
τὸν ἥλιον
δικαιοσύνης,
Παρθένε ἄχραντε.

## ΚΑΘΙΣΜΑ

### *Ἦχος α΄. Χορὸς ἀγγελικός.*

**Φ**ωτί σου, ἀγαθή,
τὴν ἐν σκότει ψυχήν μου
καταύγασον, ἁγνή,
καὶ τὴν πώρωσιν λῦσον
καὶ δίδαξον φυλάττειν με
τοῦ υἱοῦ σου τὸ θέλημα
ὅπως ἄφεσιν
τὴν τῶν πολλῶν μου πταισμάτων
εὕρω, πάναγνε,
καὶ τοῦ πυρὸς τοῦ ἀσβέστου
εὐχαῖς σου ῥυσθήσομαι.

Ὠδὴ ζ΄. Τοὺς ἐν καμίνῳ παῖδάς σου.

**Π**ολύκαρπόν με ὄντα τῶν παθῶν
τὸν ἄσωτον ἄκαρπόν με δεῖξον ὁ Θεὸς
καὶ τῶν καλῶν
ἔγκαρπον ποίησόν με, σωτήρ,
οἷοις θέλεις κρίμασι
καὶ ἴασαι ὡς Θεὸς
τὴν ταπεινήν μου ψυχήν.

**Τ**ίς μὴ θρηνήσει βλέπων με ἀεὶ
ἐν πτώμασι κείμενον καὶ κάμνοντα [δεινῶς·
ὑπὸ τὴν σὴν
διό, ἁγνὴ Δέσποινα, σκέπην
ἐκβοῶν κατέφυγα
μετὰ δακρύων πολλῶν
μὴ ὑπερίδῃς με.

**Ἵ**λεως ἔσο, Δέσποινα ἁγνή,
τῶν ἔργων μου, ὧν περ ἐπλημμέλησα [δεινῶς
ἐκ τῆς ἐμῆς
ῥαθυμίας, Παναγία,
διὸ σπεῦσον σῶσόν με
τὸν ἀθυμίᾳ πολλῇ
περικρατούμενον.

**Χ**εῖρα πρεσβείας ἔκτεινον, ἁγνή,
τῷ σῷ δούλῳ πάντων ἐξαρπάσασα κα-[κῶν
ἵνα κἀγώ,
μῆτερ, ἀεὶ χαίρων δοξάζω
τὴν σὴν σκέπην, ἄχραντε,
ὁ λυτρωθεὶς τῶν δεινῶν
τῇ μεσιτείᾳ σου.

Ὠδὴ η΄. Ὃν φρίττουσιν ἄγγελοι.

**Θ**ροοῦμαι καὶ δέδοικα,
σωτήρ, τὴν ἀπειλὴν
τῆς θείας ἐλεύσεως
ἐκείνης τῆς φρικτῆς
ἐν ᾗ προκαθίσεις
διακρῖναι, Χριστέ,
ἀπὸ τῶν δικαίων
ἡμᾶς τοὺς ἀναξίους.

**Ὡ**ς πάντων προστάτιν σε
ἡμεῖς οἱ γηγενεῖς
ὑμνοῦμεν, πανάχραντε,
καὶ σκέπην ἀρραγῆ·
διὸ καὶ κινδύνων
πολυσχιδῶν ἀεὶ
λύτρωσαι, Παρθένε,
ἡμᾶς τοὺς ὑμνοῦντάς σε.

*Ἀ*χλὺς περιέχει με,
Παρθένε, λογισμῶν
ἐκ πλήθους καχύσεων
τῶν ὄντων ἐν ἐμοί·
διό με πρὸ τέλους
προκατάλαβε
καὶ πάσης ἀνάγκης
ἐξελοῦ ἐναντίας.

*Λ*ιμένα σωτήριον
τὴν σκέπην σου, ἁγνή,
κεκτήμεθα ἅπαντες
ἐν ὥρᾳ πειρασμῶν
ἐν ὥρᾳ ἀνάγκης
μὴ παρίδῃς με
τὸν ἐπικαλοῦντα,
ἁγνή, τὴν σὴν πρεσβείαν.

Ὠδὴ θ'. Τὴν φωτοφόρον νεφέλην.

*Ὅ*ταν κατέλθῃς ὁ Θεὸς
ἐπὶ τῆς γῆς μετὰ δόξης
ὅταν τεθῶσιν οἱ φρικτοὶ
θρόνοι καὶ ἐπηρμένοι
καὶ προκαθίσῃς ὡς Θεὸς
τοῦ κρῖναι τὰ σύμπαντα
ὡς εὔσπλαγχνος
τότε ῥῦσαί με, σῶτερ,
τῆς ἀνάγκης
τῆς φρικτῆς καὶ φοβερᾶς.

*Ὅ*τε ἀρθείη τὸ φέγγος
τῶν βλεπόντων ἐν ταῖς ὄψεσι
ἀνατραπῇ δὲ τῶν ἄστρων
ἀργυροειδὴς σχοινίον
καὶ συσκοτάσῃ σὺν αὐτοῖς
σελήνη καὶ ἥλιος
καὶ αἱ ψυχαὶ
σὺν τοῖς σώμασι πᾶσι
καὶ πετάσῃ
ἡ ἀκρὶς ἡ ἀγροτική,

*Τ*ότε με ῥῦσαι, Παρθένε,
ἐκ τῆς ἀνάγκης ἐκείνης
ὡς παρρησίαν πρὸς Θεὸν
μόνη σὺ κεκτημένη·
ἐκεῖ γὰρ τότε βοηθεῖν
οὐδὲ εἷς οὐ δυνήσεται
τῷ ἑτέρῳ
οὐ πατὴρ οὔτε φίλος
οὔτε γένος
οὔτε ἄλλος τῶν ἐκεῖ.

*Ὡ*ς παρρησίαν λαβοῦσα
τοὺς ἐπὶ γῆς προστατεύειν
καὶ ἐν κινδύνοις βοηθεῖν
χαλεποῖς, ὦ Παρθένε,
ταῖς ἱκεσίαις σου, ἁγνή,
ἐξάρπασον πρόφθασον
ἐξελοῦ με
τῶν κρατούντων,
ὦ Παρθένε,
[καὶ παντοίων] ἀναγκῶν.

ΤΕΛΟΣ ΤΟΥ Α' ΗΧΟΥ

# ΗΧΟΣ ΔΕΥΤΕΡΟΣ

## 40

## ΚΑΝΩΝ

οὗ ἡ ἀκροστιχίς

« *Μολπὴν ᾄδω σοι δευτέραν Θεοτόκε ὁ μοναχὸς Ἰωάννης.* »

Κώδ. Ι 77 Λαύρας.
52 φ.28β Βλατέων.

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

***Ἦχος β'. Ὠδὴ α'. Ἐν βυθῷ κατέστρωσε ποτέ.***

*Μ*εμυκότα χείλη τῆς ψυχῆς
ἄνοιξον καὶ τράνωσον
τὸν λογισμὸν καὶ τὴν γλῶσσάν μου, πάναγνε,
ὡς ἂν σου τὴν αἴνεσιν
ἀναγγείλῃ, Θεογεννῆτορ, τὸ στόμα μου
καὶ εὐχαριστίαν
ἐξ αὐτῆς καρδίας ἀναφέρῃ σοι.

*Ὁ*λικῶς, ἁγνή, μετὰ Θεὸν
σοὶ προσανατέθεικα
τὴν ἐμαυτοῦ σωτηρίαν ὁ δοῦλός σου
ὅλην μου τὴν ἔφεσιν
καὶ τὴν σχέσιν καὶ τὴν στοργὴν καὶ τὴν πρόθεσιν
ὅλης ἐξ ἰσχύος
καὶ ψυχῆς ἐξ ὅλης ἀνατείνας πρὸς σέ.

*Λ*υμεῶνος λύκου νοητοῦ
λάρυγγός με λύτρωσαι
λυμαντικοῦ, Θεοτόκε, ἡ λύσασα
τὴν φθοροποιὸν αὐτοῦ
καὶ λοιμώδη καὶ κακομήχανον δύναμιν·
τὸν γὰρ τοὺς δεσμίους
λύοντα Θεὸν λυτρωτὴν ἔτεκες.

*Π*αθοκτόνον πένθος καὶ κλαυθμὸν
δώρησαί μοι, Δέσποινα,
καὶ κατανύξεως ῥεῖθρον ἀείζωον,
δάκρυον σβεστήριον
τῆς γεέννης καὶ σιωπὴν καθαρτήριον
καὶ τὴν μακαρίαν
μέγα φυλακτήριον ταπείνωσιν.

*Ἡ*δονῶν ὁ κλύδων ὁ σφοδρὸς
αὔραις κυμαινόμενος
τῶν τῆς κακίας πνευμάτων χειμάζει με
κόρη ἀπειρόγαμε,
μετανοίας με πηδαλίῳ ἰθύνουσα
πρὸς τῆς ἀπαθείας
τοὺς γαληνιῶντας ὅρμους ὅρμισον.

Ὠδὴ γ'. Τῆς πίστεως ἐν πέτρᾳ με.

*Ν*εφέλαις τὸν ἐνδύοντα πόλον ὅλον
καὶ νέφεσιν ἀνάγοντα γῆθεν ὕδωρ
τιθέντα τὴν ἐπίβασιν αὐτοῦ νέφει
Χριστὸν γεννήσασα, νεφέλη ἔμψυχε,
τὰ τῆς ῥαθυμίας μου νέφη σκέδασον.

*Ἀ*λόγως ὑποκύψας ὁρμαῖς ἀλόγοις
ὁ λόγῳ καὶ φρονήσει τετιμημένος
τοῖς κτήνεσιν ὡς ἄνους τοῖς ἀνοήτοις

παρασυμβέβλημαι καὶ παρωμοίωμαι·
ἣ τὸν Λόγον τέξασα σύ με οἴκτειρον.

**Δ**αυὶδ ὁ σὸς προπάτωρ καὶ θεοπάτωρ
καλεῖ σε θυγατέρα, Θεογεννῆτορ,
ἐγὼ δέ σε λοχεύτριαν καὶ παρθένον
τὸ ξένον ἄκουσμα τοῦ βασιλέως Χριστοῦ
ὀνομάζων γέγηθα, κόρη Δέσποινα.

**Ὡ**ς ὅπλον εὐδοκίας καὶ θεῖον σθένος
θεόθεν, Θεοτόκε, ἡμῖν ἐδόθης·
τῇ σῇ γὰρ στεφανούμενοι προστασίᾳ
ἐχθροῖς ἀχείρωτοι διατελοῦμεν· διὸ
ὅπλον ἀμυντήριον κατ' ἐχθρῶν γενοῦ.

**Σ**ελήνην καὶ ἀστέρας θεμελιώσας,
ἐκτείνας ὡσεὶ δέρριν τὸν πόλον, Λόγε,
καὶ πήξας ἐφ' ὑδάτων τὴν γῆν ἀσχέ-
[τοις
ναὸν εὐρύτερον γῆς καὶ ἀνώτερον
οὐρανῶν ἀνέδειξας τὴν τεκοῦσάν σε.

Ὠδὴ δ'. Ἐλήλυθας ἐκ παρθένου.

**Ὀ**δύναι μου τὴν καρδίαν
δριμεῖαι συνέχουσι·
συνείδησις φαύλη γὰρ
σκώληκος δίκην ἐσθίει με,
Κύριέ μου Κύριε,
ὁ γεννηθεὶς ἐκ Παρθένου σπεῦσον σῶ-
[σόν με.

**Ἰ**ώμενος τῆς προμήτορος
Εὔας τὸ σύντριμμα
ἐκ τῆς Θεομήτορος κόρης
ἡμῖν ἐπεδήμησας
Κύριέ μου Κύριε,
δι' ἧς κἀμὲ συντριβέντα λόγῳ ἴασαι.

**Δ**εσμεῖται μου ἡ φωνὴ
καὶ ἡ γλῶσσα πεπέδηται·
δοκῶ γὰρ παρίστασθαι
τῷ φοβερῷ κριτηρίῳ σου,
Κύριέ μου Κύριε,
διὰ τῆς σὲ κυησάσης κἀμὲ οἴκτειρον.

**Ἐ**λέησον, ἐλεήμονος
Λόγου λοχεύτρια,
τὸν ἀνελεήμονα
καὶ τοῦ ἐλέους ἀνάξιον
ἐμαυτὸν ποιήσαντα
ὡς τῆς ἐλεημοσύνης μὴ φροντίσαντα.

**Ὑ**πέρκειται διανοίας
ἁπάσης τὸ θαῦμά σου
ἡττᾶται καὶ δύναμις
λόγων αὐτὸ ἑρμηνεύουσα·
τὸν γὰρ ἀνερμήνευτον
καὶ ἀκατάληπτον Λόγον, κόρη, τέτοκας.

Ὠδὴ ε'. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

**Τ**ὸ φοβερὸν
ἐνθυμούμενος βῆμα
τὸ τοῦ υἱοῦ σου
τρέμω τὰ δεινά μου γινώσκων ἔργα,
Θεογεννῆτορ,
ὑπερβαίνοντα πλήθους
ἀμετρίᾳ ψάμμον παράλιον
καὶ τὸν τῶν ἀστέρων
χορὸν τὸν ἀμέτρητον.

**Ἐ**ν ταῖς χερσὶ
σοῦ, Παρθένε, οἱ κλῆροι
οἱ τῆς ψυχῆς μου·
ῥῦσαι ἐκ χειρός με νῦν τῶν ἐχθρῶν μου
ἐπίφανόν τε
σοῦ τὸ πρόσωπον, κόρη
παναγία, ἐπὶ τὸν δοῦλόν σου·
σῶσόν με τῷ θείῳ
ἐλέει σου, πάναγνε.

**Ρ**ῦσαι ψυχὴν
τὴν ἐμὴν ἐπιστρέψας
ταῖς ἱκεσίαις,
Λόγε, τῆς μητρός σου καὶ τοῦ ἐλέους
τοῦ σοῦ με σῶσον
ἕνεκεν· οὐ γάρ ἐστιν
ἐν θανάτῳ ὁ μνημονεύων σου
ἢ ὁ ἐν τῷ ᾅδῃ
ἐξομολογούμενος.

**Ἁ**μαρτιῶν
βαρυνόμενος βάρει
καὶ τὸν αὐχένα
λίθῳ βαρυτάτῳ τῶν ἐγκλημάτων
συγκεκλιμένος
ἐπὶ τὴν φωτοφόρον
σὲ κούφην νεφέλην πέφευγα



ἄχραντε Παρθένε,
τὸ βάρος μου κούφισον.

**Ν**εοποιεῖ
τὴν φθαρεῖσάν μου φύσιν
ὁ πλαστουργός μου
νέον χρηματίσας ἐκ σοῦ παιδίον
καὶ ὡς νυμφίος
ἐκ παστοῦ τῆς γαστρός σου
καὶ ὡραῖος ἀνίσχων ἥλιος,
Δέσποινα, φωτίζει
τὸν κόσμον θεόσεπτε.

Ὠδὴ ϛ'. Ἐν ἀβύσσῳ πταισμάτων.

**Θ**αλαττίῳ ῥοθίῳ καὶ κλύδωνι
τῶν ἀνομιῶν μου βιαίως χειμάζομαι·
στῆσον εἰς αὔραν, Δέσποινα,
τὴν σφοδρὰν καταιγίδα καὶ σῶσόν με.

**Ἐ**ν πελάγει τοῦ βίου νηχόμενον
ζάλη καὶ παθῶν τρικυμία δονοῦσί με·
παῦσον τὸν σάλον, ἄχραντε,
καὶ τὸν ἄσεστον πράϋνον τάραχον.

**Ὀ**μβροτόκε νεφέλη θεόδροσε,
τὴν κατεψυγμένην ψυχήν μου τῷ καύ-
[σωνι
τῆς ἁμαρτίας δρόσισον
καὶ χειμάρρους τρυφῆς αὐτὴν πότισον.

**Τ**ὴν πολλήν μου γινώσκεις ἀσθένειαν
καὶ τὴν ῥαθυμίαν ἐπίστασαι, Δέσποινα,
ὡς οἶδας αὐτὴ σῶσόν με
καὶ ὡς θέλεις γεέννης με λύτρωσαι.

**Ὁ** τὸ πᾶν οὐσιώσας βουλήματι
Λόγος ὑπερούσιος καὶ ὁμοούσιος
πατρὶ καὶ θείῳ Πνεύματι
ἐκ Παρθένου φορεῖς τὴν οὐσίαν μου.

## ΚΑΘΙΣΜΑ

### Ἦχος β'. Τὰ ἄνω ζητῶν.

**Δ**ακρύων πηγὴν
παράσχου μοι, πανάμωμε,
δι' ὧν τὴν πληθὺν
ἐκπλένω τῶν πταισμάτων μου·
εἰς σὲ γάρ, Θεόνυμφε,
τὴν ἐλπίδα πᾶσαν ἀνέθηκα·
σπεῦσον οὖν πρὶν ἀπολέσθαι, σεμνή,
χειρὸς με δαιμόνων ἐκλυτρώσασθαι.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

**Κ**αιρὸν ἀγαθὸν
μετανοίας ἀγαθῆς, Δέσποινα, δός μοι
τὸν δεδομένον εἰς διόρθωσιν
καιρὸν κακῶς δαπανήσαντι
καὶ ἡδυπαθῶς ἵνα πόθῳ
τὴν μητέρα δοξάζω σε
παντὶ καιρῷ τοῦ ποιητοῦ
τῶν χρόνων καὶ τῶν καιρῶν.

**Ἐ**ν ὥρᾳ φρικτῇ
καὶ ἡμέρᾳ φοβερᾷ τῆς ἐκδημίας
καθ' ἣν ζητοῦσιν οἱ μισοῦντές με
ἐν τῷ ἐκλίπειν τὸ πνεῦμά μου
βίᾳ ἐξ ἐμοῦ συλλαβεῖν με
ἡ γινώσκουσα, πάναγνε,
τὰς τρίβους μου τὰς πονηρὰς
φθάσασα σῶσόν με.

**Ὁ**δὸν ἐντολῶν
σοῦ δραμεῖν με ὡς ὁδὸς ζωῆς εὐόδωσον,
Χριστέ, πλατύνας τὴν καρδίαν μου
τὴν στενωθεῖσαν ἐν πάθεσι
καὶ ἐν τῇ ὁδῷ σου τῶν θείων
μαρτυρίων με τέρπεσθαι
δὸς τῆς μητρός σου ταῖς εὐχαῖς
ὡς ἐπὶ πλούτῳ παντί.

**Μ**αρία σεμνή,
ἐνδιαίτημα Θεοῦ καὶ ναὸς ἔμψυχος
γεγενημένη, τὴν καρδίαν μου
ναὸν δαιμόνων ὑπάρξασαν
σπήλαιον λῃστῶν τε, τοῦ θείου
ναὸν ποίησον Πνεύματος
ἵνα σε χαίρων ἀνυμνῶ
ἐν τῷ σεπτῷ σου ναῷ.

**Ὁ** μόνος Θεὸς
ὁ δρακὶ τοὺς οὐρανοὺς καὶ γῆν μετρήσας
ὁ ἐξ οὐκ ὄντων τὴν ἀσώματον
καθυποστήσας καὶ ἄϋλον,
κόρη, τῶν ἀγγέλων οὐσίαν
δι' ἀγγέλου τὸ χαῖρέ σοι
πέμπει καὶ κλίνας οὐρανοὺς
ἐν σοὶ ἐσκήνωσεν.

Ὠδὴ ς΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

**Ν**ενεκρωμένην ἡδοναῖς
τὴν ψυχήν μου καὶ ἐν χώρᾳ κατοικοῦσαν
καὶ σκιᾷ τοῦ θανάτου
ἡ συλλαβοῦσα ζωὴν
τὴν θείαν ζωώσασα φώτισον
φωτὶ πρεσβειῶν σου,
Δέσποινα Θεοτόκε.

**Ἁ**μαρτιῶν πλούτῳ κομῶν
καὶ μυρίαις εἰπαθῶν παθῶν ἰδέαις
ἐξ ψυχῆς ἐξαιτῶ σε
τὴν ἀπαθῶς τὸν Θεὸν
τεκοῦσαν πτωχεῦσαί με πνεύματι
καὶ πλουτῆσαι πλούτῳ
τῶν ἀρετῶν ἀσύλῳ.

**Χ**ριστοῦ σε βίβλον ἱερὰν
ἐν τῷ πνεύματι Θεοῦ ἐσφραγισμένην
ἐπιστάμενος, κόρη,
παρακαλῶ δυσωπῶν
τῇ βίβλῳ τῶν ζώντων ἐγγράψαι με
καὶ τῆς ἀνωλέθρου
ζωῆς καταξιῶσαι.

**Ὁ** ὑπὲρ πάντας τοὺς βροτοὺς
παροργίσας τὸν Θεὸν ἔργῳ καὶ λόγῳ
ἐπὶ σὲ καταφεύγω
τὴν ὑπὲρ πάντας, ἁγνή,
πρὸς τοῦτον παρρησίαν ἔχουσαν
ὡς ἔργῳ καὶ λόγῳ
δειχθεῖσαν Θεοτόκον.

**Σ**ταλάζον ὄρος γλυκασμὸν
καὶ πικρίαν κοσμικὴν καταγλυκαῖνον
ἀνεδείχθης, Παρθένε,
ὡς τεκοῦσα Χριστόν,
τὴν δρόσον τὴν γλυκεῖαν· ὅθεν μου
τῶν ἁμαρτημάτων
γλύκανον τὴν πικρίαν.

Ὠδὴ θ΄. Ἀνάρχου γεννήτορος.

**Ἰ**ῷ φαρμαχθέντα με
τοῦ δρακοντείου δήγματος
καὶ δεινῶς πληγωθέντα
πληγὴν ὀλόσωμον
ἡ τὸν ἰατρὸν τετοκυῖα
τὸν δι' ἐμὲ χεῖρας καὶ τοὺς πόδας
ἐν ξύλῳ πληγνύοντα
τὰς πληγάς μου πάσας ἴασαι.

**Ὡ**ς πόκος δεξάμενος
τὸν ὄμβρον τῆς θεότητος
ἐν γαστρί σου ἐδέξω,
κόρη πανάχραντε,
τὸν τοῖς κεχωσμένοις πταισμάτων
τῷ μολυσμῷ ρουῖς πανάχραντος
σταζούσαις χρηστότητι
ἐκ πλευρᾶς ἀχράντου πλύνασα.

**Ἀ**γκάλας ὑπάνοιξον
κἀμοὶ τῆς σῆς χρηστότητος
ὁ ἁπλώσας ἀγκάλας
ἐπὶ σταυροῦ, Ἰησοῦ,
καὶ τρυπηθεὶς τὰς παλάμας
καὶ τὴν πλευρὰν νυγεὶς θείᾳ λόγχῃ
ἔχων δυσωποῦσάν σε
τὴν ἀγκάλαις σε βαστάσασαν.

**Ν**αὸν τὸν τοῦ σώματος
αἰσχίστοις ἔργοις ἔφθειρα·
διὰ τοῦτο τὸν θεῖον
ναόν σου τρέμων ὁρῶ·
ἀλλ' ὁ ἐκ Παρθένου ἁγίας
τὸν ἱερὸν ναὸν τῆς σαρκός σου
δειμάμενος, Δέσποτα,
ναὸν δεῖξόν με τῆς δόξης σου.

**Ν**υκτὶ συνεχόμενον
καὶ σκότει καλυπτόμενον
ζοφερῶν ἐγκλημάτων
καὶ παραπτώσεων
ἡ ἀνατολὴ τοῦ ἡλίου
τοῦ νοητοῦ τῆς δικαιοσύνης
φαιδροῖς ἀμαρύγμασι
μετανοίας με καταύγασον.

**Ἡ** πύλη ἡ ἔμψυχος
ἡ θύρα ἡ οὐράνιος
ἡ βασίλειος βάσις
ἡ θεία εἴσοδος
ἡ τοῦ παραδείσου τὰς πύλας
διὰ τοῦ σοῦ ἀνοίξασα τόκου
κἀμοὶ ταῖς πρεσβείαις σου
σωτηρίας θύραν ἄνοιξον.



**Σ**τεναζόμενον πλήθεσι
τῶν θλίψεών με πλάτυνον
πλατυτέρα δειχθεῖσα
τοῦ οὐρανοῦ καὶ τῆς γῆς
καὶ εἰς πλατυσμὸν ἀρετῶν με
ἀπὸ παθῶν τῆς στενοχωρίας
ἐξάγαγε, Δέσποινα,
ἡ ἐλπὶς τῆς σωτηρίας μου.

---

# 41

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

« ***Μέλος φέρω σοι δεύτερον, Θεοτόκε, ὁ μοναχὸς Ἰωάννης.*** »

Κῶδ. Ι 77
Λαύρας
32 φ. 21. Βατέδου.

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

***Ἦχος β΄. Ὠδὴ α΄. Δεῦτε λαοί.***

**Μ**ετὰ Θεὸν
σὲ βοηθὸν ἀκαταίσχυντον
καὶ προστασίαν ἄμαχον
καὶ ἀντιλήπτορα
καὶ φρουρὸν καὶ μεσῖτιν,
Παρθένε, κεκτημένος
κράζω σοι· σῶσόν με.

**Ἔ**χων πληθὺν
ἁμαρτιῶν ὑπερβαίνουσαν
τῇ ἀμετρίᾳ, Δέσποινα,
ψάμμον παράλιον
καὶ χορὸν τῶν ἀστέρων
τῷ πλήθει τοῦ ἐλέους
σοῦ καταπέφευγα.

**Λ**όγον Θεοῦ
τὸν προαιώνιον τέξασα
τὴν ἀλογίαν λόγωσον
τῆς διανοίας μου
καὶ παράσχου μοι λόγον
ὑμνεῖν Θεὸν Λόγον,
κόρη λοχεύτρια.

**Ὁ** σὺν πατρὶ
καὶ θείῳ Πνεύματι δοξαζόμενος
υἱὸς ὡς ὁμοούσιος
[καὶ ὁμοδύναμος]
καὶ τὸ πᾶν οὐσιώσας
ἐκ σοῦ φορεῖ βροτείαν
οὐσίαν, Δέσποινα.

**Σ**ὺ τὸ χρυσοῦν,
Δέσποινα, θυμιατήριον
ἐν ᾧ περ τὸ χειρόγραφον
τὸ τοῦ προπάτορος
κατεκαύθη τῷ θείῳ
πυρὶ προσομιλήσαν
τοῦ ἐν σοὶ ἄνθρακος.

Ὠδὴ γ΄. Τῆς πίστεως ἐν πέτρᾳ με.

**Φ**θαρεῖσαν ἐκαινούργησας, παναγία,
τὴν φύσιν τῶν ἀνθρώπων ὡς τετοκυῖα
Θεὸν τὸν ἐκ φθορᾶς εἰς τὴν ἀφθαρσίαν
αὐτὴν μεταγόντα· ὅθεν φθαρέντα με
ἡδοναῖς ἀφθάρτισον καὶ καινούργησον.

**Ε**ἰκόνα τοῦ υἱοῦ σου τὴν κεχωσμένην
δραχμὴν βασιλικὴν τὴν ἀπολωλυῖαν
ζητήσασα, Παρθένε, καὶ ἐφευροῦσα
τὸν ἐπικείμενον χοῦν ἐν αὐτῇ τῶν παθῶν
καὶ τὴν κόνιν τίναξον καὶ ἀπόσμηξον.

*Ῥ*ομφαίᾳ με τὸν τρώσαντα ἁμαρτίας
ἀντιτρώσον ἐκχέασα τὴν ῥομφαίαν
πλευρὰν τὴν διατρήσασαν τοῦ υἱοῦ σου,
Θεογεννήτρια, καὶ καταδίωξον
καὶ εἰς τέλος σύντριψον καὶ κατάσφαξον.

*Ὡ*ς θάλαμον ὡραῖόν σε τοῦ νυμφίου
ὡς ἔμψυχον παλάτιον τοῦ Δεσπότου
ὡς ἔντιμον πορφύραν τοῦ βασιλέως
καὶ ὡς χρυσόπλοκον παστάδα, Δέσποινα,
ἱκετεύω σῶσόν με τὸν τιμῶντά σε.

*Σ*φραγῖδι με σημείωσον καὶ τῷ τύπῳ
τῆς σκέπης σου ψυχῆς μου ἐν τῷ μετώπῳ
ὡς ἂν ἀπὸ προσώπου φύγοιμι τόξου
τοῦ ὀλοθρεύοντος μὴ ὡς ἀσήμαντον,
Θεοτόκε, πρόβατον διασπάσῃ με.

Ὠδὴ δ'. Τὴν ἐκ Παρθένου σου γέννησιν.

*Ὀ*δυνηράν, κόρη, δέησιν
κατωδύνῳ καρδίᾳ
σοὶ προσφέρω ἐκ ψυχῆς
συντετριμμένης
καὶ τεταπεινωμένης
ἴασαι τὰς ἐμὰς
ἀλγηδόνας καὶ πάσας
τὰς ὀδύνας τῆς ψυχῆς καὶ τῆς σαρκός.

*Ἵ*να θεώσῃ τὸν ἄνθρωπον
ὁ φιλάνθρωπος Λόγος
ἐκ σοῦ ἄνθρωπος ὀφθεὶς
σὲ προστασίαν
ἀνέδειξε πάντων ἀνθρώπων,
ἄχραντε, καὶ κοινὸν
σωτηρίας λιμένα
τοῖς ἐν σάλῳ ναυτιῶσι τῶν παθῶν.

*Δ*εῦρο πιστοὶ προσκυνήσωμεν
καὶ προσπέσωμεν ἅμα
τῇ μητρὶ τοῦ Ἰησοῦ
πρὸ τῆς ἡμῶν
διαζεύξεως καὶ ἐκδημίας
κλαύσωμέν τε πικρῶς
καὶ θρηνήσωμεν ταύτης
ἐναντίον ἵνα τύχωμεν ζωῆς.

*Ἐ*ν τῇ δευτέρᾳ, πανύμνητε,
τοῦ υἱοῦ καὶ Θεοῦ σου
παρουσίᾳ τῇ φρικτῇ
μὴ ἐπιλάθῃ
τοῦ πένητος τοῦ σοῦ εἰς τέλος·
μνήσθητι δὲ κἀμοῦ
καὶ τῇ στάσει με στῆσον
τῶν προβάτων ἐν μερίδι δεξιᾷ.

*Ὑ*περαγία ὑπέρσεμνε
ὑπεράγνουμε κόρη
ὑπερτέρα χερουβὶμ
τὸν ὑπεράγιον
Κύριον ἡ συλλαβοῦσα
σῶσόν με τὸν ἐν σοὶ
ἀδιστάκτῳ τῇ πίστει
προσφυγόντα διαπύρῳ τε στοργῇ.

Ὠδὴ ε'. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

*Τ*ὸ ἀληθῶς
ἀλατόμητον ὄρος
τὴν κεκλεισμένην
πύλην καὶ πηγὴν τὴν ἐσφραγισμένην
τὸν πανευώδη
καὶ θεόφυτον κῆπον
τὸν λειμῶνα τὸν ἐξανθήσαντα
ἄνθος ἀφθαρσίας
ὑμνοῦμέν σε, Δέσποινα.

*Ἐ*πιμελῶς
ἐκ νεότητος πᾶσαν
ἀκολασίαν
πράξας καὶ μολύνας ψυχὴν καὶ σῶμα
τὴν καθαράν σε
καὶ ἀμόλυντον κόρην
ἱκετεύω καὶ σῶμα καὶ ψυχὴν
κάθαρον, ἁγίασον
σῶσόν με, Δέσποινα.

*Ρ*υτιδωθεὶς
καὶ πολλαῖς ἁμαρτίαις
καταγηράσας
ὅλως ἐπαλαίωμαι τοῖς κακοῖς μου·
ἀλλ' ἡ τεκοῦσα
τὸν σωτῆρά μου Λόγον
νέον βρέφος ἐκ σοῦ γενόμενον
ἀνακαίνισόν μου
ψυχῆς τὴν νεότητα.



*Ὁ* ὑψηλὸς
καὶ περίβλεπτος θρόνος
ὁ ἐπηρμένος
θρόνων ὑπεραίνει τῶν ἀσωμάτων
ἐν ᾧ τῆς δόξης
καθεζόμενον εἶδεν
Ἡσαΐας Χριστὸν τὸν Κύριον
ἔγειρον ἐν θρόνῳ
παθῶν ἱδρυμένον με.

*Ν*ενηστευκὼς
ἀρετῆς ἀπὸ πάσης
ἐνεφορήθην
ἀπηγορευμένης τρυφῆς εἰς κόρον
καὶ νῦν λιμώττω
σωτηρίου τραπέζης
μετανοίας ἄρτῳ με στήριξον
ἄρτον ἡ τὸν θεῖον
βαστάσασα τράπεζα.

Ὠδὴ ϛ'. Ἄβυσσος ἁμαρτημάτων.

*Θ*άνατος ἐθανατώθη
ζωὴν τεκούσης σοῦ, κόρη,
τεθανατωμένον με διὰ
πταίσμασι ζώωσον καὶ νέκρωσον
τὰ νεκροῦντα με πάθη.

*Ἔ*κρυψε βυθὸς κακῶν με
καὶ ἔδυ ἡ κεφαλή μου
εἰς σχισμὰς ὀρέων καὶ εἰς γῆν
ἧς οἱ μοχλοὶ αὐτῆς αἰώνιοι
κάτοχοι νῦν κατέβην.

*Ὄ*λισθον παθῶν αἰσχίστων
παθὼν καὶ τῇ ἀπογνώσει
ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν
ᾅδου πρὸς βάραθρον, πανύμνητε,
ἀντιλαβοῦ μου σὺ δέ.

*Τ*άχυνον τοῦ ἐξελέσθαι
δεινῆς ἐξ αἰχμαλωσίας
τὸν δεδουλωμένον ἐκοντὶ
δαίμοσι, Δέσποινα, ἐλεύθερον
ἐν Χριστῷ με ποιοῦσα.

*Ὄ*χημα φωτὸς ἀδύτου
νεφέλη δόξης ἡλίου
τὴν ἐσκοτισμένην μου ψυχήν,
Δέσποινα, φώτισον καὶ σκέδασον
τοῦ νοός μου τὸν ζόφον.

## ΚΑΘΙΣΜΑ

*Ἦχος β'. Τὰ ἄνω ζητῶν.*

*Ρ*ανίσιν, ἁγνή,
ἐλέους σου, πανάχραντε,
ἀθλίαν ψυχὴν
φλογμῷ τῶν πειρατηρίων
τὴν ἐκτακεῖσαν, πάναγνε, κατάδρόσισον
καὶ ῥύπον κάθαρον
καὶ φρικτῆς καταδίκης με λύτρωσαι
καὶ πυρὸς αἰωνίου ἐλευθέρωσον.

Ὠδὴ ζ'. Ἀνέθεον πρόσταγμα.

*Κ*ουλίδιον ἐν μέσῳ σε τῆς ἀκανθώδους
τοῦ κόσμου συγχύσεως
ὡς ῥόδον εὐωδέστατον
καὶ κρίνον ἡδύπνοον
εὑρὼν ὁ Λόγος Θεοῦ
ᾤκησε τὴν μήτραν σου, ἁγνή,
εὐωδιάζων τὴν δυσωδίαν ἡμῶν.

*Ἐ*ν σκέπῃ σκεπάσαις με τῶν σῶν πτερύγων
ἡ σκέπη, πανύμνητε,
τοῦ κόσμου καὶ ἀντίληψις
καὶ πύργος ἰσχύος μοι
ἀπὸ προσώπου ἐχθρῶν
γένοιο ἀσάρκων ὡς ἀεὶ
σου παροικῶν ἐν τῷ σκηνώματι.

*Ὁ*δὸν ἡ κυήσασα τῆς σωτηρίας
ὁδὸν εἰς εὐθεῖάν με,
Παρθένε, καθοδήγησον
καὶ ἴθυνον δέομαι
τὰς τῆς ψυχῆς μου ὁδοὺς
καὶ τὰ διαβήματα αὐτῆς
πρὸς μετανοίας ὁδὸν κατεύθυνον.

*Μ*αρία πανύμνητε Θεογεννῆτορ,
ἐν ὥρᾳ τῆς κρίσεως
ῥῦσαί με κατακρίσεως
τὸν αὐτοκατάκριτον
καὶ ἀκατάκριτον
ἐν τῷ κριτηρίῳ τῷ φρικτῷ
τῷ τοῦ υἱοῦ σου δεῖξον, Δέσποινα.

***Ὁ*** κόλποις καθήμενος ἀπεριγράπτοις
Θεὸς ἀπερίγραπτος
υἱὸς ἀπεριγράπτου πατρὸς
ἐν κόλποις καθέζεται
περιγραπτοῖς τῆς μητρὸς
σαρκὶ καθ' ἡμᾶς περιγραφεὶς
ὁ ἀπερίγραπτος τῇ ἀνάρχῳ μορφῇ.

Ὠδὴ η'. Ἐνδάλματος χρυσοῦ.

***Ν***εφέλαις οὐρανὸν
τὸν ἐνδύοντα καὶ νέφεσιν ὑετίζειν
τὸν ἐπιτάττοντα
καὶ ἄνθεσι ζωγραφοῦντα ποικιλοχρόοις
γαῖαν καὶ καθωραΐζοντα
πόαις μυριπνόοις
θελγούσαις τὴν ὄσφρησιν καὶ τὴν [θέαν
τέτοκας, Παρθένε, ὁλόφωτε νεφέλη.

***Ἀ***μόλυντε ἀμνάς
ἀπειρόγαμε ἀμίαντε μόνη κόρη,
ἡ ἀπειρόζυγος
καὶ ἄφθορος Θεοῦ νύμφη ἡ ἀλοχεύτως
μόσχον σιτευτὸν κυήσασα
δάμαλις ὡραία
ἐλάφρυνον ἆρον ἐκ τῆς ψυχῆς μου
τὸν βαρὺν κλοιὸν καὶ ζυγὸν τῆς ἁμαρ- [τίας.

***Χ***αρὰν ὁ Γαβριὴλ
οὐρανόθεν ἀφικόμενός σοι κομίζει
λύπης ἀντίθετον
τῆς Εὔας καὶ ἐκβοᾷ σοι· χαρᾶς χωρίον
δόξης ἱερὸν ἀνάκτορον
χαῖρε· μετὰ σοῦ γὰρ
ὁ Κύριος ἔσται, εὐλογημένη
καὶ δεδοξασμένη καὶ κεχαριτωμένη.

***Ὁ*** σύνθρονος πατρὶ
καὶ τῷ Πνεύματι τῷ θείῳ υἱὸς καὶ [Λόγος
ὁ ὑποπόδιον
τὴν γῆν οὐρανὸν δὲ θρόνον ἐνδόξως ἔχων
θρόνον οὐρανῶν ἀνώτερον
καὶ γῆς καὶ θαλάσσης
πλατύτερον ἔδειξέ σε, Παρθένε,
καὶ ἐν σοὶ καθίσας ἤγειρε τοὺς πεσόντας.

***Σ***ιὼν ἡ ἐκλεκτὴ
τοῦ μεγάλου βασιλέως ἡ ζῶσα πόλις
ἣν τὰ χαρίσματα
τοῦ Πνεύματος τοῦ ἁγίου περιλαβόντα
ὥσπερ ποταμοῦ ὁρμήματα
εὐφραίνουσι κύκλῳ
τῆς ἄνω Σιὼν με πολίτην νέον
καὶ τῆς τῶν πραέων γῆς κληρονόμον [δεῖξον.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

***Ἰ***δοὺ ἐνέτειναν τόξον
καὶ ἡτοίμασαν βέλη
καὶ δόρυ καὶ ῥομφαίαν κατ' ἐμοῦ
οἱ δυσμενεῖς ἐπεσπάσαντο
καὶ ὡς ἐν σκοτομήνῃ
νυκτὶ κατατοξεῦσαί με παθῶν
ἐβουλεύσαντο, σὺ δὲ
αὐτοὺς ὄλεσον, Δέσποινα.

***Ὡ***ραϊσμένην σε νύμφην
καὶ περιβεβλημμένην
παρθένον ἀρετῶν περιβολὴν
καὶ παρθενίαν χρυσοῖς κροσσωτοῖς
καὶ βασίλισσαν κόρην
πεποικιλμένην ἐν ἱματισμῷ
διαχρύσῳ ἁγνείας
γινώσκομέν σε, Δέσποινα.

***Ἁ***γιωτέρα ἀγγέλων
χερουβὶμ ὑπερτέρα
πυρίνων ἀνωτέρα σεραφὶμ
καὶ νοερᾶς πάσης τάξεως
ὤφθης τιμιωτέρα
καὶ δόξῃ ἀσυγκρίτῳ καὶ τιμῇ
ὑπερενδοξοτέρα,
Μαρία κόρη Δέσποινα.

***Ν***όσῳ παθῶν κατεσχέθην
καὶ θανὼν κατετέθην
πωρώσεως ἐν τάφῳ ζοφερῷ
λίθον βαρὺν ἐπικείμενον
τὴν ἀπόγνωσιν ἔχων
καὶ τὴν ἀναισθησίαν ὡσεὶ χοῦν
ὕπερθεν κεχυμένον
ἀνάστησόν με, Δέσποινα.

***Ν***αὸν τοῦ σώματος φθείρας
ὡς τὰ ἅγια μέλη



τοῦ σώματος μολύνας τοῦ Χριστοῦ
φρίττω καὶ τρέμω καὶ δέδοικα
πόρνης βέβηλα μέλη
τὰ τίμια ποιήσας· ἀλλὰ σὺ
ὁ ναὸς τοῦ σωτῆρος
ἁγίασόν με, Δέσποινα.

***Ἡ*** ἀγεώργητος χώρα
γεωργὸν ἡ τεκοῦσα
ἡ ἄσπορα τὸν στάχυν τῆς ζωῆς
ἡ ἀνηρότως βλαστήσασα
καὶ καλῶν ἀφθονίαν
καὶ πάντων εὐθηνίαν ἀγαθῶν
τὸν λιμῷ τετηκότα
διάθρεψόν με, Δέσποινα.

***Σ***οὶ τῇ τεκούσῃ τὸν πάντων
ποιητὴν καὶ σωτῆρα
ὁ πένης καὶ πτωχὸς καὶ ἐνδεὴς
τί προσαγάγω ἐπάξιον;
ὁτιοῦν μὲν οὐκ ἄλλο
διάπυρον δὲ πίστιν καὶ στοργὴν
καὶ ἀγάπην γνησίαν
ἐν αἷς με σῶσον, Δέσποινα.

---

# 42
# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

« *Λύμης με πάσης ἐξελοῦ, Θεοτόκε, τὸν μοναχὸν Ἰωάννην.* »

Κωδ. Γ 77 Λαύρας. 52φ. 33β Βλατέων.

## ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

***Ἦχος β'. Ὠδὴ α'. Ἐν βυθῷ κατέστρωσε ποτέ.***

***Λ***υτρωτὴν τεκοῦσα τὸν Χριστὸν
λύμης ἀπὸ πάσης με
τοῦ λυμεῶνος, Θεοτόκε, λύτρωσαι
λοιμώδους δουλείας με
λυτρουμένη τὸν ἑκουσίως δουλούμε- [νον
λύτρον ἀντιδοῦσα
αἷμα τοῦ υἱοῦ σου τὸ θεόρρυτον.

***Ὑ***πὲρ πᾶσαν φύσιν λογικὴν
τὸν ἐξαμαρτήσαντα
ἡ ὑπερβᾶσα τῶν ἀγγέλων τάγματα
ἐν ἁγιωσύνῃ καὶ σεμνότητι
καὶ νοὸς καθαρότητι σῶσόν με,
Παρθένε,
σὺ γὰρ ὑπερτέρα πάσης κτίσεως.

***Μ***ιασμοῦ καὶ ῥύπου τῆς σαρκὸς
καὶ τῶν ἀκαθάρτων με
καὶ ἐμπαθῶν λογισμῶν ἀποκάθαρον,
Θεομῆτορ ἄχραντε,
τῶν χραινόντων μου καὶ ψυχὴν καὶ διάνοιαν
δάκρυά μοι δοῦσα
καὶ κρουνοῖς αὐτῶν με ἀποκλύσασα.

***Ἡ***δονῆς με βέλει ὁ ἐχθρὸς
ἔτρωσεν εὑράμενος
γεγυμνωμένον παντευχίας κρείττονος
τῆς κεχρυσωμένης τε
πανοπλίας τῶν ἀρετῶν καὶ τοῦ θώ- [ρακος
τοῦ κεχαλκευμένου
φόβου θεϊκοῦ τοῖς καλοῖς ἄνθραξι.

***Σ***τενωθέντα πλάτει συμφορῶν
καὶ πεπλατυσμένον με
τῶν ἀρετῶν ἐν τῇ στενώσει, πάναγνε,
πρὸς πλάτος ἐξάγαγε
ἐκ στενοχωρίας παθῶν ἀπαθείας, [ἁγνή,

καὶ τὴν στενὴν πύλην
δίδου εὐρυχώρως διοδεύειν με.

Ὠδὴ γ'. Τῆς πίστεως ἐν πέτρᾳ με.

**Μ**εγάλοις ἁμαρτήμασι τὸν υἱόν σου
μεγάλως, Θεοτόκε, παροργίσας
μεγάλην ἀπεκδέχομαι τιμωρίαν
καὶ ἀγανάκτησιν· ῥῦσαι μεγάλης με
ἀπειλῆς, μεγάλη μου προστασία σεμνή.

**Ἐ**ν ὥρᾳ τῆς ἐξόδου καὶ ἐν ἡμέρᾳ
ἀγγέλων παρεστώτων καὶ ἀπαιτούντων
τὴν πάθεσι τοῦ βίου μεμολυσμένην
ψυχήν μου, Δέσποινα, μὴ ὑπερίδῃς με
μᾶλλον δὲ παράστηθι βοηθοῦσά μοι.

**Π**υρίνων δορυφόρων παριστα μένων
φρικτοῦ δὲ βασιλέως ἐνιδρυμένου
ἀστράπτοντι πυρίνῳ θρόνῳ πυρὸς δὲ
ῥύακος κάτωθεν ἀνακαχλάζοντος
φόβος ἔσται μέγιστος· πάντες φρίξομεν.

**Ἀ**νθρώπων σωτηρίας ἡ ζῶσα πύλη
ὑπάνοιξόν μοι πύλας δικαιοσύνης
καὶ θύραν μετανοίας ὡς ἂν ἐν ταύταις
ἐξομολόγησιν καὶ ἐξαγόρευσιν
εἰσελθὼν προσάξαιμι τῷ Κυρίῳ μου.

**Σ**υνάναρχον καὶ σύνθρονον τῷ τεκόντι
τὸν Λόγον πρὸ αἰώνων γεγεννημένον
πατρὸς ἐξ ἀγεννήτου, Θεογεννῆτορ,
αὐτὴ γεγέννηκας ἐν δύο φύσεσι
δι' ἡμᾶς γενόμενον καθ' ἡμᾶς ἀληθῶς.

Ὠδὴ δ'. Ἐλήλυθας ἐκ Παρθένου.

**Ἡ** τέξασα θελητὴν τοῦ ἐλέους μὴ θέλοντα
ἁμαρτωλῶν θάνατον
τῇ μετανοίᾳ δὲ μάλιστα
τούτων ἡδυνόμενον
πρὸς μετανοίας ὁδούς με χειραγώγησον.

**Σ**τενάζοντα ἐν νυκτὶ καὶ ἡμέρᾳ, πανάμωμε,
καὶ θρήνοις κοπτόμενον
καὶ ἐμαυτὸν ἀπελπίζοντα
μὴ ἀποστρέψῃς με
μηδὲ ἀποσκορακίσῃς ἀλλὰ σῶσόν με.

**Ἐ**λέησον τὸν ἐλέους, Παρθένε, ἀνάξιον
ὡς ἔλεος πώποτε
ἐν μηδενὶ μὴ ποιήσαντα
ἡ τὸν ἐλεήμονα
τὸν δωρεὰν ἐλεοῦντα τετοκυῖα Θεόν.

**Ξ**ηράνασα τὰ ὀστᾶ τῆς ψυχῆς μου κατέκαυσεν
ἡ πυρὸς γεννήτρια
τοῦ αἰωνίου καὶ σκώληκος
τροφὸς ἁμαρτία μου
ἀλλὰ δακρύων με ὄμβροις, ἁγνή, ἄρδευσον.

**Ἐ**ν θλίψεσί σε, Παρθένε, πλουτοῦμεν παράκλησιν
ἐν λύπαις ἀνάψυξιν
ἐν πειρασμοῖς παραμύθιον
πρόμαχον καὶ σύμμαχον
καὶ σωτηρίαν ἑτοίμην καὶ ἀντίληψιν.

Ὠδὴ ε'. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

**Λ**ογοθετῶν
πικροτάτων ἀδίκων
λογοθεσίων
καὶ τῶν τελωνῶν τῶν ἐναερίων
καὶ φορολόγων
καὶ ἀρχόντων τοῦ σκότους
λύτρωσαί με ἀλογοθέτητον
ὅτε δι' ἐκείνων,
Παρθένε, διέρχομαι.

**Ὁ** ποταμὸς
τῶν Θεοῦ χαρισμάτων
τοὺς ὀφθαλμούς μου
ἔμπλησον δακρύων καὶ τῆς ψυχῆς μου,
Θεομῆτορ,
τὰς ἀνύδρους ἀρούρας
καὶ αὐχμώσας μέθυσον αὔλακας
ἵνα πληθυνθῶσιν αὐτῆς τὰ γεννήματα.

**Ὑ**περβολῇ
ἀσωτείας παρῆλθον
καὶ τὸν Τελώνην



καὶ τὸν Μανασσῆν καὶ τὴν πάλαι πόρνην
ἐν ἀνομίαις
ἐμακρύνθην ἀθλίως
ὥσπερ ἄλλος ἄσωτος δεύτερος
ἀπὸ τοῦ Θεοῦ μου
εἰς ἰδίαν ἀπώλειαν.

**Θ**ρηνογραφῶν
ὁ Δαυὶδ καταγγέλλει
τὴν ἀνομίαν
καὶ τὴν ἁμαρτίαν κλαίων ἑκάστῃ
νυκτὶ καὶ βρέχων
τὴν στρωμνὴν καὶ τὴν κλίνην
ἐν ἀπείροις, ψυχή μου, δάκρυσι·
σὺ δὲ πῶς σωθήσῃ
μὴ ἔχουσα δάκρυα.

**Ἐ**ν τῇ φρικτῇ
παρουσίᾳ, Παρθένε,
τῇ τοῦ υἱοῦ σου
ὅταν μετ' ἀγγέλων ἐν δόξῃ κρῖναι
πάντας κατέλθῃ
καὶ αὐτοῖς ἀποδοῦναι
κατ' ἀξίαν ὧν διεπράξαντο
τῆς ἐσχάτης
τῆς ἐμῆς ἐπιμνήσθητι.

Ὠδὴ στ'. Πρὸς Κύριον ἐκ κήτους.

**Ὀ**ψώνιον ὑπάρχων
ἁμαρτιῶν ὁ θάνατος
γεῦσιν πικραίνουσαν
τὰ κρυπτά σου αἰσθητήρια,
ψυχή μου, ἐμποιεῖ
τὸν ὀπὸν φοβήθητι
τοῦ καρποῦ καὶ τῆς ῥίζης ἀπόστηθι.

**Τ**ὸ κῆτός με ὡς πάλαι
τὸν Ἰωνᾶν κατέπιε
τοῦ ἐμφωλεύοντος
δεινοῦ δράκοντος τοῖς πάθεσιν,
ἁγνή, ἡ κεφαλὰς
τῶν δρακόντων ὕδασι
τὸν συνθλάσαντα τέξασα σῶσόν με.

**Ὀ**δύρομαι καὶ στένω
καὶ ἀγωνίᾳ πάντοθεν
περιστοιχίζομαι
καὶ θροοῦμαι καὶ συστέλλομαι
ὅταν ἐνθυμηθῶ,
Δέσποινα, τὸ ἄστεκτον
καὶ ἀλάθητον βῆμα τοῦ τόκου σου.

**Κ**ατάχει αἰσχύνην
τῶν ἐχθρῶν μου καὶ γέλωτα,
Θεογεννήτρια,
καὶ μὴ δῷς ἐπιχαρῆναί μοι
ἐν γέλωτι αὐτοὺς
ὅτε ἐκ τοῦ σώματος
ἡ ἀθλία ψυχή μου χωρίζεται.

**Ἐ**θλίβην ἐν θλίψει
καὶ συντριβῇ καρδίας μου
πρὸς σὲ τὴν μόνην μου
προστασίαν καὶ ἀντίληψιν
καὶ τὴν καταφυγήν,
Θεοτόκε Δέσποινα,
καὶ θανόντα καὶ ζῶντά με οἴκτειρον.

## ΚΑΘΙΣΜΑ

***Ἦχος δ'. Πρεσβεία θερμή.***

**Ἐ**πλήσθην πολλῶν
τραυμάτων ὁ δοῦλός σου
ἐκ τῶν ἀφανῶν
βελῶν τοῦ ἀλάστορος
καὶ ἐν κλίνῃ κεῖμαι νῦν
ἀπογνώσεως, Δέσποινα, κράζω σοι·
μὴ παρίδῃς μου τὴν δέησιν
ἡ μόνη ταχέως προστατεύουσα.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

**Τ**ὸν βίον, ψυχή,
ὡς πανήγυριν σαφῶς ἐπισταμένη
καλῶς ἐντεῦθεν πραγματεύθητι
ὡς ἂν κερδήσῃς τὰ μέγιστα
τὴν τῶν οὐρανῶν βασιλείαν
καὶ τὴν δόξαν τὴν ἄρρητον·
εἰ γὰρ παρέλθοι πρὸς μικρὸν
ἄλλον οὐχ ἕξεις καιρόν.

**Ὁ**δὸν τῆς ζωῆς
ἡ τεκοῦσα τὸν Χριστὸν σύ με ὁδήγησον
ὁδὸν εἰς θείαν τὴν ἀπάγουσαν
εἰς παραδείσου σκηνώματα

καὶ πρὸς τὰς ἐκεῖ καταπαύσεις
τὴν ὁδὸν κατευθύνουσα
καὶ τῆς ψυχῆς μου, ἁγνή,
τὰ διαβήματα.

**Ν**υκτὶ ψυχικῇ
καὶ ἐν χώρᾳ τῶν παθῶν κατῳκισμένῳ
ἐχθρὸς νυκτίμορφος ἐπιτίθεται
νυκτερινὸν ἐπισείων μοι
φόβον καὶ δεινῶς μορμολύττων·
φόβῳ φόβον ἀπόκρουσον
τῷ θεϊκῷ σατανικὸν
φόβον ἐχθρόν, ὦ ψυχή.

**Μ**ελλούσης ποινῆς
καὶ δεινῆς με καταδίκης ἀπολύτρωσαι
τῶν καταδίκων ἀπολύτρωσις
τῶν αἰχμαλώτων ἀνάρρυσις
τῶν ἀδικουμένων ἑτοίμη
συμμαχία βοήθεια
ἀβοηθήτων καὶ ἐλπὶς
ἀπηλπισμένων, ἁγνή.

**Ὁ** κόλποις πατρὸς
ὡς υἱὸς μονογενὴς ἠγαπημένος
ἀπεριγράπτως αὐλιζόμενος
ἀνεκφοιτήτως ἐφοίτησεν
ἐν τῇ πανακηράτῳ σου μήτρᾳ
τὸν χρανθέντα, πανάχραντε,
σπονδαῖς εἰδώλων μυσαραῖς
ἁγνίζων ἄνθρωπον.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

**Ν**εανικῶς κατὰ παθῶν
ἀγωνίσθητι, ψυχή, τῶν χαμαιζήλων
καὶ πτεροῖς ἀπαθείας
κουφιζομένη καλῶς
ἑτοίμη γενοῦ πρὸς ὑπάντησιν
τοῦ ἐν ταῖς νεφέλαις
ἥξοντός σου Δεσπότου.

**Ἀ**γγελικῶν παρεμβολῶν
ἀρχαγγέλων στρατιῶν προηγουμένων
χερουβὶμ ἑπομένων
καὶ σεραφὶμ καὶ πασῶν
ἀΰλων δυνάμεων, Δέσποτα,
μή με κατακρίνῃς
ὡς ἔρχῃ κρῖναι πάντας.

**Χ**αλδαϊκὴν πυρκαϊὰν
καὶ πυρφόρον μοι παθῶν ἄρρητον
[φλόγα
ὁ Ναβουχοδονόσορ
ὁ νοητὸς καὶ δεινὴν
ἀνῆψε παμφλέξουσαν κάμινον·
ἣν τῶν πρεσβειῶν σου
δρόσῳ σβέσον, Παρθένε.

**Ὄ**ψις συνήργησε κἀμὲ
πλὴν οὐδόλως ἐμαυτοῦ περικρατῆσαι
ἠδυνήθην ὁ τάλας,
ἕως τὴν πρᾶξιν αὐτὴν
ἀθλίως ἔπραξα ἐνδόσιμος
γεγονὼς τῷ πάθει
ἁλώσιμος δὲ μᾶλλον.

**Ν**οῦν κεκτημένος ἐμπαθῆ
καὶ ἐκτόποις λογισμοῖς κεκοινωμένον
ἐπὶ σὲ καταφεύγω
τὸ καθαρὸν τοῦ Θεοῦ
εὐῶδες, Δέσποινα, παλάτιον·
κάθαρόν με πάσης
γηΐνης δυσωδίας.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

**Ἰ**δού, ψυχή μου, ἐγγίζει
ἡ ἡμέρα Κυρίου
ὡς κλέπτης ἐρχομένη ἐν νυκτί·
σπεῦσον λοιπὸν ἑτοιμάσαι τὰ σὰ
εἰς τὴν ἔξοδον ἔργα
καὶ παρασκευασθῆναι, ὥς φησιν
ἡ Γραφὴ καθ' ἑκάστην,
εἰς τὸν ἀγρὸν τῆς κρίσεως.

**Ὢ** ποῖος φόβος καὶ τρόμος
τῶν φυλῶν κοπτομένων
πασῶν καὶ θρηνουσῶν μετὰ κλαυθ-
[μοῦ
ἀπὸ τοῦ φόβου ἡνίκα Θεὸς
ἐμφανῶς ἐν δυνάμει
κατέρχεται καὶ δόξῃ νοερᾷ,
ὡς βοᾷ ὁ προφήτης,
νεφέλαις ἐποχούμενος.

**Ἀ**π' οὐρανοῦ πεμπομένων
κεραυνῶν πυροβόλων
βροντῶν ἐκρηγνυμένων φρικωδῶν



καὶ πυρφορικῶς ἠχουσῶν ἐπὶ γῆν
τῶν σαλπίγγων, τῆς γῆς δὲ
ἐλπίδι τοῦ καθίσαι ἐπ' αὐτῆς
τὸν Δεσπότην τρεμούσης
τίς ὃς οὐ μὴ τρομάξειεν;

**Ν**ικοποιοῦ βασιλέως
νίκης σύμβολον θεῖον,
Χριστοῦ παναγιώτατε σταυρέ,
σκῆπτρον πιστῶν φυλακτὴρ καὶ σωτὴρ
ἐν τῇ ὥρᾳ ἐκείνῃ
ἡνίκα προσπορεύῃ τοῦ ἐν σοὶ
προσπαγέντος Δεσπότου
φύλαξ γενοῦ καὶ σκέπη μου.

**Ν**ύμφη Θεοῦ παναγία,
θησαυρὲ σωτηρίας,
λιμὴν τῶν ἐν πελάγει συμφορῶν
σκέπη ψυχῶν καὶ ἀντίληψις
σωτηρίας γενοῦ μοι
καὶ πλοῦτος καὶ πανεύδιος λιμὴν
τὴν ψυχήν μου ῥιγῶσαν
σκεπάζουσα καὶ θάλπουσα.

**Ἡ** τῆς ἐμῆς σωτηρίας
ἐπὶ σοί, Θεομῆτορ,
ἐν πᾶσι περιστάσεσιν ἐλπὶς
μετὰ Θεὸν καὶ βοήθεια·
ἐπὶ σὲ γὰρ ἐρρίφην
καὶ σοὶ ἐγκατελείφθην ὁ πτωχός·
μή με ἐγκαταλείπῃς,
προσλαβοῦ δέ με, πάναγνε.

**Ν**ῦν ὑποσμύχον τὸ πῦρ με
τοῦ πρὸς σέ, Θεοτόκε,
ἐκ πάσης μου καρδίας καὶ ψυχῆς
πόθου θερμοῦ καὶ τῆς πίστεως
ἀνυμνεῖν σε βιάζει·
ὁ νοῦς δὲ ἀπονῶν πρὸς τὴν φωνὴν
τοῦ ἀγγέλου προσφεύγει
βοῶν σοι· χαῖρε Δέσποινα.

## 43

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

« *Βυθοῦ με κακῶν ἀνάγαγε, Παρθένε, σὸν δοῦλον Ἰωάννην.* »

Κώδ. Γ 77 Λαύρας.
52 φ. 41 Βλατέων.

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

***Ἦχος β'. Ὠδὴ α'. Βυθοῦ ἀνεκάλυψε.***

**Β**υθῷ βαθυτάτης ἀπωλείας
τοὺς εἰς τὸν βυθὸν τῆς ἁμαρτίας
συνωθοῦντάς με δαίμονας, Θεοτόκε,
βύθισον βάθους βυθοῦ με ἕλκουσα
τῆς ἀπογνώσεως.

**Ὑ**λῶν πολιούχων τῆς κακίας
ὕπερθεν ἁλλόμενον τὸν νοῦν μου,
Θεομῆτορ, ἡ τὸν ἄϋλον τεκοῦσα
ἐν ὑλικῇ μορφῇ Λόγον δεῖξον
καὶ παθῶν ἐλεύθερον.

**Θ**ηρῶν τὴν ὁρμὴν ἀνυποστάτων
καὶ ἀκατασχέτων τὴν μανίαν
τοὺς ὀδόντας καὶ τὰς μύλας, παναγία,
σύντριψον θλάσον καὶ θραῦσον θράσος
δαιμόνων ἀνίσχυρον.

**Ὁ** χρόνος μου ἅπας ἐν ὀδύναις
καὶ ἐν στεναγμοῖς πᾶσι παρῆλθεν
αἱ ἡμέραι μου αἱ πονηραὶ καὶ πλήρεις
ἀνομιῶν ἀμυθήτων, Δέσποινα,
τάχυνον σῶσόν με.

**Υ**ἱὸν πρὸ αἰώνων γεννηθέντα
ὕστερον ἐν τέλει τῶν αἰώνων
ὡς ἠθέλησεν ἐγέννησας, Παρθένε,
υἱοὺς φωτὸς καὶ ἡμέρας θέλοντα
πάντας ἐργάσασθαι.

Ὠδὴ γ'. Στερέωσον ἡμᾶς.

**Μ**αστίγων τῶν ἐκεῖ, σεμνή, ῥῦσαί με
καὶ πείρας βασάνων τῶν ἀνεπιστρόφων
καὶ παντοίας κατακρίσεως
καὶ ποικίλων τοῦ βίου περιστάσεων.

**Ἐ**ν σοὶ τῶν ἡδονῶν θαρρῶν, Δέσποινα,
τὸ μέγα καὶ ἄρρηκτον χαλκοῦν τεῖχος
ὑπερβαίην καὶ ῥυσθείην δεινοῦ
ἀπὸ πειρατηρίου πειρατῶν ψυχικῶν.

**Κ**ακίᾳ δουλωθεὶς τὸ αὐτεξούσιον
ἀφρόνως ἀφῄρημαι τῆς ψυχῆς μου
καὶ κτηνώδης ὅλος γέγονα
τοῖς ἀλόγοις ἀλόγως εἴκων πάθεσιν.

**Ἀ**πείρων οἰκτιρμῶν ἔχουσα πέλαγος,
Παρθένε, πελάγη ἀνομιῶν μου
ἀποψύξασα δακρύων κρουνοῖς
τοῖς ἐκ σοῦ μοι δοθεῖσι πλῦνον ὅλον με.

**Κ**αινὸν ὡς ἀληθῶς καὶ θάμβους ἔμπλεων
τὸ μέγα τῆς σῆς θεογενεσίας,
ἀπειρόγαμε, μυστήριον,
καὶ τῶν ἐκ τοῦ αἰῶνος θαῦμα μέγιστον.

Ὠδὴ δ'. Ἀκήκοα Κύριε φωνῆς σου.

**Ὡ**ς πύλη σωτήριος
καὶ θύρα ὑπάρχουσα,
ἁγνή, τῆς θείας εὐσπλαγχνίας
θύραν μοι ἄνοιξον καὶ πύλην μετανοίας
δι' ἧς εἰσελεύσομαι κἀγὼ
ὅλος γεγονὼς τῆς ἐνθέου
τοῦ πένθους παρακλήσεως
εἰς τὰ τοῦ Θεοῦ ἠγαπημένα σκηνώματα.

**Ν**υμφὼν δόξης, ἄχραντε,
νυμφῶνος τοῦ θείου με
Θεοῦ θαλάμων ἀθανάτων
ἔνδον εἰσάγαγε μονῶν τοῦ παραδείσου
ἐρατεινῶν ἐκλεκτῶν τε σκηνῶν
μέτοχον κἀμὲ ποιουμένη
καὶ τῆς ἀγαλλιάσεως
καὶ τῆς χαρᾶς τῶν ἐκλεκτῶν ἀξίωσόν με.

**Ἀ**κούσασα, Δέσποινα,
φωνῆς μου δεήσεως
ἐλθὲ ταχεῖα συμμαχία
ὅτι ἀλλόφυλοι πολέμιοι εἰς πόλιν
ψυχῆς εἰσπηδήσαντες ἐμῆς
αἵμασι φοινίσσοντες ταύτην
οἰκείων φυλετῶν φονικῶς
ἀπαγωγὴν καὶ προνομὴν αὐτῆς τίθενται.

**Ν**ικῆσαι οὐ δύναται
τὴν σὴν ἀγαθότητα,
Χριστέ, κακία ἀνθρωπίνη·
ὅθεν θαρρήσας σου τῷ πλήθει τοῦ ἐλέους
βοῶ· τῆς μητρός σου ταῖς εὐχαῖς
δαίμοσι θηρσὶν ἀνημέροις
ψυχὴν μὴ παραδῷς τὴν ἐμὴν
ὡς ἀγαθὸς τὴν ἐξομολογουμένην σε.

**Ἀ**σπόρως συνέλαβες
ἀφθόρως ἐγέννησας
ἀφράστως βρέφος τρέφον βρέφη
Θεὸν ἐθήλασας τὸν γάλα ταῖς μητράσι
βρεφῶν χορηγοῦντα πρὸς τροφήν,
κόρη, καὶ τὰ νήπια τούτων
φυλάσσοντα, ὡς γέγραπται,
τὸν καὶ πνοὴν ζωῆς αὐταῖς χαριζόμενον.

Ὠδὴ ε'. Ἰησοῦς ὁ ζωῆς ἀρχηγός.

**Γ**εωργὸν τὸν κακόν με, Χριστέ,
τοῦ σοῦ ἀμπελῶνος κακηγκάκως
μὴ δὴ παραπολέσῃς
μηδ' ὡς ἄδικον εἰς τὸ σκότος ἐκπέμψῃς με
ὁ κλαυθμὸς ἔνθα πέφυκε
καὶ βρυγμὸς ὀδόντων
ἐν οἷς οὐκ ἔχει χώραν
μετανοίας τῆς εἰλικρινοῦς
ἰσχὺς ἡ σωτήριος.

**Ἀ**τενὲς ἰδεῖν εἰς οὐρανὸν
βάρει βαρυνόμενος πταισμάτων
οὐδόλως ἐξισχύω·
διὰ τοῦτό σε οὐρανοῦ τὸν δομήτορα
δυσωπῶ τὸ φορτίον μου
τὸ βαρὺ σκορπίσαι
τοῦ λογικοῦ δευτέρου
καὶ ἐμψύχου οὐρανοῦ,
Χριστέ, ταῖς ἐντεύξεσιν.



**Γ**ηγενῶν ἡ δόξα καὶ τιμὴ
καὶ τῶν γεωργῶν ἐλευθερία,
τῆς γῆς τε τῶν πραέων
ἀκαταίσχυντε προστασία πανύμνητε,
κληρονόμον με ποίησον
τῆς γῆς τῶν πραέων
καὶ ἀπὸ γῆς με τῆς δε
μεταβίβασον εἰς τὴν γῆν
τῶν ζώντων ὡς μήτηρ ζωῆς.

**Ἐ**ν κλαυθμῷ καὶ ὀδύνῃ ψυχῆς
καὶ ἐν συντριβῇ καρδίας ἥκω
στενάζων καὶ δακρύων
καὶ προσπίπτων σοι μετὰ θρήνων, πανάχραντε,
τὸν χρανθέντα με πταίσμασι
κάθαρον εὐχαῖς σου
καὶ τοῦ πυρός με ῥῦσαι
τῆς γεέννης τὸν ἐν πυρὶ
τῶν παθῶν καιόμενον.

**Π**αραδόξως Θεὸν Ἰησοῦν
ἕνα τῆς ἁγίας Τριάδος,
Παρθένε, τετοκυῖα
ἐλευθέρωσον ὑλικῆς ἐκ δυάδος με
καὶ τὸν νοῦν μου ἀνάδειξον
οἶκον τῆς Τριάδος
ὡς ἂν Τριὰς τριάδα
τὴν τριμέρειαν τῆς ψυχῆς
ἡ θεία φρουρήσειεν.

Ὠδὴ ς'. Ἡ φωνὴ τοῦ Λόγου.

**Ἀ**θετῶν ἀνόμως
θείους νόμους Θεοῦ καὶ παροργίζων
διηνεκῶς τὸν εὔσπλαγχνον
μετανοῆσαι
πολλῇ πωρώσει κρατούμενος ψυχῆς
ἀναισθησίᾳ τε
οὐ θέλω τὴν πώρωσιν, ἁγνή,
λῦσόν μου καὶ δός μοι διόρθωσιν.

**Ρ**εμβασμοῖς ἀτάκτοις
καὶ ἀκαίροις σχολαῖς ἠσχολημένη
τῆς ἐργασίας ἅπαντα
καὶ ἐμπορίας
καιρὸν παρῆλθες ἀκάρπως, ὦ ψυχή,
ὡς αἱ παρθένοι γοῦν
ῥυσθήσῃ δακρύουσα πικρῶς
τοῦ νυμφῶνος ἔξω καὶ κλαίουσα.

**Θ**ρηνωδῶν καὶ κλαίων
καὶ στενάζων πικρῶς προσέρχομαί σοι,
ὑπεραγία Δέσποινα,
ἐλέησόν με·
πολλὴν γὰρ ἔχεις ἰσχὺν πρὸς τὸν Θεόν·
μὴ γοῦν παρίδῃς μου
τὰ δάκρυα καὶ τὸν στεναγμὸν
μὴ βδελύξῃ μηδὲ ἀπώσῃ με.

**Ἐ**μὲ μὴ δὴ βαπτίσῃς
βάπτισμα κακῶς τὸ θεῖον
τοῖς μολυσμοῖς καὶ ῥύποις
μολύναντα σαρκὸς
ἀλλ' εὐσπλαγχνίας σου ῥοαῖς
ἀποπλύνας με, σωτήρ,
διὰ τῆς τεκούσης σε σῶσόν με.

**Ν**υσταγμῷ καὶ σκότει
συσχεθεὶς τῶν παθῶν ἠμαυρωμένα
φέρω ψυχῆς τὰ ὄμματα,
φωτὸς λυχνία
τοῦ νοητοῦ, Παρθένε, φωτὶ σῶν πρεσβειῶν
φώτισον σῶσόν με
καὶ δός μοι θεάσασθαι τὸ φῶς
τὸ ἐκ σοῦ φωτίσαν τὰ πέρατα.

## ΚΑΘΙΣΜΑ

### *Ἦχος β'. Εὐσπλαγχνίας.*

**Τ**ῆς ψυχῆς μου ῥαθυμίαν τὴν χαλεπὴν
καὶ καρδίας μου πώρωσιν, μῆτερ Θεοῦ
ἐπινεύσασα ἴασαι ταῖς πρεσβείαις σου
καὶ σωζομένων μερίδος καταξίωσον
λυτρουμένη με σκότους καὶ κολάσεως
ὡς μόνη ἐλπίς μου καὶ παράκλησις.

ᾨδὴ ζ'. Νέους εὐσεβεῖς.

*Ἕ*ως ὁ καιρός,
ψυχή, σοι τοῦ βίου δαψιλεύεται
ἕως ὁ χρόνος ὁ βραχὺς ἐνίσταται
τῆς πανηγύρεως
ἔλαιον τὸ σὸν ἀγγεῖον πλήρωσον
ἵνα φαεινὴν ὑπανάψασα
τὴν λαμπάδα σου θάλαμον
εἰς ἀθάνατον,
εἰς νυμφικὰ σκηνώματα
συνεισέλθῃς νυμφίῳ Χριστῷ.

*Σ*βέσον τὴν πολλὴν
πυρὰν τῆς σαρκός μου καὶ τὴν κάμινον
ῥιπιζομένην σφόδρα
πονηρίας δεινοῖς πνεύμασι
ποικίλων παθῶν ἀναπτομένην τε
ὕλῃ ῥυπαρᾷ καὶ πρὸς ὕψωμα
αἰρομένην ἀέριον,
ὑπερύμνητε
εὐλογημένη Δέσποινα,
ἵνα πόθῳ ὑμνῶ σε ἀεί.

*Ὅ*λος ἀπορῶ
καὶ φρίκῃ καὶ κλόνῳ κατασείομαι
τὴν φοβερὰν δευτέραν, κόρη,
παρουσίαν βαλλόμενος
εἰς νοῦν τοῦ υἱοῦ σου καὶ τὸ ἄστεκτον
βῆμα καὶ φρικτὸν καὶ τὸ θέατρον
τὸ παγκόσμιον· ἔνθα με
ἀκατάκριτον
ἀναφανῆναι ποίησον,
ἀγαθή, τὸν κατάκριτον.

*Ν*εῦσον ἐπ' ἐμέ,
ἑτοίμη ἀντίληψις, πανάχραντε,
καὶ προστασία καὶ βεβαία
τῶν πιστῶν βοήθεια,
καὶ πάσης με λύτρωσαι κολάσεως
ἵνα ἐν φωνῇ ἀληθείας
εὐχαρίστως σωθεὶς ἐκβοῶ·
ὑπερύμνητε,
εὐλογημένος, πάναγνε,
ὁ καρπὸς τῆς σῆς κοιλίας.

*Δ*όξα τῶν πιστῶν
μελλούσης με δόξης καταξίωσον,
δεδοξασμένη Θεοτόκε
παναγία Δέσποινα,
τὸν πόθῳ ἐν ὕμνοις σε δοξάζοντα·
σὺ γὰρ τὸν Θεὸν τὸν δοξάζοντα
τοὺς αὐτὸν νῦν δοξάζοντας
ἀπεγέννησας
εὐαγὲς οὖσα τέμενος
τοῦ Θεοῦ τῆς ἁγίας δόξης.

ᾨδὴ η'. Μυστήριον παράδοξον.

*Ὀ*δύρομαι καὶ τρύχομαι
καὶ ὀδυνῶμαι πάντοθεν ὅταν μου
τὰς πράξεις ἀθρήσω
καὶ ἀναλογίσωμαι πλήθη τῶν ἐγκλη-
[μάτων μου,
Θεογεννῆτορ
Παρθένε, δεινῶς
ἀπολλύμενόν με σῶσον·
σὲ γὰρ ὑμνοῦσι λαοὶ
καὶ ὑπερυψοῦσιν
εἰς πάντας τοὺς αἰῶνας.

*Ὑ*πότρομος, κατάφοβος,
περιδεής τε γίνομαι ἄθεσμα,
παράνομα πράξας ἔργα
καὶ κολάσεως πυρὸς καὶ κατακρίσεως
ἠξιωμένα
καὶ πάσης ἑτέρας
βασάνου βαρυτέρας·
ἀλλὰ κἀμοὶ βοηθός,
βοήθεια πάντων,
γενοῦ, Θεοκυῆτορ.

*Δ*εόντεια φρυάγματα
δαμασαμένη λέπτυνον, λίκμησον
ὡσεὶ χοῦν, Παρθένε,
θείου κατὰ πρόσωπον ἀνέμου
ὡσεὶ πηλὸν πλατειῶν δὲ
πηλῷ τῶν παθῶν
τοὺς φέροντάς με δαίμονας λέανον
ἀφανισμῷ τούτους
δοῦσα καὶ ἀπωλείᾳ

*Ὀ*δύνης ἐν γεέννῃ με
τῆς πικροτάτης λύτρωσαι δάκρυον
ἐκτενές μοι δοῦσα
καὶ πένθος χαρμόσυνον
ἔμμονον πόνον, ἄχραντε,
καὶ στεναγμὸν λογισμόν τε
μεστὸν κατανύξεως καρδίας



ἀληθινὴν συντριβὴν
μεμεριμνημένης
σημεῖα μετανοίας.

*Ν*εκρωσαί μου τὴν ἄβυσσον
τῆς εὐσπλαγχνίας, Δέσποινα, βόρβορος
τῶν ἐμῶν πταισμάτων
ὅλως οὐ δεδύνηται·
πέλαγος ἀδιόρατον
ἔχεις καὶ γὰρ σεμνοθείας
ξηραῖνον θαλάσσας ἀνομίας·
διὸ παθῶν μου ῥοὴν
ξήρανον ῥανίσιν,
ἁγνή, τῶν οἰκτιρμῶν σου.

ᾨδὴ θ'. Ἀπορεῖ πᾶσα γλῶσσα.

*Ἰ*δού, Παρθένε, τρόμος μου
κατέχει τὰ μέλη
καὶ ἡ ἰσχύς μου πᾶσα ἐκλιμπάνει
ἐξ αἰσχύνης τῶν κακῶν μου·
πάσης τιμωρίας ἄξια γὰρ
ἔπραξα ἔργα
καὶ δειλιῶ ἐντεῦθεν
Θεοῦ τὴν ἀπειλήν·
σὺ δὲ χριστιανῶν ἡ προστάτις
πρόστηθι σῶσόν με.

*Ὢ* πῶς ἀσώτως ὅλον
τῆς ζωῆς μου τὸν χρόνον
ἐν ἀνομίαις ἔζησα καὶ πράξεσι
ἠνάλωσα βεβήλοις·
οἴμοι! τὸν καιρὸν ὃν εἴληφα
πρὸς ἐργασίαν
τῶν ἐντολῶν τῶν θείων
βιῶν ἡδυπαθῶς·
σὺ δὲ χριστιανῶν ἡ προστάτις
πρόφθασον σῶσόν με.

*Ἀ*πὸ περάτων μέχρι
τῶν περάτων ἠχούσης
τῆς ἀνιστώσης σάλπιγγος
τοὺς πάλαι ἐξ αἰῶνος
κοιμηθέντας καὶ πρὸς τὸ φρικτὸν
κριτήριον ἀθροιζομένους
τοῦ δοῦναι λόγον πάντας
ἀνθρώπους τῷ Θεῷ
σύ με χριστιανῶν ἡ προστάτις
πρόφθασον σώζουσα.

*Ν*έκρωσον μέλη
τὰ ἐπὶ γῆς, Θεοτόκε,
καὶ τῆς σαρκός μου, πάναγνε,
τὰς ἐπαναστάσεις
καὶ ὁρμὰς τὰς ἀκαθέκτους
παῦσον καὶ ψυχήν μου
ζώωσον νενεκρωμένην
κεχρυσωμέναις πτέρυξι δὲ τῶν ἀρετῶν
ταύτην πρὸς ἀπαθείας τὸ θεῖον
ὕψος ἀνύψωσον.

*Ν*ῦν ὡς τελώνης δεύτερος
κραυγάζω στενάζων
τύπτων τὸ στῆθος ἔξωθεν
ἐντὸς δὲ τὴν καρδίαν
ἀνετάζων ἥμαρτον ὁ τάλας
ἥμαρτον καὶ οὐκ ἰσχύω
εἰς οὐρανὸν τὸ ὄμμα
διᾶραι τολμηρῶς
σὺ δὲ χριστιανῶν ἡ προστάτις
πρόφθασον σῶσόν με.

*Ἡ*μέρα πένθους ὄντως
ἡ ἡμέρα ἐκείνη
καιρὸς δακρύων ἀλλὰ ἀνονήτων
τοῖς νυνὶ μὴ θρηνοῦσιν
ὅτε ὁ κριτὴς ἐλεύσεται
νεκροὺς καὶ ζῶντας
κρῖναι δικαίους ἅμα
καὶ τοὺς ἁμαρτωλοὺς
τότε χριστιανῶν ἡ προστάτις
πρόστηθι σῶσόν με.

*Ν*οὸς τοῦ πρώτου πᾶσαν
ὑπὲρ νόησιν, κόρη
Θεογεννῆτορ, τέτοκας
υἱὸν ἠγαπημένον
θείων νόων τὸν παραγαγόντα
τάγματα ἐκ τοῦ μὴ ὄντος·
διὸ γεραίρειν λόγοις
ἀξίως ἀτονεῖ
σὲ τῶν χριστιανῶν τὴν προστάτιν
νοῦς ὁ ἀνθρώπινος.

# 44

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

*Πυλῶν σκότους ῥῦσαί με τοῦ φωτὸς πύλη' ἔπος Ἰωάννου.*

Κώδ. Ι 77 Λαύρας. 52 φ. 49 β Βλατέων.

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

***Ἦχος β'. Ὠδὴ α'. Ἐν βυθῷ κατέστρωσε ποτέ.***

**Π**αθοκτόνον πένθος καὶ κλαυθμὸν
λύπην τε χαρμόσυνον
καὶ στεναγμὸν παρακλήσεως πρόξενον
παράσχου μοι, Δέσποινα,
καὶ ταπείνωσιν ἀληθῆ καὶ κατάνυξιν
τὴν δακρυοφόρον
καὶ τὸ πῦρ τὸ ἄσβεστον σβεννύουσαν.

**Ὑ**λοτόμος, Δέσποινα, γενοῦ
τὴν ὑλομανοῦσάν μου
καὶ χερσωθεῖσαν καρδίαν καθαίρουσα
καὶ προρρίζους τίλλουσα
καὶ ἐκτέμνουσα καὶ πυρὶ θείῳ καίουσα
τὰς ἀκανθηφόρους
καὶ θανατηφόρους ἁμαρτίας μου.

**Λ**επρωθέντα νοῦν καὶ τὴν ψυχὴν
κάθαρόν με, Δέσποινα,
ὡς τὸν λεπρὸν ὁ υἱός σου ἐκάθηρε
θέλω καθαρίσθητι
ἐπειποῦσά μοι· καὶ γὰρ πάντα τῷ λόγῳ σου
πείθεται τεκούσης
Λόγον τῷ πατρὶ τὸν συναΐδιον.

**Ὡ**ς πηγὴν καὶ ῥίζαν καὶ ἀρχὴν
μόνην ὡς αἰτίαν σε
τῆς σωτηρίας ἡμῶν καὶ θεώσεως
ἱκετεύω, Δέσποινα,
κατανύξαι μου τὴν καρδίαν καὶ τρῶσαί με
βέλει γλυκυτάτῳ
πόθου τοῦ υἱοῦ σου καὶ Κυρίου μου.

**Ν**οητοῖς ἐν ὄμμασιν ὁρᾶν
σὲ τὸ ἀγαλλίαμα
τῆς ταλαιπώρου ψυχῆς μου παράσχου μοι
ἐπεὶ ἀπεστέρημαι
ὁ ἀνάξιος τοῦ ὁρᾶν τὴν εἰκόνα σου·
μὴ οὖν ἐν διπλῷ με,
Δέσποινα, κολάσῃς ὑπὲρ δύναμιν.

Ὠδὴ γ'. Τῆς πίστεως ἐν πέτρᾳ με.

**Σ**ταλάζειν δακρυρρόους πυκνὰς λιβάδας
καὶ βρέχειν τὴν στρωμνήν μου τὴν κλίνην λούειν
νυκτὶ καὶ ἐν ἡμέρᾳ ἀξίωσόν με,
Θεογεννήτρια, ἵνα δοξάζω σε
ἔχων εἰς παράκλησιν τὸ ὀδύρεσθαι.

**Κ**αὶ ῥήμασι καὶ πράγμασιν ἀλιτήσας
καὶ ἔργοις καὶ ἐν λόγοις ἐξαμαρτήσας
τὴν ῥήματι καὶ πράγματι Θεοτόκον
ἔργῳ καὶ λόγῳ τε κυριοτόκον ἁγνὴν
δυσωπῶ σε, Δέσποινα, ἐλεῆσαί με.

**Ὀ**δύρομαι καὶ στένω καὶ σκυθρωπάζω
τὴν ὥραν ἐνθυμούμενος καὶ ἡμέραν
ἐν ᾗ γεγυμνωμένος καὶ τρέμων ὅλος
παρασταθήσομαι τῷ ἀδεκάστῳ κριτῇ
ἀνακριθησόμενος ἐφ' οἷς ἔπραξα.

**Τ**ὴν ἔμψυχον πορφύραν τοῦ βασιλέως
τὴν ἔμπνουν ἁλουργίδα Θεοῦ τοῦ Λόγου
ἐξ ἧς θεοϋφάντατος σὰρξ ὑφάνθη



ὡς ἁλουργόχροος χλαμὺς βασίλειος
τῷ Θεῷ μου, Δέσποινα, μεγαλύνω σε.

**Ὁ** νόμος ὁ θεόσδοτός σε ἐτράνου
ὁ πόκος ὁ θεόδροσος σὲ ἐδήλου
ὁ τόμος ὁ θεόγραφός σε ἐτύπου·
ἐν σοὶ γάρ, Δέσποινα, ἀγράφως Λόγος πατρὸς
ἐγγραφεὶς κατέγραψε βίβλῳ ζώντων ἡμᾶς.

Ὠδὴ δ'. Ἐλήλυθας ἐκ Παρθένου.

**Ὑ**πέκκαυμα καὶ τροφὴν καὶ δαπάνην ἀδάπανον
γεέννης γενέσθαι με
καὶ τοῦ πυρὸς παρανάλωμα,
Δέσποινά μου Δέσποινα,
μὴ συγχωρήσῃς· εἰς σὲ γὰρ ὄντως ἤλπισα.

**Σ**τενάζοντα ἐν νυκτὶ καὶ ἡμέρᾳ ἑκάστοτε
καὶ θρήνοις κοπτόμενον
καὶ ῥαντιζόμενον δάκρυσιν
οἰκτειρόν με, Δέσποινα,
καὶ ἀοράτῳ ῥοπῇ μου παρακάλεσον.

**Ῥ**ομφαία μου τὴν καρδίαν ὀξεῖα διέρχεται
καὶ μάχαιρα δίστομος
ἕως ψυχῆς μου εἰσέρχεται
ὅτι ἀπεστέρημαι
τοῦ προορᾶν ἐν εἰκόνι σε, πανύμνητε.

**Ὑ**πέμεινα ὑπομένων ἐν σκότει σε, Δέσποινα,
καὶ πῦρ ὑποσμύχον με
καὶ τὴν τῶν σπλάγχνων διάλυσιν
φλέγον ἐκαρτέρησα
τὴν σὴν ἰδέαν μὴ βλέπων· διὸ πρόσχες μοι.

**Σ**πλαγχνίσθητι καὶ γενοῦ μοι, Παρθένε, συνέριθος
τὴν σὴν παντοδύναμον
ἐπικουρίαν διδοῦσά μοι
ὅπως ἐργασάμενος
Θεοῦ τὸ θέλημα τύχω σωτηρίας ψυχῆς.

Ὠδὴ ε'. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

**Ἀ**νατολὴ
τοῦ ἡλίου τῆς δόξης
λάμψον μοι φέγγος
θείας κατανύξεως τῷ ἐν σκότει
ἐγκαθημένῳ
καὶ σκιᾷ τοῦ θανάτου
πρὸ θανάτου καὶ πρὸ ταφῆς ὡς νεκρῷ
ὅπως τὸν νεκρὸν
τὸν ἐμὸν ἀποκλαύσωμαι.

**Ἴ**δε καιρὸς
ἐργασίας, ψυχή μου,
πενθεῖν ἐτάχθης
θρήνησον καὶ πένθησον ἑκουσίως
ὡς ἂν φυγοῦσα
τὸ ἀκούσιον πένθος
τὸ ἐκεῖσε καὶ ἀπαράκλητον
εὕρῃς ὡς πενθήσασα
ὧδε παράκλησιν.

**Μ**ετὰ Θεὸν
ἐπὶ σὲ ἀνεθέμην,
Θεογεννῆτορ,
πᾶσάν μου ἐλπίδα καὶ προσδοκίαν·
αὐτὴ γενοῦ μοι
ἀπλανὴς ὁδηγία
σωτηρίας καὶ συνεργὸς ἀγαθὴ
πρὸς τὴν ἀρετὴν
καὶ τὸν βίον τὸν ἔνθεον.

**Ἐ**ὰν μὴ σὺ
ψυχικήν, Θεοτόκε,
φυλάξῃς πόλιν
εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων·
ἐὰν μὴ σὺ δὲ
οἶκον οἰκοδομήσῃς
ὡς ἐκ λίθων τῶν ἀρετῶν ἀσφαλῶς
οἱ οἰκοδομοῦντες
εἰκῇ ἐκοπίασαν.

**Τ**ῆς σῆς ἐκτὸς
βοηθείας, Παρθένε,
καὶ συνεργίας
μάταιος ὁ πόνος κενὸς ὁ κόπος
ὁ τῶν ἀνθρώπων
ὁ ἱδρὼς καὶ ὁ μόχθος
καὶ ὁ σύμπας ἀγὼν ἀνίσχυρος·

ὅθεν μοι βοηθῆναι
ποθοῦντι συνέργησον.

Ὠδὴ ϛ'. Ἐν ἀβύσσῳ πταισμάτων.

***Ὀ***νειράτων οὐδὲν διενήνοχε
διαλυομένου καπνοῦ οἷα ἅπερ εἰσι
τὰ ἐν τῷ βίῳ ἅπαντα·
σπεῦσον κτῆσαι, ψυχή μου, τὰ μένοντα.

***Ὑ***δροφόρος γενοῦ ξυλοφόρος τε
καὶ Γαβαωνίτης, ψυχή μου, δακρύουσα
καὶ τὸν σταυρόν σου αἴρουσα
ἵνα φείσηταί σου Ἰησοῦς ὁ Χριστός.

***Φ***ωτοφόρον τοῦ Λόγου παλάτιον
τὸν ἐσκοτισμένον κατ᾽ ἄμφω με φώτισον
καὶ τοὺς κρυφίους πόδας μου
εἰς ὁδὸν τῆς εἰρήνης κατεύθυνον.

***Ὡ***ς ἐν λάκκῳ ζοφώδει με ἔθεντο
καὶ ἐν σκοτεινοῖς ὡς νεκρόν με ἐκάθισαν
οἱ τοῖς σκοτίας ἄρχοντες
τῷ φωτί σου, Παρθένε, με φώτισον.

***Τ***ὴν ἰσχὺν καὶ σοφίαν καὶ δύναμιν,
κόρη, τοῦ πατρὸς ἡ τεκοῦσα εἰς πόλεμον
περίζωσόν με δύναμιν
καὶ χαλκοῦν τόξον θοῦ τοὺς βραχίονάς
[μου.

## ΚΑΘΙΣΜΑ

***Ἦχος β'. Τὴν ἐν πρεσβείαις.***

***Ἡ*** ἐν ἀνάγκαις σωσίψυχος κυβερ-
[νῆτις
καὶ ἐν κινδύνοις ἀκαταίσχυντος προ-
[στάτις,
μόνη μητρόθεε καὶ ἀμόλυντε,
τῇ προσευχῇ νεῦσον
ὀδυνηρῶς βοῶντός σοι·
τὴν λύπην τῆς ψυχῆς μου διασκέδασον.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

***Ὁ*** φῶς κατοικῶν
ὡς ἱμάτιόν τε φῶς ἀναβαλλόμενος
τὸ ἐκ φωτὸς φῶς τὸ ἀΐδιον
ὁ τοῦ φωτὸς μόνος Κύριος
σοῦ τὴν θεοδόχον γαστέρα
ὡς παστάδα πολύφωτον
καὶ φωτοφόρον ὡς σκηνὴν
ᾤκησε, Δέσποινα.

***Σ***τενάζω πικρῶς
καὶ θρηνῶ περιπαθῶς καὶ κλαίω ὀδυ-
[νηρῶς
ὅτι τὸ μόνον ἀγαλλίαμα
ὅτι τὴν μόνην παράκλησιν
τῆς πολυωδύνου ψυχῆς μου
οὐχ ὁρῶ ἐν εἰκόνι σε
ἄχραντον βρέφος τὸν Χριστὸν
φέρουσαν, κόρη, χεροῖν.

***Π***ηγὴ φωτισμοῦ
παραδείσου λογικοῦ ἐξαφθεῖσα
τῆς γῆς ποτίζει πᾶν τὸ πρόσωπον
τρυφῆς χειμάρρους ὡς ἄνωθεν
Πνεύματος ἁγίου ἡ χάρις
ἐκ σοῦ, πάναγνε Δέσποινα,
ἧς καταξίωσον κἀμὲ
μεταλαβεῖν δαψιλῶς.

***Υ***ἱὸν τοῦ Θεοῦ
διὰ σπλάγχνα οἰκτιρμῶν υἱὸν ἀνθρώπου
γεγενημένον ἡ γεννήσασα
υἱὸν φωτὸς καὶ ἡμέρας με
τὸν υἱὸν νυκτός τε καὶ σκότους,
ὑπεράμωμε, ποίησον
καὶ οὐρανίου με πατρὸς
ἄξιον δεῖξον υἱόν.

***Λ***υχνία χρυσῆ
φωτοφόρε κιβωτὲ ἁγία τράπεζα
πύρινε θρόνε βάτε ἄφλεκτε
θυμιατήριον πάγχρυσον
ἔνδοξε περίβλεπτε πόλις
πορφυρόχρυσε θάλαμε
χρυσοπορφύρωτε παστάς,
Δέσποινα, σῶσόν με.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

***Ἡ*** προστασία τῶν πιστῶν
ἡ ἐλπὶς καὶ ἡ χαρὰ τῶν θλιβομένων
εἰς χαρὰν ἐμοὶ τρέψον
τὸν κοπετόν μου, ἁγνή,
καὶ δός μοι ἀνθ᾽ ὧν νῦν οὐ βλέπω σε
τῷ αἰῶνι τούτῳ
βλέπειν σε ἐν ἐκείνῳ.



***Ἐ***νώπιόν σου ἐκχεῶ
ἐν κλαυθμῷ καὶ στεναγμῷ τὴν δέησίν
[μου
τῆς ψυχῆς μου τὴν θλῖψιν
ἀπαγγελῶ σοι, ἁγνή,
ἰδοὺ γὰρ τρικυμίαι θλίψεων
καταδαπανῶμαι
μὴ βλέπων σε τὸ φῶς μου.

***Π***ύργος ἰσχύος μοι γενοῦ
καὶ ὀχύρωμα ἐχθροῦ ἀπὸ προσώπου,
παναγία Παρθένε,
καὶ παροικεῖν με τῷ σῷ
ἁγίῳ παράσχου σκηνώματι
καὶ σοῦ τῶν πτερύγων
σκεπάζεσθαι τῇ σκέπῃ.

***Ὅ***λη καλὴ καὶ καθαρὰ
ὅλη ἄμωμος ἁγνὴ ἠγλαϊσμένη
ὅλη ὡραϊσμένη
ἐκλελεγμένη σὺ εἶ
ὡραία ὅλη πανευφήμητος
ὅλη γλυκασμὸς
ὅλη, Δέσποινα, ἡδύτης.

***Σ***ὲ παραστάτιν δεξιὰν
καὶ προστάτιν κραταιὰν εὕροιμι, κόρη,
ἐν καιρῷ τῆς ἐξόδου
ἐν τῷ ἐκλίπειν πικρῶς,
Παρθένε, ἐξ ἐμοῦ τὸ πνεῦμά μου·
σκολιὰς γὰρ τρίβους
ὥδευσα καὶ τραχείας.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

***Ἵ***να θεώσῃ ἀνθρώπους
ὁ Θεὸς φιλανθρώπως
ἐκ σοῦ ἐνανθρωπήσας ὑπὲρ νοῦν
σὲ προστασίαν ἀνέδειξε
τῶν ἀνθρώπων, Παρθένε,
διό σε ὡς θεάνθρωπον Λόγον
ὑπὲρ λόγον τεκοῦσαν
ἄνθρωποι πάντες σέβομεν.

***Ὡ***ς δυνατὸν ἐν ἰσχύϊ,
Θεοτόκε, τεκοῦσα
Χριστὸν τὸν παντοδύναμον Θεὸν
τὸ ἀσθενές μου δυνάμωσον
ἐκ δυνάμεως θείας
πορεύεσθαι εἰς δύναμιν ἀεὶ
ἀρετῶν με ποιοῦσα
τῇ σῇ δυνάμει, Δέσποινα.

***Ἀ***πὸ κοιλίας μητρός μου
ἐπὶ σὲ ἐπερρίφην
καὶ σοὶ ἐγκαταλέλειμμαι, ἁγνή,
ὁ ταπεινὸς καὶ πτωχὸς ἀρετῶν·
σὺ γενοῦ μοι, Παρθένε,
θερμὴ χειραγωγὸς πρὸς ἀρετὴν
τῆς ἐμῆς σωτηρίας
τὰς τρίβους ὁμαλίζουσα.

***Ν***ῦν καὶ ἀεὶ καὶ εἰς πάντα
τῆς ζωῆς μου τὸν χρόνον
καὶ τὸν τῆς παροικίας μου καιρὸν
μὴ διαλίπῃς φρουροῦσά με·
σὺ γὰρ εἶ τῆς ψυχῆς μου
χαρὰ καὶ φωτισμὸς καὶ γλυκασμὸς
καὶ ἐν σοὶ ἀνεθέμην,
Δέσποινα, τὰς ἐλπίδας μου.

***Ν***έος παράδεισος ὤφθης
πολλῷ κρείττων τοῦ πρώτου
τὸ ξύλον τῆς ζωῆς τῆς ἀληθοῦς
φέρουσα, κόρη, ἐν μέσῳ σου
Ἰησοῦν τὸν σωτῆρα
φρικτῶς ἀναβλαστήσαντα ἐν σοὶ
καὶ κακίας τὴν βλάβην
ῥιζόθεν ἀνασπάσαντα.

***Ο***ὐρανοδρόμον νεφέλην
ἐποχούμενος ὅτε
κατέλθῃ ἐπὶ γῆς ὁ σὸς υἱὸς
κρῖναι τὸν κόσμον, ὡς γέγραπται,
ἡγουμένων ἀγγέλων
ἀΰλων ἑπομένων στρατιῶν
τῆς ἐμῆς ἀσθενείας,
Παρθένε, ἐπιμνήσθητι.

***Ὑ***περαγία Παρθένε
ὑπεράμωμε κόρη
ὑπέραγνε ὑπέρτιμε σεμνή,
ἄρμα τοῦ Λόγου ὑπέρφωτον
τῆς ἀθλίας μου ψυχῆς
τὸ φῶς καὶ ἡ πνοὴ καὶ ἡ ζωὴ
ὥσπερ οἶδας ὡς θέλεις
ἐλέησον καὶ σῶσόν με.

# 45

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

«Ὄμβρησον, ἁγνή, δακρύων μοι λιβάδας· θρῆνος Ἰωάννου.»

Κωδ. Ι 77
Λαύρας.
59 φ. 49 β Βλατέων.

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

### Ἦχος β΄. Ὠδὴ α΄. Τὴν Μωσέως ᾠδήν.

**Ὀ**μβρησόν μοι, ἁγνή,
δακρύων ῥεῖθρα δαψιλῆ
κατανύξεως πηγὴν
τοῖς ὀφθαλμοῖς μου δώρησαι, κόρη,
ὅλον καθ᾽ ἑκάστην με πλύνουσα.

**Μ**ετανοίας καιρὸν
καὶ προθεσμίαν ἔχουσα ζωῆς
στυπτὴν πρὸ τῆς ταφῆς
καὶ τῆς ἐξόδου, ψυχή μου, κλαῦσον
ἵνα μὴ θρηνήσῃς αἰώνια.

**Β**αρυτάτου βρυγμοῦ
τοῦ τῶν ὀδόντων ῥῦσαί με, σεμνή,
καὶ κλαυθμοῦ καὶ στεναγμοῦ
καὶ πικροτάτου ψυχροῦ ταρτάρου
σκότους ἐξωτέρου καὶ σκώληκος.

**Ρ**υπαρῶν λογισμῶν
καὶ ἀκαθάρτων καὶ φθοροποιῶν
βορβορώδης θολερὰ
πλημμύρα βλύζει ἐν τῇ ψυχῇ μου
δάκρυσιν, ἁγνή, ταύτην ξήρανον.

**Ἡ** ἀξίνη ἐγγὺς
ἡ ἀκαρπία σφύζει πρὸς τομὴν
ἡ ἀμέλεια πολλὴ
τὰ δὲ φορτία δυσβάστακτά μου,
Δέσποινα Παρθένε, βοήθει μοι.

Ὠδὴ γ΄. Στερεωθέντα μου τὸν νοῦν.

**Σ**τεναγμοὺς διηνεκεῖς
συντριβὴν καρδιακὴν
ταπείνωσίν τε
μετανοίας καιρὸν
λογισμὸν ἐπιστροφῆς
δός μοι, πανύμνητε.

**Ὁ** ζοφώδης ποταμὸς
τοῦ πυρὸς τοῦ ἀφεγγοῦς
ὁ τάρταρός τε
καὶ τοῦ ᾅδου ὁ πυθμὴν
πικρὰν ἕλκειν με ζωὴν
καταναγκάζουσιν.

**Ν**οητῶς καὶ αἰσθητῶς
ἐν ἡμέρᾳ καὶ νυκτὶ
προσπίπτω σοι
μετὰ πόνου τῆς ψυχῆς
νοητῶν καὶ αἰσθητῶν
ἐχθρῶν με ῥῦσαι, ἁγνή.

**Ἀ**κανθώδεις μελησμοὺς
ἀχυρώδεις λογισμοὺς
καὶ φρυγανώδεις
κεκτημένος πράξεις
ὢ πῶς μέλλω σὺν αὐταῖς
κατακαῆναι πυρί.

**Γ**εωργὸν τῶν οἰκτιρμῶν
χορηγὸν τῶν ἱλασμῶν
ἡ τέξασα
γεωργὸν ἀρετῶν
ἀθανάτων με φυτῶν
ποίησον, Δέσποινα.



Ὠδὴ δ΄. Τὴν ἐκ Παρθένου σου γέννησιν.

**Ν**εκρὸν ἐν κλίνῃ τοῦ σώματος
περιφέρων τὸν νοῦν μου
ὡς υἱὸν μονογενῆ
ὡς ἄλλη χήρα
ὀδύρομαι καὶ ὀλολύζω
ὅν περ δέσποινά σε
ἐξανάστησον, κόρη,
ὡς τῆς χήρας τὸν υἱὸν ὁ σὸς υἱός.

**Ἡ** ἀνεώργητος ἄρουρα
ἡ ἀνήροτος χώρα
ἡ βλαστήσασα χαρὰν
χαρμοσυνοῦ
κατανύξεως δακρυοβρύτου
χάρισαί με χάριν
καὶ χαρμόσυνον πένθος
ὅπως εὕρω παρακλήσεως ἐκεῖ.

**Δ**όλῳ τοῦ ὄφεως, Δέσποινα,
τῆς ἐν τῷ παραδείσῳ
ἐκπεσὼν διαγωγῆς
ὀδυνηρὸν
καὶ πολύδακρυν βίον εὑράμην·
ὅθεν δυσωπῶ σε
τὴν ἀρχαίαν πατρίδα μου
καὶ φίλην διὰ σοῦ ἀπολάβω.

**Ἀ**πεγνωσμένος ἐξ ἔργων μου
καὶ μὴ ἔχων ἐλπίδα
σωτηρίας παντελῶς
τοῖς οἰκτιρμοῖς σου,
πανύμνητε, πίστει προστρέχω
τῶν ἀπηλπισμένων
ἡ ἐλπὶς ἡ μεγάλη
καὶ βεβαία σῶσόν με, μῆτερ Θεοῦ.

**Κ**ατανοῶν τὸ κριτήριον
ἐν ᾧ μέλλω κριθῆναι
ὁ κατάκριτος ἐγὼ
θρηνῶ καὶ κλαίω
καὶ κόπτομαι καὶ σκυθρωπάζω
πλήθη κεκτημένος
ἀμετρήτων πταισμάτων
καὶ βοῶ σοι· σῶσόν με, μῆτερ Θεοῦ.

Ὠδὴ ε΄. Ὁ τοῦ φωτὸς χορηγός.

**Ρ**ῦπον χειλέων ἡμῶν
τὸν προστριβέντα μοι πολλοῖς πάθεσι
τοῦ μυστικοῦ ἄνθρακος πυράγρα
καθάρισον, ἁγνή,
καὶ ἁμαρτιῶν μου
τὴν ὕλην κατάφλεξον.

**Ὑ**πὸ ἀνοίας, ἁγνή,
εἰς ἀπονοίας ἐπαρθεὶς φύσημα
πτῶμα δεινὸν ὑπέστην· ἀλλά μοι
παράσχου νικῆσαι
διὰ μετανοίας
τὴν πρώην παραίνεσιν.

**Ὠ**δῖνα ἐπώδυνον
ἡ ἀνωδίνως τὸν Χριστὸν τέξασα
δέξαι ψυχῆς ἀπὸ κατωδύνου
ἀναπεμπομένην
καὶ τῆς πανωδύνου
γεέννης με λύτρωσαι.

**Ν**υγέντα βέλει πικρῷ
τοῦ πολεμήτορος ἐχθροῦ, Δέσποινα,
βέλει γλυκεῖ νύξον με τοῦ πόθου
Χριστοῦ τοῦ δι᾽ ἐμὲ
λόγχῃ νενυγμένου
πλευρὰν τὴν ζωήρρυτον.

**Μ**αρία πάναγνε,
ἡ τῆς σοφίας τὴν πηγὴν βλύσασα,
μῆτερ Χριστοῦ τῆς αὐτοσοφίας,
σόφισόν με ἐκκλίνειν
τὰ τοῦ σοφιστοῦ
τῆς κακίας σοφίσματα.

Ὠδὴ ς΄. Ἄβυσσος ἁμαρτημάτων.

**Ὄ**μβροις με δακρύων πλῦνον
καὶ κατανύξεως ῥείθροις
μέθυσον τὰς αὔλακας, ἁγνή,
τὰς τῆς καρδίας μου
καὶ πλήθυνον τὰ γεννήματα ταύτης.

**Ἴ**σχυσεν ἡ ἁμαρτία
συνήθειαν προσλαβοῦσα
καὶ παγιωθεῖσα τῷ χρόνῳ
ἕξιν δυσκίνητον
πρὸς ἀρετὴν τῇ ψυχῇ μου ἐνθεῖναι.

**Λ**ῦσόν μου τὰς πολυπλόκους
σειρὰς τῶν πλημμελημάτων
ῥῆξον τὰ χειρόγραφα, σεμνή,

πάντα γὰρ δύνασαι
γεννήσασα τὸν δυνάμενον πάντα.

*Ἵ*σταμαι ἐν μεταιχμίῳ
δύο παθῶν ἀντιρρόπων
ὥσπερ ἐν τρυτάνῃ καὶ ζυγῷ
πλὴν μὴ νικήσειεν
ἀπόγνωσις τὴν ἐλπίδα μου, κόρη.

**Β**άσανοι καὶ τιμωρίαι
πικραὶ κολάσεις δριμεῖαι
μάστιγες καὶ στρέβλαι καὶ δεσμὰ
ἄλυτα μένουσι
τὴν ψυχήν μου, ὧν με ῥῦσαι, Παρθένε.

## ΚΑΘΙΣΜΑ

**Ἦχος β'. Τοὺς ἀσφαλεῖς.**

**Τ**ῆς θείας καὶ ἀπορρήτου φύσεως
τὴν ὑπὲρ νοῦν καὶ ὑπὲρ λόγον, ἄχραντε,
γενομένην οἰκητήριον
οἱ ἐν ἀνάγκαις ἱκετεύομεν·
λυτροῦσαι γὰρ κινδύνων καὶ θλίψεων
παρέχουσα τὴν ῥῶσιν τῶν ἰάσεων
ὡς μήτηρ πάντων βασιλεύοντος.

Ὠδὴ ζ'. Τὰ χερουβὶμ μιμούμενοι.

**Ἀ**νομιῶν κλυδώνιον,
ζάλη πλημμελημάτων,
χειμὼν ἁμαρτημάτων,
παραπτωμάτων καταιγὶς
τὴν ταπεινὴν ψυχήν μου ταράττουσι, Δέσποινα,
καὶ ὠθοῦσιν εἰς ἀπογνώσεώς με βυθὸν
λιμένι γαληνῷ τῷ τῆς μετανοίας
προσόρμισόν με, κόρη.

**Δ**ιχοτομεῖν ἠπείλησε
καὶ εἰς τὸ πῦρ ἐκπέμπειν
Χριστὸς τοὺς σπαταλῶντας
ἄλλους δὲ τύπτοντας λιμῷ·
ἐγὼ δὲ ὡς μὴ μέλλων ἐλθεῖν εἰς ἐξέτασιν
μηδὲ δοῦναι λόγον τῷ ἀδεκάστῳ κριτῇ
σαρκῶν ἐνεκπαθῶν ἡδοναῖς οὐ φρίττω
πεινώσης τῆς ψυχῆς μου.

**Ἀ**κανθηφόρος ἄρουρα
χώρα τριβολοφόρος
καὶ γῆ κεχερσωμένη
ἐξ ἀπομβρίας τῶν παθῶν
ὤφθη μοι ἡ καρδία· διὸ καὶ ἀπέπνιξεν
ὅνπερ εἶχε σπόρον τῶν ἀρετῶν ἐκ Θεοῦ
κατάρας παλαιᾶς ἀλλ' οὐκ εὐλογίας
βλαστήσασα βοτάνην.

**Σ**υντετριμμένην, Δέσποινα,
καὶ τεταπεινωμένην
καρδίαν δώρησαί μοι
ὡς ἂν ἡμέρας καὶ νυκτὸς
περιπαθῶς θρηνήσας Θεὸν ἱλεώσωμαι
ἕως ἄρτι τῆς μετανοίας ἔχω καιρὸν
πρὶν ἡ φοβερὰ τοῦ θανάτου ὥρα
ἐπέλθῃ μοι ὡς κλέπτης.

**Θ**ρήνει, ψυχή, καὶ στέναξε
σκυθρώπαζε καὶ πένθει
ἵνα τὸ πένθος φύγῃς
τὸ ἀπαράλλακτον ἐκεῖ·
ἰδοὺ γάρ σοι προλέγω καὶ διαμαρτύρομαι
ὅτι ἂν περ μὴ μετανοῇς ἐνταῦθα καλῶς
εἰς γέενναν πυρὸς μέλλεις ἐμβληθῆναι
ἐν ᾗ πικρῶς θρηνήσεις.

Ὠδὴ η'. Ἰνδάλματος χρυσοῦ.

**Ῥ**εόντων καὶ φθαρτῶν
τὸ ἀβέβαιον καὶ ἄστατον καὶ σκιῶδες
καὶ εὐδιάλυτον,
ψυχή μου, παρορωμένη πρὸς τὰ ἑστῶτα
καὶ διηνεκῆ καὶ μόνιμα
τρέψον σου τὸν πόθον
καὶ πᾶσαν μετάθες ἐπιθυμίαν
ἵνα τῶν ἀφθάρτων καλῶν κατατρυφήσῃς.

**Ἡ** ἔξοδος ἐγγὺς
διορύξαι τὴν οἰκίαν ὁ κλέπτης σπεύδει
εἰς χεῖρας εἴληφε
δρέπανον ὁ θερίζων καὶ ἀναμένει
ἄνωθεν λαβεῖν τὸ σύνθημα
δεῦρο πρὸ τοῦ τέλους
στενάξωμεν κλαύσωμεν, ὦ ψυχή μου,
καὶ τῇ Θεοτόκῳ προσδράμωμεν ἐν πίστει.



**Ν**εφέλη φωτεινή,
ἀνέσπερον καὶ ἄδυτον ἥλιον δόξης
πολυχρόνιστον
παλάτιον τοῦ Δεσπότου, παστὰς ὡραία
ὡραῖον νυμφίου, Δέσποινα,
ὅτε ἐν νεφέλαις
ἐρχόμενος ἥξει ποιῆσαι κρίσιν
ὁ κοινὸς Δεσπότης μνήσθητι τῆς ψυχῆς μου.

**Ὁ** νέος οὐρανός,
ὁ μυρίπνοος παράδεισος καὶ εὐώδης
ἐν ᾧ ἐβλάστησε
τὸ ξύλον τῆς ἀφθαρσίας τοῦ οὐρανίου δείπνου
κοινωνὸν καὶ μέτοχον
δεῖξόν με, Παρθένε,
καὶ τῆς γλυκερᾶς καὶ εὐωδεστάτης
καὶ ἀδιαρρεύστου τρυφῆς τοῦ παραδείσου.

**Σ**ύνεχε μου, σεμνή,
τὴν ψυχὴν ἀγωνία καὶ ἀπορία
εἰς τὸ δικάσιμον
κριτήριον ὅταν ἴδω καὶ τὸ φρικῶδες βῆμα
κατὰ νοῦν λογίσωμαι
ἀλλ' ἡ συλλαβοῦσα
τῆς κτίσεως κτίστην καὶ συνοχέα
ῥῦσαι τῆς ἐν ᾅδου συνοχῆς τὴν ψυχήν μου.

Ὠδὴ θ'. Τὸν γηγενῶν ὡς ἥκουσε.

**Ἰ**δοὺ καιρός, ψυχή μου, μετανοίας
μετανοήσωμεν θερμῶς·
ἐν γὰρ τῷ ᾅδῃ οὐκ ἔστιν ἐξομολόγησις·
παροδικὸς γὰρ ὁ βίος καὶ ταχυδρόμος
λυόμενος ὡς ὄναρ
καὶ ὡς σκιὰ ἢ ὡς καπνὸς
εἰς ἀέρα σκεδαννύμενος.

**Ὡ**ς τοῦ κριτοῦ παρόντος καὶ ὁρῶντος
πάντα, ψυχή, τὰ κατὰ σὲ
ἀναστροφαῖς ἁγίαις νῦν ἀναστράφηθι
καὶ ὑπὲρ λόγων ἀργῶν καὶ ἐνθυμίων
λόγον τῷ Λόγῳ δώσεις
ὅτι αὐτῷ φύσις βροτῶν
ἐνθύμιον ἐξομολογήσεται.

**Ἅ**ρμα Θεοῦ ἀνώτερον, Παρθένε,
τῶν χερουβὶμ καὶ σεραφὶμ
τὸ λογικὸν τῆς ψυχῆς μου μέρος καὶ ἄλογον
ὥσπερ δεσήνιον ἵππον καὶ ἀναβάτην
ῥίψον εἰς ἀπαθείας
θάλασσάν σοι τὸν ἐπινίκιον
ὕμνον ὅπως ᾄσωμαι.

**Ν**ενυμφευμένη Πνεύματι ἁγίῳ
ὑπὸ πασῶν τῶν γενεῶν,
Θεογεννήτρια κόρη, σὺ μόνη δέδειξαι·
διό σοι πίστει προσπίπτω καὶ δέομαί σου
νυμφῶνος οὐρανίου
ἐπιτυχεῖν καὶ τῆς γλυκείας
τοῦ νυμφίου ὡραιότητος.

**Ν**ῦν πρὸς ἑσπέραν ἐστὶν ἡ ἡμέρα
καὶ πρὸς δυσμὰς ἡλιακάς·
ἡ ἑνδεκάτη γὰρ ὥρα ἤδη παρέδραμε·
πρὶν οὖν ὁ ἥλιος δύσει, ψυχή, τοῦ βίου
καὶ πρίν σε καταλάβῃ
θανάτου νὺξ ἑτοίμαζέ σου
τὰ ἔργα εἰς τὴν ἔξοδον.

**Ὁ** ποταμὸς ὁ πύρινος ἐλέγχειν
μέλλει τὰ ἔργα σου, ψυχή,
πόσων οὖν χρῄζεις δακρύων, πολυαμάρτητε,
ὡς ἂν ἀβλαβῶς διέλθῃς τὸ πῦρ ἐκεῖνο·
διὰ λουτροῦ δακρύων
λοῦσον σαυτὴν καὶ κατανύξεως
ῥείθροις θοῦ διάβροχον.

**Ὑ**ποχωρεῖ πᾶς ἔπαινός σοι, κόρη,
καὶ πᾶν ἐγκώμιον βροτῶν·
σὺ γὰρ ἐγκώμιον μᾶλλον ἡμῶν καὶ ἔπαινος·
ἀντὶ παντὸς οὖν ἐπαίνου καὶ ἐγκωμίου
οἱ δοῦλοί σου, Παρθένε,
πόθῳ πολλῷ σε Θεοτόκον
κυρίως ὀνομάζομεν.

# 46

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

## ΕΥΧΑΡΙΣΤΗΡΙΟΣ

Κώδ. Θ 91
φ. 324 α. Λαύρας.

ΠΟΙΗΜΑ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΣΤΟΥΔΙΤΟΥ 1)

***Ἦχος β'. Ὠδὴ α'. Ἐν βυθῷ κατέστρωσε.***

**Ἐν** φωναῖς ᾀσμάτων ἱερῶν
αἶνον χαριστήριον
χρεωστικῶς τῇ Θεοτόκῳ ᾄδω σοι
ἀνθ' ὧν περιέπεις με
ὑπὲρ ἁπάντων ὧν ἔχω βοήθειαν·
σὺ μετὰ Θεὸν γάρ,
Δέσποινα, ὑπάρχεις μοι προσφύγιον.

**Ἐμπεσὼν** εἰς σάλον πειρασμῶν
πότε σε ἐζήτησα
καὶ οὐ ταχὺ ἐπράϋνας τὸν κλύδωνα;
τὸν νοῦν μου εἰρήνευσας
ἀπὸ παντοίας ἐπηρείας ἐξήρπασας·
ὅθεν εὐλογῶ σε,
Δέσποινα, καὶ ἀνυμνῶ τὸ κράτος σου.

**Ἀπογνοὺς** τῷ πλήθει τῶν δεινῶν
ἔκλαυσα καὶ εὗρόν σε
προασπισμὸν τῶν ἀναγκῶν ἐξαίρουσαν
πάντοτε προφθάνεις μοι
ἀδιάλειπτος σωτηρία ὑπάρχεις μου·
ὅθεν εὐλογῶ σε,
Δέσποινα, καὶ ἀνυμνῶ τὸ κράτος σου.

**Ἐν** φωτὶ αὐτή μοι δᾳδουχεῖς
νύκτωρ φυλακτήριον
μεσημβρινοῦ ἀπαλλαγὴ συμπτώματος
πλέοντι συμπλέουσα
ὁδοιποροῦντι συμπαροῦσα τῷ δούλῳ σου
πάντα μοι ὑπάρχεις,
Δέσποινα, εἰς ἔλεον ἀμέτρητον.

**Ἐν** παντὶ ἐξαίφνης θροϊσμῷ
μόνον σου τὸ ὄνομα
ὅτι φωνῶ καὶ δέους ἀπαλλάττομαι·
τοιαύτη ἡ χάρις σου
καὶ τηλικαύτη ἡ ἄμετρος ἀξία σου
ἥ περ πᾶς προστρέχων,
Δέσποινα, ἐξ ἀναγκῶν λελύτρωται.

**Ἐν** τρισὶν προσώποις θαυμαστῶς
μία ἡ ἀΐδιος
καὶ αὐτουργὸς θεότης ἀνυμνεῖται
οὐκ οὐσία τέμνεται
οὐ συνείληπται χαρακτῆρος μονότητι
εἷς Θεὸς ἁπάντων
Κύριος πατὴρ υἱὸς σὺν Πνεύματι.

**Ὦ** ἁγνή, εἰπὲ πῶς γαλουχεῖς
πῶς δὲ μήτηρ πέφηνας
παρθενικῇ σφραγῖδι ἀπαστράπτουσα;
— μὴ ἐρεύνα ἄβυσσον
μὴ τὰ ἄληπτα κατὰ φύσιν ἐξέταζε·
εἷς Θεὸς ἁπάντων
Κύριος, ὃν σαρκὶ γεγέννηκα.

Ὠδὴ γ'. Στειρωθέντα μου τὸν νοῦν.

**Οὐρανός** σε ἀνυμνεῖ
καὶ ἡ γῆ σε εὐφημεῖ
μεθ' ὧν κἀγώ σοι
ὀφειλὰς ἀποδοὺς
ἀνθ' ὧν ὤφθης μοι,
σεμνὴ Θεογεννήτρια.

1) Ἐν τῷ Θεοτοκαρίῳ Νικοδήμου σ. 29 εὕρηται κεκολοβωμένος καὶ ἐπ' ὀνόματι Θεοδώρου τοῦ Στουδίτου. Ἐν Κώδ. Θ 91 Λαύρας ἐπ' ὀνόματι Ἰγνατίου.



**Συσχεθέντα** ἐν δειναῖς
ἀπογνόντα καὶ τοῦ ζῆν
ἠλέησάς με
ἡ ἐλπὶς τῶν βροτῶν
ἐξελοῦσα τῶν κακῶν
σὸν παῖδα, Δέσποινα.

**Πεποιθήσει** τῇ εἰς σὲ
λυτρωθεὶς τῶν πειρασμῶν
ἀνακραυγάζω
ἐκ βαθέων ψυχῆς·
σύ μου σκέπη καὶ χαρά,
Θεογεννήτρια.

**Τρισυπόστατε** μονὰς
ὁμοούσιε Τριὰς
θεότης μία
ὁ πατὴρ καὶ ὁ υἱὸς
καὶ τὸ Πνεῦμα τὸ εὐθὲς
σῶσον τὸν κόσμον σου.

**Τίς** αἰνεῖν σε γηγενῶν
κατ' ἀξίαν ἱκανοὶ
Παρθενομῆτορ;
σὺ γὰρ ἐν γυναιξὶ
μόνη ὤφθης ἐκλεκτὴ
καὶ παμμακάριστος.

## ΚΑΘΙΣΜΑ

***Ἦχος β'. Εὐσπλαγχνίας ὑπάρχουσα.***

**Τὸ** ἐξαίσιον θαῦμα τῆς σῆς λοχείας,
μητροπάρθενε κόρη, τίς μὴ θαυμάσει;
πῶς παρθενία καὶ τόκος συνέδραμε
πῶς δὲ θηλάζεις παρθένος ὑπάρχουσα;
εἰμὴ ὡς οἶδεν ὁ ἐκ σοῦ σαρκωθείς·
αὐτὸν ὑπὲρ ἡμῶν δυσώπει ὃν ἔτεκες.

Ὠδὴ δ'. Τὴν ἐκ Παρθένου σου γέννησιν.

**Εὐχαριστήριον** αἶνόν σοι
κατὰ χρέος ἐπᾴδω,
ὑπερύμνητε ἁγνή,
ὅτι προφθάνεις
ἐν οἰκτιρμοῖς τὸν σὸν οἰκέτην
ὅτι με παρόντα
ἐν παγίσιν ἀφύκτοις
τῶν κακούντων ἐλυτρώσω θαυμαστῶς.

**Τὸ** τοῦ παντὸς ἀγαλλίαμα
καὶ προσφύγιον πάντων
σὺ εἶ, Δέσποινα ἁγνή,
ἐν ᾧ προσφεύγω
κἀγὼ ἐν περιστάσει
λέλυμαι κινδύνων
καὶ χαρᾷ ἀναμέλπω
σύ μου σκέπη, Θεοτόκε, ἀσφαλής.

**Τὴν** φοβεράν σου ἐπίκλησιν
ὁπηνίκα ἀκούσῃ
ἡ δαιμόνιος πληθὺς
ἀποδιδράσκει
ὡς ἐκ πυρὸς δειματουμένη·
ὅθεν μου φωνοῦντος,
Θεοτόκε, βοήθει
ἐπακούειν μὴ παρίδῃς, ἀγαθή.

**Ὅτι** οὐκ ἐπάξιον
ἀναθέσθαι σοι δῶρον
ὁ οἰκέτης σου, ἁγνή,
ἐμαυτὸν οἴσειν
ὁμολογῶ δι' εὐπραξίαν·
τοῦτο γάρ σοι φίλον
φιλανθρώπῳ τε οὔσῃ
προσάγαγε σεσωσμένον με Θεῷ.

**Τὸ** ἐπιπόθητον ὅραμα
ἐν εἰκόνι σου βλέπω
τὴν κυρίαν τοῦ παντός·
καὶ γὰρ ἐν ταύτῃ
θαυματουργεῖς βρύουσα
χάριν τῷ ἐν πεποιθήσει
προσιόντι σοι δούλῳ
ἐξαίρουσα, Θεοτόκε, τῶν δεινῶν.

**Τῇ** ἀμερίστῳ θεότητι
τρισαγιαζομένῃ
ὁμοδύναμον μορφὴν
φῶς τὸν πατέρα
φῶς τὸν υἱόν, φῶς καὶ τὸ Πνεῦμα
ἀνθομολογῶ σε
τῇ οὐσίᾳ συνάπτω
καὶ προσώποις ἀμερῶς σε διαιρῶ.

**Ὢ** παραδόξου ἀκούσματος!
τίκτει βρέφος παρθένος
τὸν αἰώνιον Θεὸν
διπλοῦν τῇ φύσει

μοναδικὸν δὲ ὑποστάσει
φέροντα ἀφύρτως
τὰ ἐξ ὧν συνετέθη
γνωρίσματα καὶ Θεοῦ τε καὶ βροτοῦ.

Ὠδὴ ε'. Ὅτι νὺξ τῶν παθῶν.

*Ὅ*τι σὺ ἡ ἰσχὺς
τῆς ἀσθενοῦς καρδίας μου
εἰκότως σε ἀνυμνῶ, ἁγνή, καὶ φθέγγομαι·
τί κραταιά σου ἡ ῥοπὴ
τῆς δυνάμεως ἐν προστασίαις!

*Ὅ*τι σοῦ ἡ εἰκὼν
θαυματουργεῖν ἐγνώρισται
ῥωννύμενος ἐν αὐτῇ κἀγὼ προσφθέγγομαι·
τί ὡραιώθη ἡ μορφὴ
τοῦ προσώπου σου, Θεογεννῆτορ!

*Ὅ*τι σοὶ ἐμαυτὸν
προσαναθεὶς ἐπήλπισα
βοήθεια καὶ ἐχθρῶν γενοῦ μοι, Δέσποινα,
σοῦ ἡ πρεσβεία γὰρ σεπτὴ
καὶ ἡ δύναμις ἀμαχωτάτη.

*Ὅ*τι σὲ ἐν δεινοῖς
ἐπικουρεῖν ἐζήτησα
εὐήκοος ἱλασμὸς ἔσο μοι, Δέσποινα,
σὺ σωτηρία καὶ ἐλπὶς
τοῦ οἰκέτου σου, Παρθενομῆτορ.

*Ὅ*τι εἷς ὁ Θεὸς
κἂν τρία φῶτα πρόσωπα
πατὴρ καὶ υἱὸς καὶ Πνεῦμα ἅγιον
φῶς τὸ τρισήλιον αὐτὸς
ἡ ἀΐδιος παγκρατορία.

*Ὅ*τι σοῦ ἐκ γαστρὸς
ἀποτεχθεὶς ὁ Κύριος
διπλοῦς προῆλθε, ἁγνή, Θεὸς καὶ ἄνθρωπος
πᾶς γηγενής σε ἀνυμνεῖ
καὶ οὐράνιαι ταξιαρχίαι.

Ὠδὴ στ'. Τύπος τῆς τριημέρου σου.

*Α*ἶνον ἐξομολόγησιν ὁμοῦ
καὶ εὐχαριστήριον, Δέσποινα,
προσφέρω σοι ἐκτενῶς
ἀνθ' ὧν με προσεδέξω
ὑπὲρ ὧν προσαιτεῖς μοι
ἐν ἡμέρᾳ θλιβερᾷ
ἱλεοῦσα πρὸς Κύριον.

*Ὅ*πλον φρουρητήριον ὁμοῦ
καὶ ἀλεξητήριον, Δέσποινα,
ὑπάρχεις μοι τῷ πτωχῷ
ἐξαίρουσα κινδύνων
φρουροῦσά με ἐκ βλάβης
ἐν ἐπάλξεσι στερραῖς
πρεσβειῶν σου πρὸς τὸν Κύριον.

*Κ*ρήνη ἀναβρυτάζουσα ἱλασμὸν
καὶ θειώδες ἔλαιον, Δέσποινα,
ὑπάρχεις ἀνελλιπὴς
δροσίζουσα τὸν κόσμον
τὰ πέρατα ψυχοῦσα
τὸν δὲ ψάλλοντα ἐμὲ
ποτίζουσα θεῖον ἴαμα.

*Τ*ίς σε οὐκ ἐγκωμίοις στεφανοῖ
τίς δὲ οὐ γεραίρει σε, Δέσποινα,
Θεοῦ γὰρ μήτηρ αὐτὴ
ἀγγέλους χαριτοῦσα
βροτοὺς φωταγωγοῦσα
τὸν δὲ ψάλλοντα ἐμὲ
δᾳδουχοῦσα πρὸς Κύριον.

*Τ*ρία τοῖς χαρακτῆρσί σε ὑμνῶ
ἓν δὲ οὐσιότητι ἄναρχος
θεότης ἡ παντουργὸς
ἡ μία βασιλεία
ἡ τρισήλιος δόξα
ὁ πατὴρ καὶ ὁ υἱὸς
καὶ τὸ Πνεῦμα τὸ πανάγιον.

*Τ*ύπος τοῦ ὑπὲρ νοῦν σου τοκετοῦ
ἀναθεωρούμενος, Δέσποινα,
ἡ βάτος ἡ ἐν Σινᾷ
πυρὶ ἀναπτομένη
καὶ μὴ φλογιζομένη·
καὶ γὰρ τίκτεις καὶ αὐτή,
μὴ φλεχθεῖσα, πῦρ τὸν Κύριον.

Ὠδὴ ζ'. Ἐν τῇ φλογοφόρῳ καμίνῳ.

*Ε*ὐχαριστηρίους ᾠδάς σοι
ὡς χηριακὴν εὐπορίαν



προσφέρω ὁ παῖς σου, Θεογεννῆτορ,
ἀνυμνῶν σου τὴν ἀντίληψιν
καὶ προστασίαν φοβεράν
εἰς ἀεί με σκέπε.

*Ἐ*ν πολυστενάκτῳ ὀδύνῃ
ὡς ἐν πυριφλέκτῳ καμίνῳ
ὑπῆρχον ὁ παῖς σου, Θεογεννῆτορ,
καὶ ἐρρύσθην ταῖς πρεσβείαις σου
τῆς συνεχούσης με δεινῆς
φλογὸς ὡς οἱ παῖδες.

*Σ*ὺ τῇ περιλύπῳ ψυχῇ μου
φάρμακον ἐκλῦον τὴν λύπην
ὑπάρχεις εὐσπλάγχνως, Θεογεννῆτορ,
ἐμποιοῦσα φῶς ἐγκάρδιον
τοῖς σκοτεινοῖς μου λογισμοῖς
καὶ φρουροῦσα σῶον.

*Τ*ῆς τρισσιδικῆς μοναρχίας
ἄσμητος ἡ μία θεότης·
πατὴρ γὰρ υἱός τε καὶ θεῖον Πνεῦμα
εἷς ἀμέριστος δοξάζεται
Θεὸς Κύριος καὶ φῶς
ὁ σωτὴρ ἁπάντων.

*Ἐ*ν παρθενικῇ σου νηδύϊ
ὡς ἐν οὐρανῷ ἐπικύκλῳ
βαστάζεις, Θεόπαις, τὸν πάντων κτίστην
καὶ τεκοῦσα ὡς πρὶν πάναγνος
διαμεμένηκας, σεμνή·
φοβερὸν τὸ θαῦμα!

Ὠδὴ η'. Παῖδες ἅγιοι καμίνῳ βεβλημένοι.

*Π*οίοις ᾄσμασιν
ποικίλλω σου τὸν τόκον, ἁγνή,
ὑπὲρ τῆς ἐμὲ εὐκταίας σκέπης σου;
σὲ γὰρ ἐν πειρασμοῖς
ἐξεῦρον δρόσον ζωῆς
τὸν πόνον ἀναψύχουσαν
καὶ παρορμῶσαν ψάλλειν με·
πάντα τὰ ἔργα Κυρίου
ὑμνεῖτε εἰς αἰῶνας τὸν Κύριον.

*Σ*ύ μου, Δέσποινα,
ἐλπὶς καὶ ἀρωγὴ κραταιὰ
ἐν περιστατικοῖς ἀγῶσι φθάσαντος
ταύτῃ γὰρ πεποιθὼς
ἐπιβουλὰς δυσμενῶν
δυναμωθεὶς ἐκτρέπομαι
καὶ εὐχαρίστως φθέγγομαι·
πάντα τὰ ἔργα Κυρίου
ὑμνεῖτε εἰς αἰῶνας τὸν Κύριον.

*Π*όρρω βέβλησο
δαιμόνιος πληθὺς ἀπ' ἐμοῦ
ὅτι μοι συμμαχεῖ μεγάλη δύναμις·
αὐτὴ γὰρ μήτηρ Θεοῦ
τὰς σὰς συγκλῶσα πάγας
κἀμὲ διαφυλάττουσα
ὡς ἐκ παγίδος ὄρνεον
εἰς τὸ βοᾶν ἀνελλιπῶς
ὑμνεῖτε εἰς αἰῶνας τὸν Κύριον.

*Τ*ρία πρόσωπα
δοξάζω ἐν οὐσίᾳ μιᾷ
πατρὸς υἱοῦ καὶ θείου Πνεύματος
κράτος ἓν ἀμερὲς
ἐπείπερ εἷς Θεὸς
οὐ δόξῃ διαιρούμενος
εἰ καὶ ταῖς ὑποστάσεσιν
ἡ μία φύσις τριλαμπὴς
ἥν περ ἀνυμνοῦμεν ὡς Κύριον.

*Μ*όνη ἄχραντε
διήλλαξας θεσμοὺς φυσικοὺς
ὅτι ἄνευ σπορᾶς υἱὸν γεγέννηκας
ἔχουσα ἐν ταὐτῷ
παρθενικὴν ἀστραπὴν
καὶ μητρικὴν συγγένειαν
καὶ σοῦ τὸ θαῦμα ᾄδεται
ἐν οὐρανῷ καὶ ἐπὶ γῆς
ἐπεὶ τίκτεις ἀρρήτως τὸν Κύριον.

Ὠδὴ θ'. Τῶν γηγενῶν τίς ἤκουσε.

*Τ*ῶν γηγενῶν τίς αἶνόν σοι οὐ πλέξει
ἢ τίς ἐγκώμια οὐ φῇ
ὅτι πρέσβυς ὑπάρχεις εἰς Θεὸν ἄπασιν
μεθ' ὧν κἀμοῦ ἐπὶ πᾶσιν τοῦ σοῦ οἰκέτου
ἀνθ' ὧν καὶ ἀναμέλπω
καὶ ἐν ᾠδαῖς, Θεοκυῆτορ
Μαρία, μεγαλύνω σε.

*Ἐ*ν συμφοραῖς λαμπρότερον ἡλίου
ἐναπαστράπτει σου τὸ φῶς·

τῇ κραταιᾷ προστασίᾳ σκεδάζουσα
τῆς ἀθυμίας νέφη ἐκ τῆς ψυχῆς μου·
διὸ καὶ ἀναμέλπω
καὶ ἐν ᾠδαῖς, Θεοκυῆτορ
Μαρία, μεγαλύνω σε.

*Π*άντες ὁμοῦ τὸ χαῖρέ σοι βοῶμεν
ὡς γεννησάσῃ τὴν χαρὰν
ὡς βραβευούσῃ, Παρθένε, πάντα τὰ [πέρατα
ὡς καὶ ἐμοὶ προστατεύεις τῷ σῷ οἰκέτῃ·
τοιαύτη σου ἡ χάρις
καὶ σὲ ἀεί, Θεοκυῆτορ
Μαρία, μεγαλύνω σε.

*Τ*ὰ τρία ἓν καὶ ἓν πάλιν ὑμνεῖται
τὸ ἓν τὰ τρία συμπληροῦν·
τρισὶ προσώποις γὰρ μία φύσις θεό- [τητος
καὶ ἐφ' ἑκάστῳ προσώπῳ πεπληρωμένη
πατὴρ υἱὸς καὶ Πνεῦμα
αὕτη ἐστὶν ἣν σὺν ἀγγέλοις
ἀπαύστως μεγαλύνομεν.

Ἐ*ν* γυναιξὶ σὺ μόνη ἐκληρώσω
θαῦμα πανθαύμαστον, ἁγνή,
τεκοῦσα καὶ μὴ φθαρεῖσα τὴν παρθε- [νίαν σου
ὁ ὑπὲρ φύσιν γὰρ τὴν φύσιν καινο- [τομῶν
αὐτὸς Θεὸς ἁπάντων
ὁ κυηθεὶς καὶ διὰ τοῦτο
σὲ πάντες μεγαλύνομεν.

# 47
# ΚΑΝΩΝ ΕΤΕΡΟΣ
## ΠΑΡΑΚΛΗΤΙΚΟΣ

Κώδ. Θ. 91 Λαύρας.

ΠΟΙΗΜΑ ΙΓΝΑΤΙΟΥ

***Ἦχος β'. Ὠδὴ α'. Βυθοῦ ἀνεκάλυψε.***

Ἡ πάντων δεσπόζουσα κτισμάτων
ἡ πανευκλεὴς καὶ παναγία
ἡ ἀντίληψις καὶ σκέπη τῶν περάτων
ἐν τῇ καρδίᾳ μου λάμψον φῶς
τοῦ υἱοῦ σου τὸ ἄδυτον.

*Κ*αὶ σκέπην σωτήριον καὶ τεῖχος
καὶ καταφυγὴν καὶ προστασίαν
σὲ κατέχω, παναγία Θεοτόκε,
ἀπὸ κινδύνων με ῥῦσαι,
Δέσποινα, ταῖς ἱκεσίαις σου.

*Ε*ἰς σὲ ἀνεθέμην τὰς ἐλπίδας
πάσας τῆς ψυχῆς μου τῆς ἀθλίας·
δός μοι χεῖρα βοηθείας, παναγία,
καὶ ἐκ φθορᾶς καὶ κινδύνων
σῶσόν με ταῖς ἱκεσίαις σου.

Ὁ πλάνος καὶ βάσκανος βελίαρ
ὅλην τὴν ἡμέραν παγιδεύει
τὴν ταλαίπωρον ψυχήν μου, Θεοτόκε,
ἀλλὰ γενοῦ μοι προστάτις,
Δέσποινα, τοῦτον ἐκτρέπουσα.

Ὠδὴ γ'. Ἰσχὺν ὁ διδούς.

Ἡ πάντων ἐλπὶς
καὶ σωτηρία ἡμῶν, ἄχραντε,
βοήθησον σῶσον, ἀγαθή,
καὶ ῥῦσαι τὴν ταλαίπωρον
ψυχήν μου, παναγία σεμνή,
καὶ τοὺς ἐχθρούς μου ὄλεσον
ἐν τάχει, Δέσποινα,
ὡς προστασία ἡμῶν.

Ἐμόλυνα νῦν
τὸ κατ' εἰκόνα Θεοῦ, Δέσποινα,
καὶ τρέμω τὴν ἄστεκτον ὀργὴν
καὶ σκώληκα ἀκοίμητον
καὶ πῦρ τὸ ἀκατάσβεστον·



αὐτή με νῦν διάσωσον
ἡ πάντα σκέπουσα
καὶ βοηθοῦσα ἀεί.

*Β*οήθησον νῦν
τῇ ταπεινῇ μου ψυχῇ, Δέσποινα,
γενοῦ καὶ ἀντίληψις στεῤῥά·
ἐχθροὶ γὰρ ἐπανέστησαν
ζητοῦντες τὴν ψυχήν μου λαβεῖν·
αὐτή με νῦν διάσωσον
καὶ τούτους ὄλεσον
τῇ κραταιᾷ σου χειρί.

Ἐ*ν* ζάλῃ δεινῇ
καὶ τρικυμίᾳ παθῶν, Δέσποινα,
περίκειμαι πάντοθεν, ἁγνή,
ἐκ πλήθους τῶν πταισμάτων μου
δέομαι κραυγάζων σοι·
ἐλέησον βοήθησον,
Παρθένε ἄχραντε,
τὴν ταπεινήν μου ψυχήν.

Ὠδὴ δ'. Ἀκήκοα Κύριε.

Ὁ βίος μου, ἄχραντε,
αἰσχρὸς καὶ δυσώδης
καὶ πλήρης ἀνομίας·
ἡ δὲ ἀντίληψις ἡ σὴ πανυπερτάτη,
ἁγνή, φωταυγὴς καὶ μεγάλη·
σύ με νῦν διάσωσον, κόρη,
ἡ καθαρὰ τὸν ἄσωτον·
σὲ γὰρ ἀεὶ προστασίαν ἔχω καὶ σκέπην [μου.

Ἡμάρτηκα, Δέσποινα,
ἐλέησον σῶσόν μου
ψυχὴν ἀπολλυμένην·
εἰς σὲ ἀνέθηκα τὴν πᾶσαν ἐλπίδα,
ἁγνὴ παναγία Παρθένε,
σύ με διαφύλαξον μόνη
ἡ φοβερὰ ἀντίληψις
ὅτε Χριστοῦ τῷ θείῳ βήματι παρί- [σταμαι.

Ἰάτρευσον, Δέσποινα,
ψυχῆς μου τὸ ἄλγος
ἰάτρευσον ἐν τάχει
ὅτι συνέχομαι ἐν πλείσταις ἁμαρτίαις
πολλαῖς καὶ κράζω ἐκ βάθους
καρδίας σῶσόν με τὸν ἄσωτον σῶσον
ἡ ἐλπὶς τῶν περάτων τῆς γῆς
σῶσον ψυχὴν ἀπολλυμένην, πανεύ- [σπλαγχνε.

Ἡ σκέπη σου, Δέσποινα,
μεγάλως με ῥύεται
κακῶν καὶ διασώζει
ἀπὸ κινδύνων τε λιμοῦ καὶ ψυχοφθόρου
ἐχθροῦ καὶ παντοίας ἀνάγκης·
ὅθεν εὐχαρίστως βοῶ σοι·
ἁγία Θεοτόκε σεμνή,
δέξαι, ἁγνή, τὴν προσευχήν μου καὶ [σῶσόν με.

Ὠδὴ ε'. Ἰησοῦς ὁ ζωῆς ἀρχηγός.

*Ν*ῦν καιρὸς μετανοίας, ψυχή,
πρόσελθε τῇ μόνῃ Θεοτόκῳ
κραυγάζουσα ἐν φόβῳ
σύ μου πρόστηθι, ἁγνή, καὶ καταφαί- [δρυνον
σύ με λύτρωσαι ἐκ χειρὸς
ἐχθρῶν μου, Παρθένε,
εἰς σὲ γὰρ ἔχω πᾶσαν
τὴν ἐλπίδα μου, ἀγαθή,
ἐν σοὶ γὰρ καὶ πέποιθα.

*Π*αναγία Δέσποινα ἁγνή,
ἡ τὸν πλαστουργὸν σαρκὶ τεκοῦσα
Χριστὸν τὸν εὐεργέτην
ἐξαγγέλλω σοι τὰς πολλὰς ἁμαρτίας μου
καὶ βοῶ σοι ἐν δάκρυσι
ἵνα ἐλεήσῃ
τὴν ταπεινήν μου ψυχὴν
ἐν ἡμέρᾳ κρίσεως
ὁ φύσει φιλάνθρωπος.

Ἐ*πὶ* σὲ ἐπεῤῥίφην, ἁγνή,
παντευλογημένη Θεοτόκε,
ἀπὸ γαστρὸς μητρός μου
ἀναγγέλλω σοι, ἀγαθή, πᾶσαν θλῖψίν [μου
ἵνα εὕρω ἀντίληψιν
ἐκ σοῦ, Θεοτόκε,
καὶ βασιλείας τύχω
τοῦ υἱοῦ σου, Θεόνυμφε,
ἐν ἡμέρᾳ κρίσεως.

Ὠδὴ ϛ'. Ἡ φωνὴ τοῦ Λόγου.

*Π*αναγία μῆτερ
ἡ τεκοῦσα Χριστὸν τὸν εὐεργέτην

καὶ πλαστουργὸν καὶ Κύριον
ἐλέησόν με
τὸν ἐν ἀνάγκαις ὄντα καὶ ζάλῃ τῶν δεινῶν
ἵνα σωζόμενος
τῇ θείᾳ σου σκέπῃ, ἀγαθή,
μεγαλύνω σου τὴν δύναμιν.

**Ἡ** μεσῖτις πάντων
καὶ κρηπὶς ἀσφαλὴς καὶ σωτηρία
ἡ κραταιὰ ἀντίληψις
ἐπάκουσόν μου
καὶ κινδύνων ῥῦσαι, πανάσπιλε ἁγνή,
τὴν κακωθεῖσάν μου
ψυχὴν ἐν τοῖς πάθεσιν·
ἐπὶ σοὶ γὰρ ἤλπισα, ἄχραντε.

**Ὁ** καιρὸς ἐγγίζει,
ψυχή, τοῦ θανάτου καὶ σὺ ἐμμένεις
εἰς ἀπωλείας βάραθρα
καὶ οὐ προστρέχεις·
καὶ μετὰ φόβου κρᾶξον τῇ μόνῃ ἀγαθῇ
σύ με ἐλέησον,
πανάμωμε Δέσποινα ἁγνή,
ἡ τὸν κόσμον ὅλον φωτίζουσα.

**Ρ**υπωθὲν τὸ κάλλος
τῆς ψυχῆς μου, ἁγνή, ἐκ τῆς ἀχλύος
τῶν πονηρῶν μου πράξεων
εἰς σὲ προσφεύγω
τὴν παμφαῆ λυχνίαν τὴν φαίνουσαν τὸ πᾶν
σύ μου ἐπίλαμψον
τὸ φῶς τοῦ υἱοῦ σου καὶ Θεοῦ
ἵνα πίστει χαίρων δοξάζω σε.

Ὠδὴ ζ΄. Νέους εὐσεβεῖς.

**Ἐ**πίβλεψον, ἁγνή,
καὶ σῶσον λαὸν ἡμαρτηκότα σοι·
ἐν σοὶ γὰρ πάντες τὴν ἐλπίδα
ἐθέμεθα, ἀνύμφευτε
κόρη καὶ ἀπείρανδρε,
σπεῦσον, ἀγαθή, καὶ βοήθησον
τοῖς ἐν ἀνάγκαις ἅπασιν
ἵνα ψάλλωμεν
εὐλογητὸς εἶ, Κύριε
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

**Δ**εῦτε ἐν κλαυθμῷ
στηρίγμως νῦν προσπέσωμεν τῇ Θεομήτορι
ἀσιγήτως ἐκ καρδίας
βοῶντες αὐτῇ· ἐλέησον,
μῆτερ, τοὺς ὑμνοῦντάς σε λύτρωσαι
ἡμᾶς ἀεί, Παρθένε, τῆς νῦν
ἐπελθούσης ὀργῆς
καὶ διάσωσόν με,
Παναγία, θείαις
πρὸς τὸν υἱόν μεσιτείαις σου.

**Ἐ**πελήσθην κακῶν
καὶ κατάκειμαι δεινῶς τῇ ἀπογνώσει
παρὼν καὶ οὐ τολμῶ τὸ ὄμμα
ὅλως ἀτενίσαι, πανάσπιλε,
εἰς τὸν οὐρανὸν διὰ τὰς πράξεις μου·
σύ με, ἀγαθή, καθοδήγησον
εἰς λιμένα σωτήριον·
σύ με λύτρωσαι
ἐκ τῶν ἐχθρῶν μου, πάναγνε,
ἡ τὸ πᾶν ἀεὶ φρουροῦσα.

Ὠδὴ η΄. Μυστήριον παράδοξον.

**Τ**ὴν δέησιν τῶν δούλων σου
ὡς παναγία Παρθένος πρόσδεξαι
ἐκ βάθους ψυχῆς μου
καὶ μὴ ἀπορρίψῃς με τοῦ σοῦ
προσώπου, Δέσποινα,
τὰς ἀνομίας μου
πάσας ἐν σοὶ ἀνατίθημι βοῶν σοι·
σύ με διάσωσον,
ἄχραντε, εἰς τοὺς αἰῶνας.

**Ἰ**δοὺ καιρὸς εὐπρόσδεκτος
ἐπιστροφῆς δεῦτε πάντες κράξωμεν
τιμῶντες Παρθένον·
παναγία Δέσποινα, ἐλέησον
τοὺς δούλους σου καὶ ἐκ τῆς νῦν
ἐπελθούσης θλίψεως
διάσωσον πάντας
ἵνα ὑμνοῦντες ἀεὶ
καὶ σὲ προσκυνοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

**Λ**αός σου ὁ χριστώνυμος
ἐν ἐκκλησίᾳ βοᾷ σοι, Δέσποινα
μῆτερ τοῦ Κυρίου,



τὴν δέησιν πρόσδεξαι τῶν ἀναξίων δούλων σου
καὶ τοὺς ἡμᾶς πολεμοῦντας
ἐν τάχει κατάβαλε, ἁγία,
ἵνα ὑμνῶ σε ἀεὶ
καὶ δοξολογῶ σε
εἰς πάντας τοὺς αἰῶνας.

**Ὃ**ν τρέμουσι τὰ σύμπαντα
ταῖς σαῖς ἀγκάλαις βαστάζεις, Δέσποινα,
καὶ τοῦτον θηλάζεις·
ξένον τὸ μυστήριον, φοβερὸν
τὸ τεράστιον ὅτι
ἐκ σοῦ ἐσαρκώθη
ὁ πλάστης τοῦ Ἀδὰμ καὶ Θεός μου·
τοῦτον δυσώπει, ἁγνή,
σῶσαι τοὺς σὲ ὑμνοῦντας
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἅπασα γλῶσσα.

**Τ**ὰς ἀσθενείας, ἁγνὴ
Δέσποινα παναγία,
τὰς τῆς ψυχῆς μου ἅμα καὶ τοῦ σώματος
ἰάτρευσον ἐν τάχει·
σὲ γὰρ προστασίαν κέκτημαι
καὶ σοὶ κραυγάζω
τῇ φιλανθρώπῳ ὄντως
μητρὶ τοῦ Θεοῦ·
ῥῦσαι τῆς ἀπειλῆς τῆς γεέννης
τοὺς σοὺς οἰκέτας, ἁγνή.

**Ἐ**λέησόν με, ἁγία
Δέσποινα παρθένε,
καὶ λύτρωσαί με πάσης κακώσεως
τοῦ πλάνου διαβόλου
ὃς ἐπισπεύδει πάντοτε
ἁρπάσαι θέλων
τὴν ταπεινήν ψυχήν μου
εἰς ὄλεθρον κακῶν·
σύ με ἐκ τοῦ πυρὸς τοῦ ἀσβέστου
ῥῦσαι πρεσβείαις σου.

**Ὑ**πὸ τὴν σκέπην, Δέσποινα,
τὴν σὴν καταφεύγω
καὶ μετὰ φόβου νῦν τῇ ἀντιλήψει σου
προστρέχων ἐκβοῶ σοι·
σύγγνωθι, ἁγνή, τὴν τόλμην μου
καὶ δέξαι ὕμνον
ἐκ ῥυπαρῶν χειλέων
ἀγόμενον εἰς σὲ
ῥῦσαι ἐκ τοῦ πυρὸς τοῦ ἀσβέστου
πάντας ὡς εὔσπλαγχνος.

---

# 48

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κώδ. 254 φ. 378α
Ἐθν. Βιβλ. Παρισίων
Ι 67 Λαύρας.

**Ἦχος β΄. Ὠδὴ α΄. Βυθοῦ ἀνεκάλυψε.**

**Ἡ** πάντων ὑπήκοος ἐν θλίψει
καὶ ἐν περιστάσει βοηθοῦσα,
Θεοτόκε ἀγαθή, χάριν παράσχου
τοῖς ἀνυμνῆσαι τολμῶσι, Δέσποινα,
τῶν λυπουμένων χαρά.

**Π**ολύολβον χάριν κεκτημένη
τῇ τεθαρρημένῃ σου πρεσβείᾳ
παραδόξως ἐξελοῦ τῶν πειρασμῶν με
τὸν πενιχρόν σου οἰκέτην, Δέσποινα,
τῶν λυπουμένων χαρά.

**Ἐ**χθρῶν ὁρατῶν καὶ ἀοράτων
λύτρωσαι ἡμᾶς παρακαλοῦμεν,
Θεοτόκε, τοὺς εἰς σὲ καταφεύγοντας
καὶ διασκέδασον πᾶσαν βούλησιν
τῶν πολεμούντων ἡμᾶς.

**Π**ερίελε ὄνειδος ἀνθρώπων
καὶ συκοφαντίαν ἐπιβούλων
ἀπ' ἐμοῦ, Θεογεννῆτορ, δυσωπῶ σε
ἵνα προθύμως δοξάζω Κύριον
ὃν περ ἐθήλασας.

Ὠδὴ γ'. Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε.

*Ἐ*χθρῶν ἐπιβουλὰς διασκεδάζουσα
ματαίας, πανύμνητε Θεοτόκε,
μὴ ἐλλίπῃς ταῖς πρεσβείαις σου
περιέπειν ἡμᾶς εὐφημοῦντάς σε.

*Ἐ*πίβλεψον, ἁγνή, ἵλεῳ ὄμματι
καὶ ῥῦσαι παντοίας ἐπιβουλῆς με
ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν
ἐκτυφλοῦσα τὰς κόρας τῶν ὀμμάτων
[αὐτῶν.

*Κ*ακίας ἀπειλὴν ὡς πῦρ παμφλάζου-
[σαν,
Παρθένε, ἐχθρῶν τῶν ἐκζητούντων
καθ' ἑκάστην ἀνελεῖν ἡμᾶς
δροσισμῷ τῆς πρεσβείας σου κατάσβε-
[σον.

*Ἀ*κοίμητε λαμπὰς ἀκτὶς ἀείφωτε,
νυκτί με τῶν θλίψεων συσχεθέντα
καταλάμπρυνον χαρμόσυνα
ἡ τεκοῦσα τὸν ἥλιον τῆς δόξης Χριστόν.

Ὠδὴ δ'. Ἀκήκοα Κύριε.

*Σ*ωτήριε γέφυρα
πρεσβεία ἀκοίμητε
ἀντίληψις βεβαία
παρακαλοῦμέν σε σπλαγχνίσθητι καὶ ἴδε
ἡμῶν τὴν ἀφόρητον θλίψιν
τοὺς πόνους τὴν λύπην τὰ πάθη
καὶ εὐμενῶς ἐπίσκεψαι,
μῆτερ Θεοῦ, χαρὰν ταχεῖαν βραβεύουσα.

*Ο*ὐκ ἄμοιροι, Δέσποινα,
τῆς σῆς ἀντιλήψεως
ἐσμὲν οἱ τεθλιμμένοι·
διὸ καὶ νῦν ἡμῖν βοήθησον ἐν τάχει
δεινῶς συσχεθεῖσιν ἐν ζάλῃ
καὶ χεῖρα προτείνουσα ἀεὶ
καὶ εὐμενῶς ἐπίσκεψαι,
μῆτερ Θεοῦ, χαρὰν ταχεῖαν βραβεύουσα.

*Ο*ὐκ ἤλπισαν, Δέσποινα,
εἰς σὲ τὴν ἐλπίδα αὐτῶν
ἀλλ' ἤλπισαν εἰς γλῶσσαν
μεγαλορρήμονα εἰς γλῶσσαν ἀνθρωπί-
[νην
ἀεὶ κεχηνότες φθονερῶς
ἀδίκως ἐκχέαι τὸ αἷμα
τὸ τοῦ πλησίον βρύχοντες·
σὺ γάρ, ἁγνή, τὰς μύλας τούτων σύν-
[θλασον.

*Τ*απείνωσον, Δέσποινα,
ἐχθρῶν τὸ ὑψαύχενον
μεγαλορρημονούντων
βουλὴν κακόγνωμον καρδίαν μελετῶσαν
δεινὰ καθ' ἑκάστην κατ' ἐμοῦ
ἰσχύν τε καὶ νίκην παρέσχου
τοῖς ἐπικαλουμένοις σε,
μῆτερ Θεοῦ, χαρὰν ταχεῖαν βραβεύουσα.

Ὠδὴ ε'. Ὀρθρίζομεν πρός σέ.

*Π*ρεσβεία ἀψευδὴς
ἐλπὶς χριστιανῶν
κεχαριτωμένη δέξαι τὰς δεήσεις ἡμῶν
τῶν ἐκτενῶς παρακαλούντων καὶ δεο-
[μένων σου.

*Π*ηγήν σε τῆς ζωῆς
ὑπάρχουσαν, ἁγνή,
τῆς ἀθανασίας βρύουσαν τὰ νάματα
οἱ γηγενεῖς ἐπεγνωκότες σὲ μακαρίζομεν.

*Ὡ*πλίσθη καθ' ἡμῶν
δολίως ὁ ἐχθρὸς
γλώσσῃ ὥσπερ ξίφει ἀνελεῖν βουλό-
[μενος·
ἀλλὰ τῇ σῇ, Θεογεννῆτορ, ἰσχύϊ πρό-
[φθασον.

*Τ*ὸ πέλαγος, ἁγνή,
τῶν ἀντιλήψεων
τίς ἐξαριθμήσει καὶ τὰς δυναστείας
[σου·
διὰ ἡμᾶς τοὺς ἐν ἀνάγκαις ταχέως πρό-
[φθασον.

Ὠδὴ στ'. Ἐν ἀβύσσῳ πταισμάτων.

*Ε*ὐφροσύνης ὑπάρχουσα πρόξενος
τοῖς προσκαλουμένοις σε καὶ νῦν ἐμφά-
[νηθι
καὶ ἐκ παντοίων λύτρωσαι
πειρασμῶν καὶ κινδύνων, Θεόνυμφε.

*Κ*ακουργίας ἐχθρῶν διασκέδασον
καὶ συκοφαντίας ἀδίκους κατάπαυσον,



εὐλογημένη πάναγνε,
λυτρουμένη ἀθώους ἐκ θλίψεως.

*Χ*αλεπαῖς ἁμαρτίαις κυκλούμενοι
καὶ πειρασμικαῖς συμφοραῖς κινδυ-
[νεύοντες
ὑπὸ τὴν θείαν σκέπην σου
καταφεύγομεν, μῆτερ Χριστοῦ τοῦ Θεοῦ.

*Ἀ*πειράνδρως τεκοῦσα τὸν Κύριον
ἄφθης μετὰ κύησιν πάλιν ἁγνεύουσα·
ὢ παραδόξου θαύματος!
τοῦ ἐν σοὶ πεπραγμένου, Θεόνυμφε.

Ὠδὴ ζ'. Ἵνα τὸν παράδοξόν σου τόκον.

*Ὢ* τῆς εὐσπλαγχνίας σου, Παρθένε
ἁγνή!
λύεις γὰρ ἀμέτρους συμφορὰς καὶ πει-
[ρασμοὺς
προσκαλουμένων ἐν ἀνάγκῃ ἐν περι-
[στάσεσι·
διὸ καὶ νῦν βοήθησον,
εὐλογημένη,
τοῖς σὲ ἀνευφημοῦσιν.

*Δ*εῖξον τὴν ταχεῖάν σου ἀντίληψιν
δεῖξον ὅτι δύνασαι ὡς μήτηρ τοῦ Θεοῦ
παρακαλοῦμεν ἐκ καρδίας δάκρυσι
[προσπίπτοντες
τὴν λύπην καταπράϋνον
καὶ τὴν ὀδύνην
τῶν δούλων σου ἐν τάχει.

*Σ*τόματα ἀνθρώπων ὡς λεόντων
[δεινῶν
τάφου χαλεπώτερον ἠνοίχθησαν πικρῶς
καταπιεῖν με, Θεοτόκε, ἀλλὰ σὺ ἐμ-
[φάνηθι
καὶ θραῦσον τὴν ἰσχὺν αὐτῶν,
εὐλογημένη,
ἐλπὶς ἀπηλπισμένων.

*Ὄ*ψονται ἐχθροὶ καὶ αἰσχυνθήτωσαν
καὶ ἴδωσαν τὴν σὴν ὑπὲρ ἡμῶν
ἀντιμαχοῦσαν δυναστείαν καὶ εἰς
[χάος ὄλλοιντο
θεόθεν ἐλαυνόμενοι,
εὐλογημένη,
ἐλπὶς ἀπηλπισμένων.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

*Τ*ὸ καταφύγιον ἡμῶν
καὶ τοῦ κόσμου χαρμονή, Θεογεννῆτορ,
παρακλήθητι σπεῦσον
τοῖς θλιβομένοις ἡμῖν
σπουδαίως τὴν χάριν σου δὸς ἡμῖν
καὶ ἀντιλαβοῦ,
ἀγαθή, τοῖς σοῖς ἱκέταις.

*Β*ουλὴν ματαίαν καθ' ἡμῶν
ἐβουλεύσαντο δεινῶς ἀθέων στίφη
ὡς ὁ πρὶν Ἀχιτόφελ
ἀλλὰ ταῖς σαῖς προσευχαῖς
βοῶμεν ταύτην διασκέδασον
θραύουσα τὴν τούτων
ἰσχύν, Θεογεννῆτορ.

*Ο*ἱ σὲ καλοῦντες ἐκ ψυχῆς,
Θεοτόκε, ἀψευδῶς ἐν πάσῃ θλίψει
καὶ ἐν νόσοις ποικίλαις
καὶ συμφοραῖς χαλεπαῖς
σπουδαίως ἐπάκουσον, Δέσποινα,
τούτους λυτρουμένη
ἀεὶ ταῖς σαῖς πρεσβείαις.

*Ἵ*να τὸ ὄνομα τὸ σόν,
Θεοτόκε, ἐπὶ γῆς δοξολογῆται
ὁ ἐκ σοῦ ἀνατείλας
ἁμαρτωλοῖς κραταιὰν
ἐλπίδα καὶ τεῖχος δεδώρηται·
διὰ σοῦ γὰρ πᾶσα
πνοὴ Θεῷ προστρέχει.

Ὠδὴ θ'. Ἀπορεῖ πᾶσα γλῶσσα.

*Φ*ιμούσθω πᾶσα γλῶσσα
πονηρὰ μελετῶσα
σιγάτω χείλη δόλια καὶ στόματα
ἀδίκως τὰ λαλοῦντα
κατὰ τοῦ δικαίου πάντοτε
τὴν ἀνομίαν
ἐν ὑπερηφανίᾳ
καὶ ζήλῳ φθονερῷ
ἄμφω τῆς Θεοτόκου πρεσβείαις
καὶ τῶν ἁγίων Χριστοῦ.

Τὴν ἐν πρεσβείαις ἄγρυπνον
ἁγνὴν Θεοτόκον
παρακαλοῦμεν πάντες οἱ ἐν νόσῳ

καὶ θλίψει συσχεθέντες,
  Δέσποινα ἁγνή, κραυγάζοντες
ταχέως ῥῦσαι
  τῶν συνεχόντων πόνων
τοὺς δούλους σου ἀεὶ
  ὅτι μετὰ Θεὸν πρεσβείαν
ἄλλην οὐκ ἔχομεν.

*Ἀ*πεγνωσμένων μέγα
καταφύγιον πέλεις
  κινδυνευόντων εὔδιος λιμὴν
σὺ ὑπάρχεις, Θεοτόκε,
  ὅθεν καὶ ἡμεῖς προστρέχομεν
εὐχαριστοῦντες
  μὴ αἰσχυνθῶμεν, μήτηρ
τῆς ὄντως ζωῆς,
  ἵνα εὐχαριστοῦντες,
προθύμως σὲ μεγαλύνωμεν.

*Π*ροσδέχου, πάναγνε κόρη,
τὸν ἔνθεον ὕμνον
  ἀντιδιδοῦσα χάριν τοῖς εἰς σὲ πεποιθόσι
καὶ εἰρήνην αἴτησαι
  ταῖς ἐκκλησίαις
ἀεὶ παρασχεθῆναι
  τοῖς βασιλεῦσι νίκας
καὶ τρόπαια ἡμῖν
  ἵνα χριστιανῶν πᾶσαι γλῶσσαι
σὲ μεγαλύνωμεν.

# 49

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ[1]

οὗ ἡ ἀκροστιχὶς

« ***Μητροφάνης μέλπει σε, Δέσποινα Θεοτόκε.*** »

Κῶδ. Ι 67 Λαύρας. 354 φ. 38 α. Ἐθν. Βιβλ. Παρισίων 52 φ. 52 Βλατέων.

ΠΟΙΗΜΑ ΜΗΤΡΟΦΑΝΟΥΣ

***Ἦχος β΄. Ὠδὴ α΄. Ἐν βυθῷ κατέστρωσε.***

*Μ*ορφωθεὶς ἐκ σοῦ τὸ καθ᾿ ἡμᾶς
ἥλιος ἀνέσπερος
  σὲ λογικὸν οὐρανὸν καὶ φανώτατον
προφανῶς ἀνέδειξε·
  διὸ ῥῦσαί με τῶν παθῶν τῆς ζοφώσεως
ὅπως ἀνυμνήσω
  πόθῳ σε τὴν μόνην μητροπάρθενον.

*Ἡ* πηγὴ ἐλέους τὸν Χριστόν,
πάναγνε, κυήσασα
  καὶ τὴν Ἐδὲμ τοῖς βροτοῖς διανοίξασα
πύλας μοι διάνοιξον
  τοῦ ἐλέους σου, Θεοτόκε, καὶ δώρησαι
τῶν πλημμελημάτων,
  Δέσποινα τοῦ κόσμου, τὴν συγχώρησιν.

*Τ*ὴν λαβίδα τὴν τὸν νοητὸν
ἄνθρακα βαστάσασαν
  καὶ τῶν βροτῶν τὴν φύσιν ἐκκαθάρασαν
δυσωπῶ σε, Δέσποινα,
  τὸν μολυσμὸν τῶν πταισμάτων μου ἄφελε
καὶ τῶν συνθολούντων
  ῥῦσαί με παθῶν ταῖς σαῖς δεήσεσι.

*Ρ*ῆξόν μου πταισμάτων τὰς σειρὰς
πάντων καταφύγιον,
  τὸν σὸν υἱὸν καὶ Θεὸν ἱκετεύουσα
καὶ τὴν τυραννοῦσάν με,
  ἀειπάρθενε, ἁμαρτίαν κατάβαλε·
ὅπως σε γεραίρω
  πάντοτε, πανάμωμε, σωζόμενος.

1) Εὕρηται καὶ ἐν τῷ Θεοτοκαρίῳ τοῦ Νικοδήμου (σελ. 19, ἔκδ. Ἀθηνῶν τοῦ 1906)· ἐν τῷ Κῶδ. 52 τῶν Βλατέων ἐπιγράφεται εἰς τὸν Δαμασκηνὸν Ἰωάννην.



Ὠδὴ γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως.

*Ὁ*μίχλην τῶν παθῶν μου καὶ σκοτομήνην
ἀπέλασον ταῖς αἴγλαις τῶν πρεσβειῶν σου
  καὶ φώτισόν με, πάναγνε, ἡ τεκοῦσα
τὸν ἀνατείλαντα πρὸ ἑωσφόρου Χριστὸν
  ἐξ ἡλίου ἥλιον ἄδυτον, Δέσποινα.

*Φ*λογίζουσα ῥομφαία τὰς ἁμαρτίας
καὶ πάθη τῆς ψυχῆς μου γενοῦ, Παρθένε,
  καὶ δεῖξόν με παράδεισον ὥσπερ ἄλλον
ἀνεπιβούλευτον καὶ φυλαττόμενον
  ὑπὸ σοῦ καὶ φέροντα ἄνθη τοῦ πνεύματος.

*Ἀ*νέστησας, πανάχραντε, τῷ σῷ τόκῳ
σκηνὴν τὴν πεπτωκυῖαν καὶ συντριβεῖσαν
  Δαυὶδ τοῦ σοῦ προπάτορος, Θεοτόκε,
διὸ ἀνάστησον κἀμὲ τὸν δοῦλόν σου
  συντριβέντα πάθεσι καὶ παραπτώμασιν.

*Ν*οσοῦσαν τὴν ψυχήν μου, Θεοκυῆτορ,
δαιμόνων ἐπηρείαις καὶ ῥαθυμίᾳ
  θεράπευσον καὶ δάκρυα μετανοίας
δὸς τῇ καρδίᾳ μου καὶ τοῦ Δεσπότου μου
  ἐν αὐτῇ ἐμφύτευσον φόβον, πάναγνε.

Ὠδὴ δ΄. Ὑμνῶ σε· ἀκοὴν γὰρ Κύριε.

*Ἡ* ζύμη
τῆς βροτείας φύσεως
  ἡ ἀμόλυντος καὶ ἁγία
ἐξ ἧς λαβὼν φύραμα
  ἀνέπλασεν αὐτὴν ὁ κτίστης·
κἀμοῦ τῶν παθῶν τὸν ῥύπον ἔκπλυνον
  καὶ μολυσμοῦ πταισμάτων με καθάρισον.

*Σ*ειράς μου
τῶν παθῶν διάλυσον
  καὶ τοὺς βρόχους τῶν ἐγκλημάτων
διάρρηξον, Δέσποινα,
  τῶν πρεσβειῶν σου τῇ μαχαίρᾳ
Χριστὸν ἡ τεκοῦσα τὸν τὴν λύτρωσιν
  τοῖς ἐν δεσμοῖς τοῦ ᾅδου παρεχόμενον.

*Μ*οτώσει
πρεσβειῶν σου, Δέσποινα,
  καὶ μαλάγματι καὶ ἐλαίῳ
ψυχῆς ἐμῆς μώλωπας
  καὶ τὰς πληγὰς τῆς ἁμαρτίας,
ἁγνή, νῦν θεράπευσον ὡς τέξασα
  θεουργικὸν βοήθημα τῆς φύσεως.

*Ἐ*κ πάντων
τῶν καλῶν γεγύμνωμαι
  καὶ ὑπόκειμαι τῇ κακίᾳ
ὑπερβαλὼν ἅπαντας
  τοὺς πάλαι τε καὶ νῦν πεσόντας
διὸ τοῖς προτέροις με καλλώπισον
  καὶ τῶν δευτέρων λύτρωσαι, Θεόνυμφε.

Ὠδὴ ε΄. Ὁ φωτισμός.

*Ἐ*κ τῆς ἀρᾶς
τῆς ἀρχαίας τὸν κόσμον
  ὡς ἐλυτρώσω,
Δέσποινα τοῦ κόσμου, τὴν εὐλογίαν
  Χριστὸν τεκοῦσα
λογισμῶν τῶν ἀτόπων
  λύτρωσαί με καὶ πάσης θλίψεως·
μόνη γὰρ ὑπάρχεις
  πιστῶν ἀγαλλίασις.

*Λ*αῖλαψ δεινὴ
συστροφῆς τῶν πνευμάτων
  τῆς πονηρίας
τὴν ἐμὴν διάνοιαν ἐκταράττει
  πρόφθασον θᾶττον
καὶ γαλήνιον ταύτην
  ἡ τεκοῦσα τὸν πάσης κτίσεως
μόνον κυβερνήτην
  Χριστὸν παντοδύναμον.

*Λ*άμψον μοι φῶς
μετανοίας ἐν σκότει
  τῆς ἀπωλείας
τῷ μετῳκισμένῳ, Θεογεννῆτορ,
  δίδου μοι χεῖρα
βοηθείας κειμένῳ
  καὶ ταῖς σαῖς πρεσβείαις με ἔγειρον
πράττειν τοῦ Θεοῦ
  τὰ σεπτὰ δικαιώματα.

*Π*ολιορκεῖ
τῆς ψυχῆς μου τὴν πόλιν

δαιμόνων στῖφος
καὶ καταπορθῆσαι σφοδρῶς πειρᾶται
δεδοξασμένη
τοῦ παντάνακτος πόλις
τείχισόν με ταῖς πυργοβάρεσι,
Δέσποινα, τῶν σῶν
πρεσβειῶν καὶ διάσωσον.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

**Ὡ**ς ζωὴν τὴν αἰώνιον τέξασα
τὸν ἀπὸ τοῦ σώματος ἐξεγειρόμενον
ἐν τῇ ψυχῇ μου θάνατον
ταῖς πρεσβείαις, πανάχραντε, νέκρωσον.

**Σ**κολιὰς τροχιὰς πορευόμενον
πρὸς εὐθυτάτην με τρίβον ὁδήγησον
ἡ τὴν ὁδὸν κυήσασα
τῆς ζωῆς τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν.

**Ἐ**νεδρεύει πειράζων με, Δέσποινα,
δράκων ὁ μισάνθρωπος· ἀλλ' ὡς γεννή-
[σασα
τὸν κεφαλὰς συντρίψαντα
τῶν δρακόντων καὶ τοῦτον κατάργησον.

**Δ**ιαπλέων τοῦ βίου τὸ πέλαγος
περιπίπτω κύμασιν ἀπείρων θλίψεων·
ἡ κυβερνήτην τέξασα
τοῦ παντός, Παναγία, βοήθει μοι.

## ΚΑΘΙΣΜΑ

***Ἦχος β'. Τὰ ἄνω ζητῶν.***

**Ε**ἰς σὲ τὴν ἁγνὴν
πιστῶς ἐπιβοώμενοι
κινδύνων πολλῶν
καὶ πταισμάτων λυτρωθείημεν·
καὶ γὰρ ἄλλην, ἄχραντε,
ταχινὴν οὐκ ἔχομεν παράκλησιν
συμπαθῆ φιλάγαθον εὔσπλαγχνον
βραβεύουσαν πᾶσι
σωτηρίαν ψυχῶν.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

**Σ**ὲ πύλην εἰδὼς
νοητῆς ἀνατολῆς τῆς οὐρανόθεν
ἐπιφανείσης εἰσελεύσεσθαι
εἰς οὐρανοὺς ὁ οἰκέτης σου
διὰ σοῦ λιτάζω, Παρθένε,
διὸ δέξαι με, Δέσποινα,
καὶ φωταγώγησον ἐν σοὶ
καὶ καθοδήγησον.

**Π**ηγὴ φωτισμοῦ
παραδείσου λογικοῦ ἐξορμημένη
τῆς γῆς ποτίζει πᾶν τὸ πρόσωπον
τρυφῆς χειμάρρους ὁ ἄϋλος
Πνεύματος ἁγίου ἡ χάρις
ἐκ σοῦ, πάναγνε Δέσποινα,
ἧς καταξίωσον κἀμὲ
μεταλαβεῖν δαψιλῶς.

**Ὁ** πόκος ποτὲ
προεδήλου Γεδεὼν τὴν σὴν γαστέρα
εἰσδεξαμένην τὴν οὐράνιον
δρόσον τὴν πάντας δροσίζουσαν
τοὺς κεκρατημένους τῷ δίψει
τῆς ἁμαρτίας, πανύμνητε,
εὐλογημένη ἡ Θεὸν
σαρκὶ κυήσασα.

**Ἰ**κρίῳ Χριστὸς
ὁ υἱός σου προσπαγεὶς ἐθελουσίως
ἀρχὰς τοῦ σκότους ἐθριάμβευσε
καὶ τοῦ θανάτου κατέλυσε
τὴν φθοροποιὸν δυναστείαν·
διό, Δέσποινα πάναγνε,
τὸ ἐμπαθές μου τῆς σαρκὸς
φρόνημα νέκρωσον.

Ὠδὴ η'. Ἰνδάλματος χρυσοῦ.

**Ν**αμάτων ζωτικῶν
τὴν τακεῖσάν μου καρδίαν τῆς ἁμαρτίας
φλογμῷ, Παρθένε, σὺ
κατάρδευσον, Θεοτόκε, ἐν κατανύξει
πάντοτε διατηροῦσά με
πίστει μελῳδοῦσα
ὑμνεῖτε τὸν Κύριον πᾶσα κτίσις
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Ἀ**μόλυντε ἀμνὰς
ἀπειρόγαμε ἀμίαντε μόνη κόρη,
ἡ ἀπειρόζυγος
καὶ ἄφθορος Θεοῦ νύμφη ἡ ἀλοχεύτως
μόσχον σιτευτὸν κυήσασα
δάμαλις ὡραία
ἐλάφρυνον ἆρον ἐκ τῆς ψυχῆς μου
τὸν βαρὺν κλοιὸν καὶ ζυγὸν τῆς ἁμαρ-
[τίας.



**Θ**εότευκτος σκηνὴ
χρηματίζουσα τὸν ἅγιον τῶν ἁγίων
τὸν ὑποδείξαντα
τῆς πάλαι σκηνῆς τὸν τύπον ἀρχιερέα
μέγαν ἔνδον ἔχουσα
τὴν ἐμὴν καρδίαν,
Παρθένε, ἀνάδειξον τοῦ ὑψίστου
καὶ παμβασιλέως Χριστοῦ σκηνὴν ἁγίαν.

**Ἐ**τμήθη ἐκ τῆς σῆς
μήτρας, Δέσποινα, ὁ ἔντιμος ὡς ἐξ ὄρους
λίθος, πανάσπιλε,
καὶ στήλην ἁπάσης πλάνης ὡς παντο-
[κράτωρ
μόνος πανσθενὴς συνέτριψε
δι' οὗ νῦν εἰκόνα
παθῶν ἐξαφάνισον τῆς ψυχῆς μου
τὰς τῶν νοητῶν δυσμενῶν συνθλῶσα
[μύλας.

Ὠδὴ θ'. Ἡ τὸν πρὸ ἡλίου φωστῆρα.

**Ὁ** τὰς ἀσωμάτους οὐσίας
ὡς Θεὸς ὑποστησάμενος
ἐκ σοῦ, ἁγία κόρη, σεσωμάτωται·
διὸ ῥῦσαι σωματικῶν
παθῶν ἐπαναστάσεως
καὶ σαρκικοῦ φρονήματος
τὸν σὸν ἱκέτην ταῖς δεήσεσι.

**Τ**ῆς δικαιοσύνης, Παρθένε,
τὸν ἥλιον Χριστὸν ἀνέτειλας
καὶ οὐρανὸς ἐδείχθης φωτεινότατος·
διὸ νύκτα τὴν τῶν παθῶν
ταῖς αὐγαῖς διασκέδασον
καὶ τὴν ψυχήν μου φώτισον
καὶ τὴν καρδίαν κατάλαμψον.

**Ὅ**που τῶν δικαίων ὁ δῆμος
ἐν φωνῇ ἀγαλλιάσεως
ἐγκατοικεῖν με τότε τὸν ἀνάξιον
καταξίωσον τῶν κακῶν
τὸ πλῆθος παρορῶσά μου
ἡ τὸν τοῦ κόσμου αἴροντα
τὴν ἁμαρτίαν γαλουχήσασα.

**Κ**ρῖνον, Θεοτόκε Μαρία,
καὶ δίκασον δεινὸν ἀντίδικον
καὶ τῆς αὐτοῦ με δίκης ἀπολύτρωσαι·
τὸν κτίστην γὰρ τὸν ἀγαθὸν
καὶ δίκαιον γεγέννηκας
τὸν ἐν ζυγοῖς θεότητος
καταδικάσαντα τὸν θάνατον.

**Ἔ**λυσας τῆς Εὔας τὴν λύπην
τὸν Ἀδὰμ τὸν νέον τέξασα
τοῦ πρὶν Ἀδὰμ τὴν φύσιν ἀναπλά-
[σαντα·
διὸ λῦσον καὶ τῶν ἐμῶν
πταισμάτων τὸ χειρόγραφον
καὶ πειρασμοῦ καὶ θλίψεων
καὶ τῶν παθῶν με ἐλευθέρωσον.

# 50

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ[1]

οὗ ἡ ἀκροστιχίς

« *Ἐγκ[ωμι]άζει τὴν Θεοτόκον Θέκλα* » [2]

ἐν δὲ τοῖς ὑστέροις Θεοτοκίοις : « *Κλήμεντος.* »

Κῶδ. 354 φ. 44α
Ἐθν. Βιβλ. Παρισίων
Θ 66 φ. 70α Λαύρας
Ι. 67 Λαύρας.

ΠΟΙΗΜΑ ΘΕΚΛΗΣ ΜΟΝΑΧΗΣ

### *Ἦχος β΄. Ὠδὴ α΄. Τῷ τὴν ἄβατον.*

**Ἐ**γκωμίων σοι
ἀειθαλὲς διάδημα
νῦν ἐξυφαίνει πνεύματι
ἡ ἐκκλησία, σεμνή,
καὶ προσάγει μελῳδῶς
σὺν τῷ ἀρχαγγέλῳ σοι
νυμφαγωγῷ Γαβριὴλ
τὸ χαῖρε ᾄδουσα
καὶ σὲ σεπτῶς μακαρίζουσα.

**Γ**εωργήσασα
τὴν ζωηφόρον ἄμπελον,
μῆτερ Θεοῦ πανύμνητε,
Χριστὸν τὸν Κύριον
γῆ ἁγία τοῦ πατρὸς
ὤφθης ὑπὲρ ἔννοιαν,
Θεοχαρίτωτε,
καὶ πόμα θείας ζωῆς
ἐπότισας τῷ κόσμῳ, ἁγνή.

**Κ**υματούμενον
δεινῶς τοῖς παραπτώμασι
πάντα τὸν κόσμον, ἄχραντε,
καὶ κινδυνεύοντα
σὺ κυήσασα Χριστὸν
τὸν σωτῆρα πάντων ἡμῶν
καὶ κυβερνήτην Θεὸν
λιμὴν ὡς εὔδιος
διέσωσας ἐκ ζάλης πικρᾶς.

**Κ**αταφύγιον
καὶ σωτηρίου πόλιν σε
πάντες πιστῶς πρεσβεύομεν,
Μαρία μήτηρ Χριστοῦ,
καὶ δεόμεθα θερμῶς
δέξαι τὰς δεήσεις ἡμῶν
τῶν σῶν πιστῶν οἰκετῶν
καὶ λῦσον ἅπαντας
πταισμάτων κατακρίσεως.

Ὠδὴ γ΄. Στερέωσον ἡμᾶς.

**Ἀ**ρχὴ ἀποστροφῆς Θεοῦ ἐγένετο
τῆς Εὔας ἡ πλάνη πρὸς τοὺς ἀνθρώπους
ἡ ἁγία Θεοτόκος δὲ
ἐπεσπάσατο πάλιν τὸν Θεὸν πρὸς ἡμᾶς.

**Ζ**ωῆς σε θησαυρὸν γεννᾷ, πανύμνητε,
τῷ κόσμῳ καὶ χαίρει τῇ εὐπαιδίᾳ
ὁ κλεινὸς Ἰωακεὶμ ἐπὶ σοὶ
ὡς ἀκάρποις γονεῦσι προσελθοῦσα χαρά.

**Ἐ**ξ Ἄννης ἡ χαρὰ τοῦ γένους ἤνθησας
καὶ τίκτεις, Παρθένε, τὸν βασιλέα
καὶ συγχαίρουσι τῷ τόκῳ σου
αἱ γυναῖκες λυθεῖσαι διὰ σοῦ τῆς ἀρᾶς.

**Ἡ** βάτος ἐν Σινᾷ προδιετύπου σου,
Παρθένε, παράδοξον τὸ τοῦ τόκου·

1) Εὕρηται καὶ ἐν τῷ Θεοτοκαρίῳ τοῦ Νικοδήμου (σελ. 26, ἐκδ. Ἀθηνῶν 1906).

2) Ἐκ τῆς ἀκροστιχίδος ἐλλείπουσι τὰ τέσσαρα γράμματα τῆς β΄ ᾠδῆς, ἥτις ἐξέπεσε.



τὸ γὰρ πῦρ τὸ τῆς θεότητος
οὐκ ἐφλέχθης ἐν μήτρᾳ δεξαμένη, ἁγνή.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε τὴν ἀκοήν.

**Ἰ**ακὼβ σε ὡς κλίμακα
θεοπρεπῶς προέβλεψε, Παρθένε,
ἧς ἐπὶ τὸ ἄκρον
Θεὸς ἐστήρικτο.

**Τ**ῶν ἀγγέλων ἡ κάθοδος
τὴν πρὸς ἡμᾶς τοῦ Λόγου παρουσίαν
διὰ σοῦ, πανύμνητε,
προϋπέφηνεν.

**Ἡ** γαστήρ σου πανύμνητος
καὶ οἱ μαστοὶ μακάριοι, Παρθένε,
δι᾽ αὐτῶν ζωὴν γὰρ
πάντες εὑράμεθα.

**Μ**υστικῶς ἀνυμνοῦμέν σε,
μῆτερ Θεοῦ, φωναῖς ὀρθοδοξίας
ἣν τῇ ἐκκλησίᾳ
φρούρει πρεσβείαις σου.

Ὠδὴ ε΄. Φώτισον τοὺς ὀφθαλμούς μου.

**Ν**όμου σε τιμιωτέραν
τῆς κιβωτοῦ ἀνυμνοῦμεν·
τὸν γὰρ πάντων κτίστην καὶ Θεὸν
σὺ πλάκας ἐβάστασας,
πανύμνητε Θεοτόκε Μαρία.

**Θ**ρόνον σε Θεοῦ τοῦ Λόγου
κηρύττομεν, Θεοτόκε,
ἐν ᾧ ὡς βροτὸς ὁ Θεὸς
καθήμενος ὤπταί μοι
δεικνύων σε χερουβὶμ ὑπερτέραν.

**Ἔ**λυσας πικρᾶς δουλείας
τὸ γένος ἅπαν, Παρθένε,
καὶ ἐλευθερίᾳ Χριστοῦ
τὴν φύσιν τοῦ θήλεος
ἐτίμησας ἐν τῷ θείῳ τόκῳ σου.

**Ἔ**τεκεν υἱὸν Παρθένος
καὶ εὐτολμοῦσι γυναῖκες
κατὰ τοῦ ἐχθροῦ ἐμφανῶς
καὶ ταύτῃ ἀκολουθοῦσι
νεάνιδες παρθενίαν ἀσκοῦσαι.

Ὠδὴ ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

**Ἡ** τοῦ κόσμου χαρά, ἀειπάρθενε,
χαῖρέ σοι κραυγάζοντας σὺν τῷ ἀγγέλῳ πιστῶς
τῆς σῆς χαρᾶς ἀξίωσον
καὶ τὴν λύπην ἡμῶν διασκέδασον.

**Ο**ὐρανὸς οὐρανῶν ὑψηλότερος
ὤφθης, Θεονύμφευτε, τῇ θείᾳ δόξῃ σου·
ἐν σοὶ γὰρ ὁ Θεὸς ἡμῶν
ὁλικῶς ἐποχούμενος ὤφθη μοι.

**Τ**ῆς χαρᾶς τῆς ἀλήκτου χωρίον σε,
μῆτερ ἀειπάρθενε, σαφῶς γινώσκοντες
τὸ χαῖρέ σοι κραυγάζομεν·
σοὶ γὰρ πρέπει τὸ χαίρειν μόνῃ, πάναγνε.

**Ν**ῦν ἡ φύσις τοῦ θήλεος γέγηθε
νῦν ἡ λύπη πέπαυται χαρὰ δὲ ἤνθησεν
ὅτι Μαρία ἔτεκεν
τὴν χαρὰν τὸν σωτῆρα καὶ Κύριον.

## ΚΑΘΙΣΜΑ

### *Ἦχος β΄. Εὐσπλαγχνίας ὑπάρχουσα.*

**Ῥ**αθυμίαν ψυχῆς μου τὴν χαλεπὴν
καὶ καρδίας μου πώρωσιν, μῆτερ Θεοῦ,
ἐπινεύσασα ἴασαι ταῖς πρεσβείαις σου
καὶ σῳζομένων μερίδος καταξίωσον
λυτρουμένη παντοίας με κολάσεως
ἡ μόνη ἐλπίς μου καὶ παράκλησις.

Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

**Ὁ** πόκος ποτὲ
Γεδεὼν τὴν ἐπὶ σοὶ τοῦ Θεοῦ Λόγου
προεζωγράφει θείαν κάθοδον·
ὥσπερ γὰρ δρόσον τὴν σύλληψιν,
ἄφθορε, ἐδέξω, Παρθένε·
διὸ πάντες κραυγάζομεν·
εὐλογημένος ὁ καρπὸς
τῆς σῆς κοιλίας, ἁγνή.

**Κ**αινὰ καὶ φρικτὰ
καὶ πιστὰ καὶ θαυμαστὰ τὰ σὰ μυστήρια,
Μαρία μήτηρ τοῦ Θεοῦ ἡμῶν,
ὅτι ἐν σοὶ κατηλλάγημεν
πάντες τῷ Θεῷ καὶ Δεσπότῃ

καὶ ἀγγέλοις συμψάλλομεν
εὐλογημένος ὁ καρπὸς
τῆς σῆς κοιλίας, ἁγνή.

**Ὁ** πρὶν Γεδεὼν
προμηνύων σου, σεμνή, τὸν θεῖον τόκον
σαφῶς λεκάνην φέρει πλήρη ὕδατος
τὴν τοῦ ἐρίου ἐκπίασιν·
ὅλη γὰρ ἐν σοὶ ἡ θεότης
κατεσκήνωσεν, ἄχραντε,
εὐλογημένος ὁ καρπὸς
τῆς σῆς κοιλίας, ἁγνή.

**Τ**εκοῦσα Θεὸν
τὸν σωτῆρα τοῦ παντός, Μαρία, γέγονας
ἀπεγνωσμένων ἐπανόρθωσις
ἁμαρτωλῶν ἀνακαίνισις
τῶν ἀπηλπισμένων ἐλπὶς δὲ
καὶ ψαλλόντων βοήθεια
εὐλογημένος ὁ καρπὸς
τῆς σῆς κοιλίας, ἁγνή.

ᾨδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

**Ν**έος παράδεισος ἡμῖν
ἀνεδείχθης, παναγία Θεοτόκε,
οὐ θανάτου τὸ ξύλον
ἀλλὰ ζωῆς ὡς φυτὸν
ἀσπόρως βλαστήσασα Κύριον
οὗ τῆς ἀθανάτου
ζωῆς τρυφῶμεν πάντες.

**Θ**έλγεται πᾶσα ἡ Χριστοῦ
ἐκκλησία, Θεοτόκε, σοῦ τῷ τόκῳ
ὅτι σώζονται πάντες
ἁμαρτωλοὶ καὶ πτωχοὶ
οἱ πόθῳ ἐν σοὶ καταφεύγοντες·
ἦλθε γὰρ Χριστὸς
ἐπὶ γῆς ἀνθρώπους σῶσαι.

**Ἐ**λευθεροῦται διὰ σοῦ
ἡ προμήτωρ, Θεοτόκε, καταδίκης·
καὶ ἰδοὺ νῦν γυναῖκες
ὑπεραλλοῦσι Χριστοῦ
καὶ χαίρει ἡ φύσις τοῦ θήλεος
ὡς ἡ πρωτομάρτυς
βοᾷ παρθένος Θέκλα.

**Ο**ὐδεὶς ἀπώλετο, ἁγνή,
τὰς τῆς πίστεως ἐλπίδας κεκτημένος
ἐπὶ σοὶ ὀρθοδόξως,
Παρθένε μῆτερ Θεοῦ,
μόνοι δὲ οἱ φθόνῳ ἀρνούμενοι
σοῦ μὴ προσκυνεῖν
τῆς μορφῆς τὸν χαρακτῆρα.

ᾨδὴ θ'. Ἡ τὸν πρὸ ἡλίου φωστῆρα.

**Κ**λῖνόν μοι τὸ οὖς σου, Παρθένε
παναγία, ἀνυμνοῦσῃ πιστῶς
δι' ἐγκωμίων λόγων τὸν τόκον σου
καὶ ὡς δῶρα χηριακὰ
τοὺς ὕμνους τῶν χειλέων μου
προσδεχομένη αἴτησαι
ἁμαρτιῶν μου τὴν συγχώρησιν.

**Λ**άμπει σου τὸ κάλλος ἀστράπτει
τῆς ἁγνείας ἡ λαμπρότης, ἁγνή,
καὶ ὑπερστίλβει τούτων σου ἡ γέν-
[νησις·
ὁ Θεὸς γὰρ ὁ ποιητὴς
ἡλίου καὶ τῆς κτίσεως
οὗτος ἐκ σοῦ γεγέννηται
διὰ σὲ πάντες μεγαλύνομεν.

**Ἄ**νθος σε ἁγνείας καὶ ῥάβδον
παρθενίας καὶ μητέρα Θεοῦ
θεοπρεπῶς ἐν ὕμνοις ἐκθειάζουσαι,
Θεοτόκε, μετὰ φωνῆς
αἰνέσεως δεόμεθα
ἐν παρθενίᾳ στήριξον
καὶ ἐν ἁγνείᾳ ἡμᾶς φύλαξον.

**Σ**ῶμα καὶ ψυχήν σου ἀμόλυντον
Θεῷ διατηρούσης, ἁγνή,
ὁ βασιλεὺς ἠράσθη σου τοῦ κάλλους
[Χριστὸς
καὶ μητέρα τῆς ἑαυτοῦ
σαρκώσεως ἀνέδειξε,
Μαρία ὑπερένδοξε,
τὴν σωτηρίαν πληρούμενος.

---



# 51

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς

« ***Λῦσον, πάναγνε, τῶν κακῶν μου τὴν δέσιν.*** »

Κῶδ. 354 φ. 49α
Ἐθν. Βιβλ. Παρισίων
Θ 66 φ. 28α Λαύρας
Ι 67 Λαύρας.

***Ἦχος β'. ᾨδὴ α'. Δεῦτε λαοί.***

**Λ**όγος ἐμοὶ
εὔρυθμος ὅλως οὐ πέφυκε
πρὸς ὑμνῳδίαν, ἄχραντε,
ὅτι καλύπτει με
τῶν κακῶν μου τὸ σκότος·
ἀλλ', ὦ Θεοκεῖτορ,
στένοντα δέξαι με.

**Ὑ**πὸ τὴν σὴν
σκέπην προσφεύγω, πανάχραντε,
ἐξαμαρτήσας ἄμετρα
εἰς τὸν παντέφορον
καὶ Θεὸν καὶ Δεσπότην
εὐίλατον ποιῆσαι,
ἁγνή, καὶ σῶσαί με.

**Σ**ύ μου θερμόν,
Δέσποινα, ἐξιλαστήριον
σοὶ προσορμῶν σωθήσομαι
καὶ ἐπιτεύξομαι
ψυχικῆς σωτηρίας·
ἰσχύεις γὰρ ἐν πᾶσι
ὡς οὖσα μήτηρ Θεοῦ.

**Ὁ** τῶν ψυχῶν
ἀπατεών με καθείλκυσεν
εἰς ἀπωλείας βάραθρον·
ἀλλά μοι ἔκτεινον
κραταιάν σου τὴν χεῖρα
καὶ τάχος, Θεοτόκε,
πρὸς φῶς ἀνάγαγε.

ᾨδὴ γ'. Στερέωσον ἡμᾶς.

**Ν**υνί σοι τὰ ἐμὰ ἐκφέρω κρύφια
τῇ ὄντως προστάτῃ μου καὶ σκέπῃ
ὅπως ταῦτα μὴ ἐλέγξῃ με
ὁ υἱός σου ἐν κρίσει τῇ δικαίᾳ.

**Ἀ**πείροις ἐμπεσὼν λῃσταῖς, ἄχραντε,
ὁ τάλας γεγύμνωμαι τραυματίας
γεγονὼς ἐγκαταλέλειμμαι
ἀλλὰ σύ, Θεοτόκε, μὴ παρίδῃς με.

**Γ**υμνώσας τὸν Ἀδὰμ τὸ πρίν, Δέ-
[σποινα,
ὁ ὄφις ἠπάτησε διὰ ξύλου
ὡς ὁμοίως ᾐχμαλώτευσε
καὶ ψυχὴν τὴν ἐμήν· διό με οἴκτειρον.

**Ἐ**λέησον ἡμᾶς, ἁγνή, ἐλέησον·
οὐκ ἔστιν ἐξ ἔργων γὰρ σωτηρία
ἡμῖν ὅλως· διὸ πίστει θερμῇ
σοὶ βοῶμεν· ἐλέησον τοὺς δούλους σου.

ᾨδὴ δ'. Ὑμνῶ σε ἀκοήν.

**Ν**οσοῦντα
ἀνιάτως, Δέσποινα,
καὶ πτωχεύσαντα μὴ βδελύξῃ
ἀλλὰ δός μοι ἔλεον
χρηστότητος τῆς σῆς, Παρθένε,
καὶ σοῖς προνοήμασί με πλούτισον
τὸν ἐκ Θεοῦ χρυσὸν τὸν ἀδιάφθορον.

**Ἐ**κ πάντων
τῶν καλῶν γεγύμνωμαι
καὶ ὑπόκειμαι τῇ κακίᾳ
ὑπερβαλὼν ἅπαντας
τοὺς πάλαι μὲν ἐκπεπτωκότας
καὶ νῦν τοῖς προτέροις με καλλώπισον
καὶ τῶν δευτέρων λύτρωσαι, Θεό-
[νυμφε.

**Τ**ὴν πόρνην
ὑπερῇρα, Δέσποινα,
ἀσελγείαις καὶ τὸν Τελώνην
πλεονεκτῶν πάντοτε

τῷ λόγῳ καὶ τῇ προαιρέσει·
ἀλλ' σὺν ἀμφοτέρων τὴν μετάνοιαν
πρὸ τελευτῆς με κτήσασθαι ἀξίωσον.

**Η**λίσθην
ἐν ἐρήμῳ θλίψεων
μακρυνθείς σου, Θεογεννῆτορ,
τίς δώσει μοι πτέρυγας
καὶ πετασθήσομαι
καὶ φθάσω πρὸς σὲ τὴν ἐλπίδα μου
τὴν σώζουσαν τῆς ὀλιγοψυχίας τὸν
[ταλαίπωρον.

Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

**Ὡ**ς τὸ ἀνέσπερον φῶς
ἐκ τῆς γαστρός σου τοῖς ἐν γῇ λάμψασα
τὴν ζοφερὰν ψυχήν μου καταύγασον,
Δέσποινα ἁγνή,
καὶ δίωξον πᾶσαν
ἀχλὺν τῆς καρδίας μου.

**Ν**ὺξ με καλύπτει δεινὴ
τῶν πονηρῶν μου καὶ κακῶν πράξεων·
ἀλλ' ἐκβοῶ πρὸς φῶς με τὸ θεῖον
ὁδήγησον τοῦ σοῦ
υἱοῦ καὶ Δεσπότου,
ὁλόφωτε Δέσποινα.

**Κ**ἀμὲ προσδέχου, ἁγνή,
ὥσπερ τὸν ἄσωτον υἱὸν δέδεκται
ὁ σὸς υἱὸς καὶ κτίστης τῶν ὅλων·
βοῶ γὰρ σὺν αὐτῷ
τὸ ἥμαρτον ὄντως
καὶ σῶσόν με, Δέσποινα.

**Τ**ὴν πληγωθεῖσάν μου
ταῖς προσβολαῖς τοῦ δυσμενοῦς, ἄχραντε,
ὡς συμπαθὴς ἴασαι καρδίαν
ἡ τὸν ἐπὶ σταυροῦ
σαρκὶ πληγωθέντα
ἀρρήτως κυήσασα.

Ὠδὴ στ'. Ἐν ἀβύσσῳ πταισμάτων.

**Ἁ**μαρτίας βαράθρῳ ἐμπέπτωκα
καὶ πρὸς τὸν ἀλάθητον οὐκ ἀτενίζω Θεὸν
τῷ φόβῳ συνεχόμενος
ἀλλὰ σοὶ προσριπτοῦμαι, Θεόνυμφε.

**Κ**αλυφθεῖσαν δεινῶς τὴν καρδίαν μου
τοῖς τῶν ἀπορρήτων πταισμάτων μου
[κύμασι
τῇ πανσθενεῖ πρεσβείᾳ σου,
Θεοτόκε Παρθένε, διάσωσον.

**Ὡ**ραιότητα ἴδοιμι δόξης σου
ὅταν τοῦ σαρκίου μου μέλλω χωρίζεσθαι
ὡς ἐφικτόν μοι, Δέσποινα,
ἵν' ἐντεῦθέν μοι μάθω τὴν ἄφεσιν.

**Π**ειρασμῶν καὶ κινδύνων καὶ θλί-
[ψεων
ῥῦσαι τοὺς οἰκέτας σου, ἁγία Δέσποινα,
ταῖς πρὸς Θεὸν πρεσβείαις σου
τοὺς πιστῶς ἐπὶ σοὶ καταφεύγοντας.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

**Ν**ῦν σπεύδει χανὼν
ὁ ἐχθρός με συλλαβεῖν ἐν τοῖς ἐγκάτοις·
καὶ γὰρ προσφέρει πανταχόθεν μοι
τοὺς πειρασμοὺς καὶ τὰ ἔνεδρα
πᾶσαν περικόπτων σπουδήν μου·
ἀλλὰ προφθάσασα σῶσόν με,
Παρθενομῆτορ, τῆς αὐτοῦ
ἐπιβουλῆς πονηρᾶς.

**Μ**ολύνει θολοῖ
τὰς αἰσθήσεις καὶ τὸν νοῦν ὁ παλαμναῖος
καὶ ἐν βαράθρῳ ἀπογνώσεως
καταγαγεῖν ἀγωνίζεται·
ὅθεν ἐκβοῶ σοι τῇ μόνῃ
καταφυγῇ μου, Θεόνυμφε,
τῆς τούτου ῥῦσαί με χειρὸς
καὶ δολιότητος.

**Ὁ** πάλαι τοὺς τρεῖς
νεανίας ἐκ καμίνου καιομένης,
Χριστέ μου Λόγε, λυτρωσάμενος
αὐτὸς κἀμὲ ταῖς δεήσεσι
τῆς ἀπειρογάμου μητρός σου
ἐκ τῆς φλογὸς ἧς ἐξέκαυσα
τῶν ἀμετρήτων μου κακῶν
ῥῦσαι καὶ δρόσισον.

**Ὑ**λώδη εὑρὼν
τὴν καρδίαν ὁ φθορεὺς ἐνέκρωσέ με·
ἀλλά με σθένος θεῖον ἔνδυσον



καὶ ἐπινικῆσαι ἀξίωσον
τοῦτον, ἀπειρόγαμε μῆτερ,
ὅπως ἐν πίστει κράζω σοι·
εὐλογημένη ἡ Θεὸν
σαρκὶ κυήσασα.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ.

**Τ**ῶν ἀπείρων μου κακῶν
κατακάμπτομαι δεινῶς τῷ πλείστῳ βάρει
καὶ τὸ βλέμμα ὅλως
εἰς οὐρανοὺς μὴ τολμῶν
πετάσαι βοῶ σοι ἐλέησον,
μόνη Θεοτόκε,
ἐμὲ τὸν πεπτωκότα.

**Ἧ**ς περ δέδοικα ὀργῆς
τοῦ υἱοῦ σου καὶ Θεοῦ, ἁγνή, με ῥῦσαι
καὶ ἐν ὥρᾳ ᾗ μέλλει
ποιεῖν ἐξέτασιν
γενοῦ μοι βοήθεια, πάναγνε,
καὶ τῶν εὐωνύμων
ἐρίφων λύτρωσαί με.

**Ν**ενεκρωμένον νοητῶς
ἐξ ἀπείρων μου κακῶν διέγειρόν με,
Θεονύμφευτε κόρη,
καὶ τῇ πρεσβείᾳ τῇ σῇ
ἐκ πάσης ἀπάτης με λύτρωσαι
τῆς τοῦ ψυχοφθόρου
ἐχθροῦ καὶ παλαμναίου.

**Δ**υσδιόρθωτε ψυχή,
πῶς ἠμαύρωσας κακῶς τὸ πρώην κάλλος
πῶς ἠθέτησας πάσας
τὰς πρὸς τὸν κτίστην τὸν σὸν
συνθήκας καὶ εἷλες τὰ κάκιστα·
ἀλλὰ δεῦρο πρόσδραμε
εὐσεβῶς τῇ Θεοτόκῳ.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

**Ἔ**ργοις δεινοῖς τὰς αἰσθήσεις
κατερρύπωσα ὄντως,
πανάχραντε, καὶ πάσης ἐναγοῦς
πράξεως πέφυκα ἔμπλεως·
ἀλλὰ κάθαρον αὖθις
καιρόν μοι αἰτουμένη ἀγαθὸν
κατανύξεως ἵνα
ἀκαταπαύστως μεγαλύνω σε.

**Σ**ύ με δικαίωσον ὅταν
φανεροῦνται, Παρθένε,
τὰ κρύφια ἑκάστου ἐμφανῶς·
ἔχεις γὰρ ὄντως τὸ δύνασθαι
καὶ τοῦ σκότους με ῥῦσαι
ἐν χώρᾳ δὲ κατάταξον φωτὸς
τῇ πρεσβείᾳ σου ἔνθα
χαρὰ ἡ ἀνεκλάλητος.

**Ἱ**κετεύω σε, Λόγε,
πρὸ τοῦ φθάσαι τὸ τέλος
μετάνοιάν μοι δώρησαι θερμὴν
καὶ κατανύξεως δάκρυα
σωφροσύνην τε ἅμα
ταπείνωσιν ἀγάπην θεϊκὴν
καὶ τῇ ποίμνῃ σου τάξον
πρεσβείαις τῆς τεκούσης σε.

**Ν**οεροὺς αἰσθητούς τε
ὑπερβᾶσα, Παρθένε,
τῇ δόξῃ καὶ τιμῇ πλὴν τοῦ Θεοῦ
τὸν ὑπερβάντα ἐν πταίσμασι
παλαιούς τε καὶ νέους
ἀνθρώπους ἁμαρτήσαντας ἐν γῇ
μὴ βδελύξῃ με, ἀλλὰ
τῇ σῇ πρεσβείᾳ σῶσόν με.

# 52
# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

ΠΟΙΗΜΑ ΙΓΝΑΤΙΟΥ 1)

Κώδ. Θ61 φ. 62 Λαύρας
370 φ. 32β
Ἐθν. Βιβλ. Παρισίων
1010 Βατοπεδίου.

**Ἦχος β'. Ὠδὴ α'. Δεῦτε λαοί.**

**Π**άντες πιστοὶ
δεῦτε συμφώνως ὑμνήσωμεν
τὴν Θεοτόκον· αὕτη γὰρ
Χριστὸν κυήσασα
ὑπὲρ γένους ἀνθρώπων
ἀπαύστως ἱλεοῦται
σωθῆναι πάντας ἡμᾶς.

**Ὁ** χαρακτὴρ
τῆς ὑποστάσεως τοῦ πατρὸς
ἐκ σοῦ λαβὼν τὸ φύραμα,
Θεογεννήτρια,
τῆς φθαρείσης εἰκόνος
ἐδόξασε καὶ ταύτην
ἐκαινοποίησεν.

**Τ**ῶν χερουβὶμ
τιμιωτέρα ὑπάρχουσα
τῶν οὐρανίων γέγονας
τῶν ὑπὲρ ἔννοιαν
ἁψίδων ὑπερτέρα·
Θεὸν γὰρ ἐν γαστρί σου
φρικτῶς ἐβάστασας.

**Λ**ύτρον ἡμῖν
τῆς ἁμαρτίας ἐκύησας
τὸν εὐεργέτην Κύριον
ὡς καταλλάξασα
τοῖς θνητοῖς τὸν πατέρα
ἀνείλκυσας τὴν φύσιν
πρὸς τὰ οὐράνια.

Ὠδὴ γ'. Σὺ τῷ λόγῳ σου Κύριε.

**Ἀ**νομίαις φθαρέντα με
καὶ νεκρωθέντα ἐγκλήμασιν
ὡς ἐκ τάφου τῆς ἁμαρτίας
ἀνάστησον δέομαι.

**Τ**ῇ γαλήνῃ, πανάμωμε,
τῆς μετανοίας καθόρμισον·
λαίλαψ γὰρ ζάλης πταισμάτων,
[Θεοτόκε], συνέχει με.

**Ὁ** ἐχθρός τῶν δικαίων με
ἀποσυλήσας ἐγύμνωσεν·
ἀλλὰ σύ, Χριστέ, χιτῶνα
ἀφέσεως ἔνδυσον.

**Τ**οὺς τῇ σκέπῃ σου, Δέσποινα,
ὡς λιμένι προστρέχοντας
ῥῦσαι τῶν δεινῶν ὀφλημάτων
καὶ σῶσον πρεσβείαις σου.

Ὠδὴ δ'. Ἐν τῷ ἐγγίζειν τὰ ἔτη.

**Ἐ**ν σοί, Παρθένε, τὸ μέγα τῆς σωτηρίας
κεφάλαιον ἤνθησε
δι᾽ οὗ τῆς πρὶν κατάρας ἐρύσθημεν.

**Π**ταισμάτων ζόφῳ καὶ κλύδωνι τρικυμίας
δεινῶς συνεχόμενος
τῷ σῷ φωτί, Παρθένε, καταύγασον.

**Τ**ῆς μετανοίας ὑπάρχουσα, Θεοτόκε,
ἀκλόνητος εἴσοδος
ἁμαρτωλοὺς εἰσδέχῃ καὶ σώζεις ἀεί.

**Σ**ὺ τῶν πταισμάτων διέλυσας τὸν χειμῶνα
τὸ ἔαρ κυήσασα
τῆς σωτηρίας, πανάμωμε Δέσποινα.

Ὠδὴ ε'. Τῆς νυκτὸς διελθούσης.

**Τ**ὴν ταχεῖάν σου σκέπην,
ἁγνὴ Θεοτόκε,

1) Κατὰ τὸν Βατοπ. Κώδ. 1010· ἐν τοῖς λοιποῖς ἀνωνύμως.



καὶ τὴν σὴν ὀξεῖαν ἀντίληψιν
ἐπ᾽ ἐμοὶ τῷ ἀσώτῳ
κατάπεμψον, μόνη
κραταιὰ τοῦ κόσμου βοήθεια.

**Ἀ**σωμάτων αἱ τάξεις
σὲ δοξολογοῦσιν,
ἄχραντε Παρθένε ἀνύμφευτε,
διὰ σοῦ γὰρ προῆλθε
βροτοῖς σωτηρία
λύσιν ἁμαρτίας πηγάζουσα.

**Σ**ὺ τὸ χρέος τῆς πρώτης
ἀπέδωκας Εὔας
τὸν Χριστὸν ἀσπόρως κυήσασα·
τὴν γὰρ φύσιν καινίζεις,
ἁγνὴ Θεοτόκε,
πταισμάτων λύεις ἐγκλήματα.

**Ἐ**κ βυθοῦ με πταισμάτων
ἀνάγαγε μόνη
εὐσπλαγχνίας ὑπάρχουσα πέλαγος
καὶ τῇ σῇ κυβερνήσει,
Θεοῦ Λόγου μήτηρ,
πρὸς γαλήνης ὅρμον εἰσάγουσα.

Ὠδὴ στ'. Ἄβυσσος ἁμαρτημάτων.

**Ἐ**πίβλεψον ἐν εὐμενείᾳ,
πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν
τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Ἐ**πίσκεψαι ἐν ἐλέει
τῆς σῆς ἀλήκτου πρεσβείας
τὸν τραυματισθέντα με ὑπὸ λῃστῶν
δεινῶν ἐνθυμήσεων
καὶ μένοντα τὴν ἐκ σοῦ θεραπείαν.

**Θ**εμέλιον τῆς σωτηρίας
Χριστὸν τεκοῦσα, Παρθένε,
τὸν τῆς μετανοίας ναὸν
ἡμῖν ἀνεκαίνισας
καὶ εἴσοδος σωτηρίας ἐγένου.

**Τ**ὸ χαῖρέ σοι, χαρᾶς δοχεῖον,
ὁ Γαβριὴλ προσκομίσας
τὴν τῆς λύπης ἀρὰν
τὴν ἐκ παραβάσεως
ἔπαυσε καὶ χαρὰν ἀντεισῆξε.

Ὠδὴ ζ'. Ὁ τὴν κάμινον πάλαι.

**Τ**ὰς σειρὰς τῶν πταισμάτων
τῶν ἐμοὶ πεπραγμένων
τῇ θερμῇ σου πρεσβείᾳ
καὶ φρικτῇ προστασίᾳ
διάλυσον, πανάχραντε.

**Ὁ** τὴν ἄμωμον μήτραν
τῆς τεκούσης σε, Λόγε,
ἱλαστήριον δείξας
τῶν ἐν πίστει βοώντων·
εὐλογητὸς εἶ, Κύριε.

**Τ**ῶν παγίδων με ῥῦσαι
τοῦ ἐχθροῦ, θεῖε Λόγε,
ταῖς ἀχράντοις πρεσβείαις
τῆς μητρός σου Παρθένου
ὡς μόνος εὐδιάλλακτος.

**Σ**ὲ κειμήλιον πάντες
τῆς σεπτῆς παρθενίας
καὶ θησαύρισμα θεῖον
καὶ ἀκένωτον πλοῦτον,
Θεόνυμφε, κεκτήμεθα.

Ὠδὴ η'. Τὸν πάλαι δροσίσαντα.

**Ἡ** ζῶσα καὶ ἄφθονος
σωτηρία ἡμῶν τῶν γηγενῶν
ἡ ἄσπιλος δάμαλις
ἡ τεκοῦσα τὸν ἀμνὸν τὸν τοῦ Θεοῦ
μὴ παρίδῃς με κράζοντα
εὐλογεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

**Ὁ** θεῖός σου, πάναγνε,
τοκετὸς ἀνεκαίνισεν ἡμᾶς
καὶ τέκνα ἀνέδειξε
καὶ υἱοὺς ἡμέρας πάντας καὶ φωτὸς
καὶ σωθέντες κραυγάζομεν·
εὐλογεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

**Τ**ὸ ζῶν ὕδωρ τέτοκας
ἐκ λαγόνων, σεμνή, παρθενικῶν
καὶ ἄφεσιν ἔβλυσας
ἐκ πηγῶν τῶν ἰαμάτων τοῖς πιστοῖς·

ὅθεν πάντες κραυγάζομεν
εὐλογεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

**Τ**ὸν βότρυν τὸν πέπειρον
τῆς ζωῆς σὺ ἐβλάστησας, ἁγνή,
ὑπάρχεις γὰρ ἄμπελος
ἡ γλυκάζουσα τὴν γῆν τοῖς ἀγαθοῖς
ἣν ὑμνοῦντες κραυγάζομεν·
εὐλογεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τὴν παρθενίαν σου Θεοτόκε.

**Μ**ὴ ὑπερίδῃς με
τὸν ἐν πταίσμασιν, ἄχραντε,
δεινῶς κατακείμενον πολλοῖς
ὡς ὑπάρχουσα ἰαμάτων πηγή.

**Ἐ**πὶ τὸν ἔλεον,
Θεοτόκε πανύμνητε,
τῆς σῆς εὐσπλαγχνίας ἀφορῶν
μὴ ἐκπέσοιμι τῆς ἐφέσεως.

**Τ**ὴν σὴν βοήθειαν
ἐξαποστεῖλον, Δέσποινα,
καὶ ῥῦσαι τοῦ σκότους τῶν παθῶν
ἡ τεκοῦσα φῶς τὸ ἄδυτον.

**Ε**ὐχαριστήριον
ὑμνῳδίαν προσφέρομεν
τῇ σῇ ἀγαθότητι, σεμνή,
σὺ ὤφθης προστασία ἡμῶν.

---

# 53
# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κῶδ. 370 φ. 23β
Ἐθν. Βιβλ. Παρισίων
Θ. 66 φ. 92 Λαύρας.

***Ἦχος β'. Ὠδὴ α'. Δεῦτε λαοί.***

**Φ**ῶς καὶ ζωὴ
καὶ ὁδηγὸς καὶ κραταίωμα
γενοῦ καὶ σωτηρία μου,
Θεογεννήτρια,
καὶ δεινῆς καταδίκης
ἐξάρπασον, Παρθένε,
τῇ μεσιτείᾳ σου.

**Δ**όξα πιστῶν,
Θεογεννῆτορ, ὑπάρχουσα
τὸν σὲ πιστῶς δοξάζοντα
μελλούσης ποίησον
κοινωνὸν εὐφροσύνης
καὶ δόξης αἰωνίου
ταῖς προστασίαις σου.

**Ἡ** ἀγαθὴ
καὶ ἀγαθὸν ὄντως Κύριον
ἀποτεκοῦσα, ἄχραντε,
ψυχὴν ἀγάθυνον
ἡδοναῖς κακωθεῖσαν
καὶ πράττειν ἐντολάς με
Χριστοῦ δυνάμωσον.

**Σ**ὲ τοῦ Θεοῦ
τὸ καθαρώτατον σκήνωμα
καθικετεύω, ἄχραντε,
τὴν σπιλωθεῖσάν μου
ἡδοναῖς ἀκαθάρτοις
καθάρισον καρδίαν
ὅπως δοξάζω σε.

Ὠδὴ γ'. Ἐν πέτρᾳ με τῆς πίστεως.

**Θ**εράπευσον τὰ τραύματα τῆς ψυχῆς μου
τὸν νοῦν μου σκοτιζόμενον ἀμελείᾳ,
Θεόνυμφε, καταύγασον ἵνα μέλπω
οὐκ ἔστιν ἄχραντος ὡς σύ, πανάμωμε,
καὶ οὐκ ἔστιν ἄμεμπτος πλήν σου, Δέσποινα.

**Ὠ**μίλησεν ἀνθρώποις ἐκ σοῦ τὴν σάρκα
ὁ Κύριος φορέσας ἀνερμηνεύτως·
αὐτὸν οὖν ἐκδυσώπει, Θεογεννῆτορ,
τοῦ οἰκτειρῆσαί με καταπονούμενον
προσβολαῖς τοῦ ὄφεως καὶ φθειρόμενον.



**Τ**ὸν ζόφον τῆς ψυχῆς μου, Θεοκυῆτορ,
καταύγασον φωτί σου τῷ ἀνεσπέρῳ
καὶ πράττειν ἐντολάς με τὰς τοῦ υἱοῦ σου,
κόρη, δυνάμωσον ἵνα δοξάζω σε
τὴν ἐμὴν βοήθειαν καὶ παράκλησιν.

**Σ**ὺ μόνη προστασία καὶ βοηθός μου
γενοῦ, Θεοκυῆτορ, εὐλογημένη
καὶ ῥῦσαί με δαιμόνων ἐξ ἐπηρείας
καὶ τῶν θλιβόντων με παθῶν καὶ κρίσεως
καὶ πυρὸς φλογίζοντος καὶ κολάσεως.

Ὠδὴ δ'. Ἐλήλυθας ἐκ Παρθένου.

**Ἐ**ν ὥρᾳ με φοβερᾷ, παναγία, κρινόμενον
καὶ σῶσον καὶ λύτρωσαι
καὶ τῆς γεέννης ἐξάρπασον
ὅπως μακαρίζω σε
καὶ κατὰ χρέος γεραίρω, παναμώμητε.

**Π**ανύμνητε, τῶν ἀνθρώπων ἑτοίμη βοήθεια,
τὰ ἄγρια κύματα
τῶν πειρασμῶν καταπράϋνον
καὶ πρὸς τὴν οὐράνιον
διαγωγὴν τὴν ψυχήν μου καθοδήγησον.

**Τ**ὰ τραύματα τῆς ψυχῆς μου, Παρθένε, θεράπευσον
τὸν νοῦν μου εἰρήνευσον
ὑπὸ παθῶν ταραττόμενον
καὶ ταῖς παραβάσεσι
τῶν ἐντολῶν τοῦ σωτῆρος σκοτιζόμενον.

**Σ**τενάζοντα ἐν νυκτὶ καὶ ἡμέρᾳ, πανάμωμε,
καὶ θρήνοις κοπτόμενον
καὶ ἐμαυτὸν ἀπελπίζοντα
μὴ ἀποποιήσῃ με
μηδὲ ἀποσκορακίσῃς ἀλλὰ σῶσόν με.

Ὠδὴ ε'. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

**Ὑ**πὲρ ἡμῶν
τὸν ἐκ σοῦ σαρκωθέντα,
Παρθενομῆτορ,
πάντοτε δυσώπει τῶν εὐσεβῶς σε
μακαριζόντων
λυτρωθῆναι κινδύνων
ψυχοφθόρων παθῶν καὶ θλίψεων
καὶ αἰωνιζούσης
φλογὸς καὶ κολάσεως.

**Α**ἴγλῃ τῇ σῇ
τὴν ζοφώδη ψυχήν μου
καταυγασθῆναι,
πάναγνε Παρθένε εὐλογημένη,
νεῦσον καὶ στῆσον
τοῦ νοός μου τὸν σάλον
καὶ καρδίας ἔκτιλον πώρωσιν
καὶ τοῦ πονηροῦ με
τῶν σκανδάλων λύτρωσαι.

**Ὑ**πὲρ ἡμῶν
τὸν υἱὸν καὶ Θεόν σου,
Θεοκυῆτορ,
πάντοτε δυσώπει, εὐλογημένη,
ὅπως ῥυσθῶμεν
ὁρωμένων καὶ πάντων
ἀοράτων ἐχθρῶν, πανάμωμε,
καὶ τῆς φοβερᾶς
καὶ δεινῆς κατακρίσεως.

**Τ**ὰς μητρικὰς
ἐφαπλώσασα χεῖρας
πρὸς ἱκεσίαν
τῷ φύσει εὐσπλάγχνῳ καὶ φιλανθρώπῳ
αἴτησαι λύσιν
παρασχεῖν τῶν πολλῶν μου
ἐγκλημάτων, μόνη πανύμνητε,
καὶ τῆς αἰωνίου
ζωῆς με ἀξίωσον.

Ὠδὴ ϛ'. Ἐν ἀβύσσῳ πταισμάτων.

**Ἐ**κ νυκτὸς ἁμαρτίας καὶ σκότους παθῶν
ἡ τὸ φῶς τὸ ἄδυτον τεκοῦσα Κύριον
ῥῦσαι ψυχὴν ἀθλίαν μου
καὶ πρὸς φῶς μετανοίας ὁδήγησον.

**Τ**ῆς ἀμέτρου πωρώσεως ῥῦσαί με
τὸν κεκρατημένον πολλοῖς πλημμελήμασι,

Θεοκυῆτορ Δέσποινα,
καὶ χειρὸς με δαιμόνων ἐξάρπασον.

*Π*αναγία Παρθένε θεόνυμφε,
ἡ μετὰ Θεὸν προστασία τῶν δούλων σου
ἐν ὥρᾳ τῆς ἐκάσεως
προστασία ψυχῆς μου γενήθητι.

*Τ*ὰ ποικίλα μου πάθη θεράπευσον,
μόνη ἀειπάρθενε μῆτερ ἀνύμφευτε,
σὺ γὰρ λιμὴν ἀχείμαστος
ἀνεδείχθης ἡμῖν τοῖς ὑμνοῦσί σε.

Ὠδὴ ζ'. Ῥήτορες ἀνεδείχθησαν.

*Λ*ῦσόν μου τὰς σειρὰς τῶν πταισμά-
[των
τῇ μεσιτείᾳ σου, ἁγνή,
καὶ τῇ ἀγάπῃ τελείως
τοῦ ἀγαθοῦ υἱοῦ σού με δέσμευσον
μακρυνόμενον
καθ' ἑκάστην ἐξ αὐτοῦ
δι' ἡδονῶν ἀτόπων.

*Ἐ*πίβλεψον ἐπ' ἐμὲ τὸν ἐν σκότει,
πάναγνε, κείμενον παθῶν
καὶ ἡδονῶν ἀμαυρώσει
πεπωρωμένην ψυχὴν περιφέροντα
καὶ παράσχου μοι
λῦσιν πάντων τῶν κακῶν
καὶ ῥεῖθρα τῶν δακρύων.

*Γ*ενοῦ μοι προστασία καὶ σκέπη
καταφυγὴ καὶ βοηθὸς
καὶ ὀχυρώτατον τεῖχος
καὶ σωτηρία καὶ ἀπολύτρωσις
τῶν μυρίων μου
καὶ δεινῶν ἁμαρτιῶν
καὶ κρίσεως μελλούσης.

Ὠδὴ η'. Κάμινος ποτέ.

*Ρ*ύπου με παθῶν,
ἁγνή, προσγινομένου
τῇ μεσιτείᾳ σου καθάρισον
καὶ λάμπρυνον δέομαι
σκοτισθεῖσαν τὴν καρδίαν μου
δαιμόνων ἀμαυρώσεσιν ὅπως σε
μακαρίζω, Θεομακάριστε Δέσποινα.

*Ὕ*ψιστον Θεὸν
σαρκὶ ἀποτεκοῦσα
ἀπὸ κοπρίας με ἀνύψωσον
παθῶν τῶν θλιβόντων με
καὶ δεινῶν ἄλων πτωχεύσαντα
ταῖς θείαις καταπλούτισον, πάναγνε,
ἀρεταῖς με ὅπως ὑμνῶ σε σωζόμενος.

*Φ*ώτισον, ἁγνή,
τὰς κόρας τῆς ψυχῆς μου
φῶς ἡ τεκοῦσα τὸ ἀπρόσιτον
καὶ τὸν ἐσβεσμένον μου
τῆς καρδίας λύχνον ἄναψον
καὶ σβέσον μου τὴν κάμινον δέομαι,
παναγία, τῆς ἁμαρτίας, Θεόνυμφε.

*Ζ*ήλου τὰ καλὰ
κακῶν μακρυνομένη
δι' ἐργασίας θείων πράξεων,
ψυχή μου, πρεσβεύουσαν
ὑπὲρ σοῦ τὴν Θεομήτορα
καὶ πάντων ἀκαταίσχυντον ἔχουσα
προστασίαν ὡς συμπαθῆ καὶ φιλά-
[γαθον.

Ὠδὴ θ'. Ἀνάρχου γεννήτορος.

*Ἁ*γία πανάμωμε
ἁγίασον τοὺς δούλους σου
ὑπεράγιον Λόγον
σαρκὶ κυήσασα
λύτρωσαι ἡμᾶς τῶν παγίδων
τοῦ πονηροῦ, σῶσον ἡμᾶς πάντας
τούς σέ, Θεομήτορα,
ὀρθοδόξως μεγαλύνοντας.

*Φ*ιλάγαθε Δέσποινα,
πολλαῖς κεκακωμένην μου
τὴν ψυχὴν ἁμαρτίαις
ἤδη ἀγάθυνον
σωσόν με πελάγει, Παρθένε,
πολυειδῶς, ἁγνὴ Θεοτόκε,
ἀεὶ χειμαζόμενον
καὶ σφοδρῶς κλυδωνιζόμενον.

*Φ*ωτί με καταύγασον
τὸν ἐν τῷ σκότει κείμενον
τῆς δεινῆς ῥαθυμίας,
Θεοχαρίτωτε,
καὶ μὴ προαιρούμενον ὅλως
τοὺς τοῦ Θεοῦ νόμους συντηρῆσαι
ὅπως ὡς προστάτιν μου
κατὰ χρέος μακαρίζω σε.

*Ἐ*λέησον, Δέσποινα,
οἰκτείρησον τὸν δοῦλόν σου
τὸν πολλὰς ἁμαρτίας
διαπραξάμενον
καὶ τῇ φοβερᾷ τῆς γεέννης
καὶ τοῦ πυρὸς ὑπόδικον κρίσει
ἡ αὐτὸν τὸν εὔσπλαγχνον
καὶ πανάγαθον κυήσασα.



# 54
# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κῶδ. Θ 66
φ. 162 Λαύρας.

*Ἦχος β'. Ὠδὴ α'. Δεῦτε λαοί.*

*Μ*ῆτερ Θεοῦ
κλῖνον τὸ οὖς σου τὸ ἄχραντον
δέξαι θρῆνον ἐξόδιον
ῥημάτων ἄκουσον
ἐκ ψυχῆς κατωδύνου
καὶ τεταπεινωμένης
ἐκ πονηρᾶς συμβουλῆς.

*Ἰ*δοὺ καιρὸς
ἔφθασε τῆς συντελείας μου·
ἰδοὺ πληθὺς παρέστη μοι
δαιμόνων φρίζοντες
ἀναιδῶς καὶ ζητοῦντες
τὴν ταπεινὴν ψυχήν μου,
Δέσποινα, πρόφθασον.

*Τ*ί ταπεινὴ
ψυχή, θρηνήσῃ μὲν πρότερον;
Θεοῦ ἡμῶν τὴν στέρησιν
ἢ τῆς μητρὸς αὐτοῦ
ἣν οὐκ ἄλλοτε βλέψεις
εἰς βάσανον τοῦ ᾅδου
παραπεμπόμενος.

*Π*ῶς σου, ἁγνή,
τῆς θείας δόξης ὁ ἄθλιος
νῦν χωρισθεὶς εἰς ᾅδου με
κολάσεις δέσμιον
καταγάγωσι μόνον
καὶ σκότος με καλύψει
τοῦ αἰωνίου πυρός.

Ὠδὴ γ'. Στερέωσον Κύριε.

*Σ*υγχύθητι ψυχή, καρδία σείσθητι
καὶ ὅλον δονήθητί μου τὸ σῶμα
ἐπιτάφια θρηνήσωμεν
τὴν μητέρα Θεοῦ καθικετεύοντες.

*Σ*υνάχθητε ὁμοῦ αἰσθήσεις ἅπασαι
ψυχῆς μου καὶ σώματος καὶ θρηνῆτε·
οὐκ ἐν τάφῳ οὐκ ἐν ᾅδου γὰρ
τῆς μητρὸς τοῦ Θεοῦ αἴσθησιν λήψετε·

*Θ*ρηνήσω γοερῶς ὑμᾶς, ὦ χεῖρές μου
καὶ λούσω τοῖς δάκρυσιν ὀλολύζων·
ὀπισθίως γὰρ δεθήσεσθε
καὶ εἰς πῦρ σὺν ἐμοὶ ἀποπεμφθήσεσθε.

*Ο*ὐκ ἔτι πρὸς Θεὸν ὑμᾶς, ὦ χεῖρές μου,
ἐκτείνω οὐκ ἔτι καθικετεύσω
τὴν πανάχραντον μητέρα Θεοῦ
ἀλλ' ἐν ᾅδου καθήσομαι δεσμούμενος.

Ὠδὴ δ'. Ὑμνῶ σε.

*Ἐ*πέστη
πονηρὸν συνέδριον
ἀπελέγχον μου τὰ πρακτέα
καὶ φόβος με πάντοθεν
ἐκλόνησεν· οὐδεὶς γάρ ἐστιν
ἐμοὶ βοηθὸς οὐδὲ συνήγορος,
μῆτερ Θεοῦ, προφθάσασα βοήθησον.

*Ο*ὐκέτι
τοῦ ναοῦ σου πόδες μου

τὰ προπύλαια ἐπιβῶσι
οὐκ ὄμμασι βλέπω σε
οὐ στόματι προσφθέγξομαί σε,
Θεοῦ μῆτερ· τάφος γὰρ καὶ ᾅδης με
κατὰ παντὸς με ἄμφω συγκαλύψουσιν.

*Οὐ*κέτι
τοῖς ὠσί μου, Δέσποινα,
ἐπακούσω θείας ᾠδῆς σου
οὐκέτι μου χείλεσιν
ὑμνήσω σου τὰ μεγαλεῖα, ἁγνή,
ἀλλ' ἐν σκότει καὶ πυρὶ δεσμευθεὶς
ὀδυνήσω γοερῶς καὶ πικρῶς.

***Π***αρθένε
παναγία Δέσποινα,
ἡ τεκοῦσα τὸ φῶς τοῦ κόσμου
ἐν κλίνῃ με κείμενον
καὶ πάντοθεν ἠπορημένον
φωτὶ τῆς πρεσβείας σου καταύγασον
τῆς ταπεινῆς ψυχῆς μου τὴν σκοτό-
[μαιναν.

ᾨδὴ ε'. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

***Ἰ***δοὺ ψυχὴ
φοβερόν σοι ἐπέστη
τῶν ἐν τῷ βίῳ
ἔργων λογοθέσιον· τί καθεύδεις;
θρήνησον μέγα
βόησον τῇ μητρὶ νῦν
τοῦ Κυρίου, Δέσποινα, πρόφθασον
λῦσον τὸ δεινόν μου
καὶ πικρὸν λογοθέσιον.

***Ὦ*** λειτουργοὶ
τοῦ Θεοῦ μου τί πράξεις
ἔργων καὶ λόγων
πάντων τῶν ἐν βίῳ ἐπεζητεῖτε;
μνήσθητε ὅτι
δι' ἐμὲ τὸν πεσόντα
ἐκ Παρθένου Χριστὸς σεσάρκωται
κλίνας οὐρανοὺς
καὶ θανάτου γευσάμενος.

*Ὅ*τι Χριστὸς
ἐξ ἁγνῆς ἐσαρκώθη
ἵνα ὑποδείξῃ
τρίβον τὴν εὐθεῖαν πᾶσιν ἀνθρώποις
μέχρι θανάτου
πάθη καθυπομείνας
διὰ τοῦτο καταφρονήσας
σοῦ τῶν τοῦ Χριστοῦ
ἐντολῶν οὐ φεισθήσομαι.

***Δ***εῦτε πηγαὶ
ἀναντλήσατε ὕδωρ
τῇ κεφαλῇ μου
καὶ τοῖς ὀφθαλμοῖς μου πηγὰς δακρύων
ἵνα πενθήσω
ἐπιτάφιον θρῆνον
καὶ βοήσω πρὸς τὴν πανάχραντον·
Δέσποινα τοῦ κόσμου,
μὴ κλείσῃς μοι σπλάγχνα σου.

ᾨδὴ στ'. Ἐν ἀβύσσῳ πταισμάτων.

***Ὡ***ς στρουθίον παγὶς ἐπιπέπτωκεν
ἄφνω μοι ὁ θάνατος οἴμοι τὸν δείλαιον!
καὶ σκότος κατεκάλυψε
τὴν ψυχήν μου, Παρθένε, βοήθει μοι.

***Ἐ***κ τοῦ ὕψους τῆς δόξης σου, Δέ-
[σποινα,
τὴν στενοχωρίαν μου βλέπουσα πρό-
[φθασον
ἰδοὺ γὰρ ἀσυμπάθητον
καὶ πικρόν με κριτήριον ἔφθασεν.

*Φ*οβερὰ τῶν δαιμόνων στρατεύματα
ἄφνω με τὸν ἄθλιον περιεκύκλωσαν
καὶ τὴν ψυχήν μου, Δέσποινα,
ἀναιδῶς ἐκζητοῦσι βοήθει μοι.

***Ε***ἰ καὶ ἥμαρτον, Δέσποινα, ἄμετρα
ἀλλὰ πλὴν τοῦ τόκου σου Θεὸν οὐκ
[ἔγνωκα
μή με παρίδῃς, ἄχραντε,
ἐν πυρὶ αἰωνίῳ κολάζεσθαι.

ᾨδὴ ζ'. Εἰκόνος χρυσῆς.

***Δ***εινὸν καὶ πικρὸν
λογοθέσιον ψυχῆς ἄφνω ἐπῆλθέ μοι
οὐκ ἀδελφὸς οὐδὲ φίλος μου
μήτηρ οὐ πατὴρ οὐδὲ τέκνα
ἀλλὰ μόνος κράζομαι,
Δέσποινα μῆτερ τοῦ Θεοῦ,
σπεῦσον βοήθει μοι.



***Π***αρῆλθε λοιπὸν
ὡς σκιὰ καὶ ὡς καπνὸς ἅπας ὁ βίος
μικραὶ δὲ πᾶσαι αἱ ἡμέραι μου
καὶ πονηραί μοι ἐφάνησαν·
λόγων γὰρ καὶ ἔργων εὐθύνας
ἀπαιτοῦμαι, πανάχραντε,
καταδεδίκασμαι εἰς πῦρ,
Δέσποινα, πρόφθασον.

***Ἐ***κύκλωσάν με ὡσεὶ
μέλισσαι κηρὸν δαιμόνων φάλαγγες
καὶ δαπανῶσιν αἰσθητήρια
τὰ τῆς ψυχῆς μου, πανάμωμε,
βλέψον ἐκ τοῦ ὕψους τῆς δόξης
ὡς συμπαθὴς καὶ φιλόψυχος
καὶ διασκόρπισον αὐτούς,
ἁγία Δέσποινα.

***Π***ρὸς σὲ τὴν ἁγνὴν
ἀπερρίφην ἐκ γαστρὸς μητρός μου, Δέ-
[σποινα,
φθονήσαντες δὲ οἱ ἀλάστορες
ἀπὸ τῆς σῆς με ἐξέκλιναν
τρίβου καὶ εἰς βάθη κακίας
συνωθήσαντες χαίρουσι
υἱὸν γεέννης καὶ πυρὸς
ἀπεργασάμενοι.

ᾨδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

***Π***ῦρ μου φλογίζει τὰ ἐντὸς
καὶ ὠθεῖ μου τὴν ψυχὴν πρὸς ἄλλην
[φλόγα
τοῦ πυρὸς τοῦ ἀσβέστου
καὶ ἐξωτέρου σκότους
καὶ στένων κραυγάζω σοι, Δέσποινα,
μῆτερ τοῦ Θεοῦ μου
ἐκ τοῦ πυρός με ῥῦσαι.

***Φ***όβος καὶ τρόμος ἐπ' ἐμὲ
καὶ θανάτου φοβερὰ ἔφθασεν ὥρα
καὶ ἐκάλυψε σκότος
τὴν ταπεινήν μου ψυχὴν
καὶ τρέμων δειλιῶ τὸ ἄσβεστον
πῦρ τοῦ αἰωνίου
καὶ ἐξωτέρου σκότους.

***Κ***λαύσατε ὄρη καὶ βουνοὶ
ἐπ' ἐμοὶ τῷ ταπεινῷ καὶ παναθλίῳ
ὅτι ζήσας ἀσώτως
ἐν περιστάσει νυνὶ
θανάτου κραυγάζω τὴν Δέσποιναν·
ἔλιπε δὲ ὅλα
τὰ ἄχραντα καὶ θεῖα.

***Σ***τέναξον μέγα, ὦ ψυχή,
καὶ ἑτοίμασον σαυτὴν πρὸς τὰς βασά-
[νους·
ὁ καιρὸς γὰρ ἐκλείσθη
ὁ τῆς δεήσεώς σου
εἰ μάτην ἐκτείνεις τὴν δέησιν
πρὸς τὴν Θεοτόκον
ἀνόνητα θρηνοῦσα.

ᾨδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

***Σ***ώζου, ὦ μάταιε βίε,
σώζεσθε πάντες φίλοι
πατέρες καὶ καλοί μου ἀδελφοί·
οὐκέτι γὰρ θεωρῶ ὑμᾶς
ἀλλ' ἐν σκότει τοῦ ᾅδου
μονώτατος βληθήσομαι εἰς πῦρ·
διὸ δέομαι πάντων
μνησθέντες μου θρηνήσατε.

***Σ***ώζου ἡ σύμπασα κτίσις
γῆ καὶ ὕδατα πάντα
καὶ οὐρανοὶ καὶ ἄστρα καὶ τὸ φῶς
καὶ ἡ σελήνη καὶ ὁ ἥλιος·
ἐν τῷ ᾅδῃ οὐκέτι
θεάσομαι ὑμᾶς· ἀλλ' ἐν πυρὶ
σκοτεινῷ αἰωνίως
δεινῶς βασανισθήσομαι.

***Σ***ώζου ἡ μήτηρ Θεοῦ μου
σώζουσα, Δέσποινα κόσμου,
σώζου, ἁγνὴ παλάτιον τερπνόν·
σώζου ἡ πάντων βοήθεια·
σώζου δόξα δικαίων
οὐκέτι σου ὁ ἄθλιος ἐγὼ
χαρακτῆρα τὸν θεῖον
κατίδω ἢ ἀσπάσομαι.

***Σ***ώζου, Χριστὲ ὁ Θεός μου,
ὁ καλὸς ποιητής μου,
δικαία σου ἡ κρίσις ἐπ' ἐμὲ
τὸν μὴ φυλάξαντα πώποτε
ἐντολήν σου, σωτήρ μου·
διὸ καταδικάζομαι εἰς πῦρ
ἀλλ' εὐχαῖς τῆς μητρός σου
εἰς τέλος μὴ παρίδῃς με.

# 55

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κωδ. 354 φ. 64α
Ἐθν. Βιβλ. Παρισίων
Θ 66 φ. 112 Λαύρας
Ι 67 Λαύρας.

*Ἦχος β'. Ὠδὴ α'. Δεῦτε λαοί.*

**Ζ**ωῆς πηγὴ
πέφυκας, Παρθενομῆτορ ἁγνή,
τὸν ἀρχηγὸν καὶ Κύριον
κυοφορήσασα
τὴν ζωὴν τῶν ἁπάντων
δροσίζουσα τοὺς πίστει
δοξολογοῦντάς σε.

**Σ**ὲ στηριγμὸν
καὶ προστασίαν πλουτήσαντες
οἱ Θεοτόκον, πάναγνε,
ὁμολογοῦντές σε
τρικυμίας τοῦ βίου,
πανάμωμε Παρθένε,
διασωζόμεθα.

**Ἡ** τῶν πιστῶν
καταφυγή, ἀειπάρθενε,
ἡ κραταιὰ βοήθεια,
τῶν προστρεχόντων σοι
ἀπὸ πάσης ἀνάγκης
καὶ βλάβης ἐναντίας
ἡμᾶς διάσωσον.

**Μ**ῆτερ Θεοῦ
τῆς εὐσπλαγχνίας τὸ πέλαγος
ἁμαρτωλῶν προσφύγιον
τὸν προσδραμόντα σοι
μὴ ἀπώσῃ εἰς τέλος
ἀλλὰ χειραγώγησον
πρὸς μετανοίας ὁδούς.

Ὠδὴ γ'. Στερέωσον ἡμᾶς.

**Χ**ρυσοῦν ὡς ἀληθῶς θυμιατήριον
καὶ στάμνον τοῦ μάννα καὶ θεῖον ὄρος
καὶ παλάτιον τερπνότατον
τοῦ Θεοῦ σε, Παρθένε, ὀνομάζομεν.

**Ν**αὸς καὶ ἱερὸν κατοικητήριον
τοῦ Λόγου ὑπάρχουσα, Θεοτόκε,
τῶν ἁμαρτημάτων ἱλαστήριον
παναγία, γενοῦ μοι, ἀειπάρθενε.

**Ο**ὐ γλῶσσα γηγενῶν οὐ νοῦς ἀσώματος
ἰσχύει τὸν τόκον σου ἑρμηνεῦσαι·
ὑπὲρ φύσιν γὰρ καὶ ἔννοιαν,
Θεοτόκε, τὸν κτίστην ἀπεκύησας.

**Σ**τερέωμα γενοῦ καὶ καταφύγιον
καὶ σκέπη, Παρθένε Θεογεννῆτορ,
τοῖς ἐν πίστει σοι προσφεύγουσι
καὶ Θεοῦ σε μητέρα καταγγέλλουσιν.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

**Σ**έ, Παρθένε, κεκτήμεθα,
χριστιανοὶ βοήθειαν μεγάλην·
χαλεπῶν κινδύνων ἡμᾶς ἐξάρπασον.

**Ἀ**πειρόγαμε Δέσποινα,
ἡ τὸν Θεὸν ἐν μήτρᾳ δεξαμένη
πειρασμῶν καὶ θλίψεων πάντας λύ-
[τρωσαι.

**Ἀ**προσμάχητον τεῖχός σε
καὶ κραταιὰν ἐλπίδα, Θεοτόκε,
οἱ πιστοὶ κεκτήμεθα ἐν κινδύνοις,
[ἁγνή.

**Τ**ὴν πρεσβείαν σου, Δέσποινα,
ὡς ἀσφαλῆ κρηπῖδα κεκτημένοι
τῶν ποικίλων θλίψεων ἐκλυτρούμεθα.

Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

**Σ**εσαρκωμένον ἐκ σοῦ,
Θεογεννῆτορ, οἱ πιστοὶ ἔγνωμεν
ἄνευ σπορᾶς υἱὸν γεννηθέντα
Θεὸν ἀληθινὸν
καὶ ἄνθρωπον φύσει·
διό σε δοξάζομεν.

**Ὑ**πὸ τὴν σκέπην σου
καὶ προστασίαν οἱ πιστοί, πάναγνε,



διὰ παντὸς προσφεύγοντες πίστει
λυτρούμεθα πάσης
διὰ σοῦ, Παρθένε,
δεινῆς περιστάσεως.

**Ῥ**ῦσαι ἡμᾶς πειρασμῶν
καὶ καταιγίδος λογισμῶν, ἄχραντε,
πάσης ὀργῆς, πάσης ἁμαρτίας
λιμοῦ τε καὶ λοιμοῦ
καὶ τῆς αἰωνίου,
Παρθένε, κολάσεως.

**Ἡ** προστασία ἡμῶν
ἡ σωτηρία καὶ ἐλπίς, Δέσποινα,
χριστιανῶν ὑπάρχουσα σῷζε
τοὺς πόθῳ σε ἀεὶ
πιστῶς ἀνυμνοῦντας,
Παρθένε πανύμνητε.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

**Ὁ** βουλήσει τὸ πᾶν ἐργαζόμενος
μήτραν βουληθεὶς ἀπειρόγαμον ᾤκησε
τοὺς τὴν φθορὰν νοσήσαντας
ἀφθαρσίαν πλουτίσας ὡς εὔσπλαγχνος.

**Ἀ**νωτέρα τῶν ἄνω δυνάμεων
καὶ ἁγιωτέρα ὑπάρχεις, πανάμωμε,
ὑπερφυῶς χωρήσασα
τὸν ἀχώρητον Λόγον ἐν μήτρᾳ σου.

**Ἐ**ν ὁδῷ με τοῦ βίου πλανώμενον
καὶ ταῖς ἐνοδίαις παγίσι περιπίπτοντα
τῆς ἁμαρτίας, Δέσποινα,
μετανοίας πρὸς τρίβους ὁδήγησον.

**Μ**ὴ παρίδῃς, ἁγνή, τὰς δεήσεις ἡμῶν
τῶν εἰς σὲ θεμένων τὰς ἐλπίδας δούλων
[σου·
καταφυγὴ γάρ, Δέσποινα,
καὶ ψυχῶν ἱλαστήριον πέφυκας.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

**Π**ατρὶ συμφυῶς
τὸν νοούμενον υἱὸν δυνάμει Πνεύματος
τοῦ παναγίου ἐσωμάτωσας,
Θεοχαρίτωτε Δέσποινα,
τοῦτον οὖν ἀπαύστως δυσώπει
οἰκτειρῆσαι τοὺς μέλποντας·
εὐλογημένη ἡ Θεὸν
σαρκὶ κυήσασα.

**Λ**ιμὴν ἀσφαλὴς
προστασία φοβερὰ καὶ τεῖχος ἄρρηκτον
τοῖς ἐν ἀνάγκαις κινδυνεύουσι
χειμαζομένοις ἐν θλίψεσι
ταῖς πρὸς τὸν υἱόν σου πρεσβείαις,
Θεοτόκε, ὑπάρχουσα
ἐκ πολυτρόπων πειρασμῶν
σῶζε τοὺς δούλους σου.

**Ἡ** μόνη ἐλπὶς
καὶ βοήθεια πιστῶν, Θεογεννῆτορ,
σπεῦσον βοήθει τοῖς οἰκέταις σου
βυθιζομένοις ταῖς θλίψεσι
πάντοθέν τε ἠπορημένοις
καὶ ἐν ὀδύνῃ ὑπάρχουσι
καὶ καταφεύγουσιν εἰς σὲ
ἐν πεποιθήσει ψυχῆς.

**Π**αρθένε σεμνὴ
ἀπειρόγαμε ἁγνὴ εὐλογημένη
καταπιπτόντων ἐπανόρθωσις
ἁμαρτανόντων ἡ λύτρωσις
σῶσόν με τὸν ἄσωτον αἶνον
τῷ υἱῷ σου κραυγάζοντα
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

**Ζ**ῶσα ὑπάρχουσα πηγὴ
ὡς τὸ ὕδωρ τῆς ζωῆς ἀποτεκοῦσα
τὴν ψυχήν μου τακεῖσαν
τῆς ἁμαρτίας φλογμῷ,
Παρθένε Θεοτόκε, δρόσισον
ἵνα σε δοξάζω
εἰς πάντας τοὺς αἰῶνας.

**Ν**ενεκρωμένους καὶ πρὸς χοῦν
τοῦ θανάτου καὶ φθορᾶς κατενεχθέντας
ἐξανέστησας μόνη
τὸν ἀρχηγὸν τῆς ζωῆς
τεκοῦσα Χριστὸν τὸν Θεὸν ἡμῶν,
Δέσποινα Παρθένε
ἁγνὴ εὐλογημένη.

**Ῥ**ῦσαί με, Δέσποινα ἁγνή,
αἰωνίζοντος πυρὸς καὶ καταδίκης

ἐξῆλθον με ἀνθρώπων
κακοποιεῖν με ἀεὶ
ζητούντων ὅπως μακαρίζω σε
ἣν πᾶσα ἡ κτίσις
ἐνθέως μακαρίζει.

*Ἐν* ὁμοιώματι σαρκὸς
ὁ ὑπέρθεος ἐκ σοῦ, ἁγνή, ὡράθη
ὃν ἀπαύστως δυσώπει
ἐλεηθῆναι ἡμᾶς
κακίᾳ σφζοντας καὶ τρέμοντας
τὰς αἰωνιζούσας,
Παρθένε, τιμωρίας.

Ὠδὴ ϛ΄. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

*Φ*ιλανθρωπίας με θείας
καταξίωσον, κόρη,
ἡ μόνη τὸν φιλάνθρωπον Θεὸν
σάρκα ἐκ σοῦ δανεισάμενον
ἀπορρήτως τεκοῦσα
καὶ λύτρωσαι μελλούσης φλογὸς
καὶ κολάσεως πάσης
τὸν πόθῳ σε δοξάζοντα.

*Ὡ*ς κραταιὰν προστασίαν
ὡς ἐλπίδα καὶ τεῖχος
καὶ ἄγκυραν καὶ σκέπην ἀσφαλῆ
καὶ ἀπροσμάχητον ἔρεισμα
καὶ ἀχείμαστον ὅρμον
καὶ μόνην κραταιὰν καταφυγὴν
κεκτημένοι σε πάντες
σῳζόμεθα, πανύμνητε.

*Φ*ωτοχύτως Παρθένε,
τῆς ψυχῆς μου τὰ νέφη
ἀπέλασον καὶ δίδου καθαρῶς
πρὸς σὲ ἐνατενίζεσθαι, Δέσποινα,
τὸ σωτήριον κάλλος
τοῦ λάμψαντος ἀρρήτως ἐκ τῆς σῆς
παρθενίας νηδύος
εἰς φῶς ἐθνῶν, πανύμνητε.

*Φ*ῶς ἡ τεκοῦσα τὸ θεῖον
τὴν πολλαῖς σκοτισθεῖσαν
παθῶν ἐπαγωγαῖς καὶ λογισμῶν
ἀλλοτριούντων καρδίαν μου
φωταγώγησον, κόρη,
σταγόνας χορηγοῦσά μοι ἀεὶ
μολυσμῶν ἁμαρτίας,
Παρθένε, καθαιροῦσάς με.

---

## 56

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κώδ. 370 φ. 26β
Ἐθν. Βιβλ. Παρισίων
Θ 66 φ. 118 Λαύρας.

***Ἦχος β΄. Ὠδὴ α΄. Δεῦτε λαοί.***

*Ὡ*ς ἀγαθὸς
ὡς πολυέλαιος, Κύριε,
σὺ τὴν ἐμὴν ἐλέησον
ψυχὴν τὴν πταίσμασι
δουλωθεῖσαν ἀπείροις
τῆς σῆς μητρὸς πρεσβείαις,
μόνε φιλάνθρωπε.

*Σ*οὶ τὴν ἐμήν,
Δέσποινα, ψυχὴν ἀνέθηκα·
σύ με διακυβέρνησον·
σύ με συντήρησον·
σύ με λύτρωσαι πάσης
κακίας καὶ ἐνέδρας
τοῦ πολεμήτορος.

*Ὡ*ς ἀγαθὴ
καὶ ἀγαθὸν Λόγον τέξασα,
τὴν κακωθεῖσαν πάθεσι
δεινοῖς καρδίαν μου,
Θεοτόκε Παρθένε,
ἀγάθυνον κακίας
πάσης ἐξαίρουσα.

*Μ*ῆτερ Θεοῦ,
τῆς εὐσπλαγχνίας τὸ πέλαγος
ἁμαρτωλῶν προσφύγιον
τὸν προσδραμόντα σοι
μὴ ἀπώσῃ εἰς τέλος
ἀλλὰ χειραγώγησον
πρὸς μετανοίας ὁδούς.



Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα (?) / Σὺ τῷ λόγῳ σου, Κύριε.

*Ἁ*μαρτίας νεότητος
καὶ ἀγνοίας μου, Κύριε,
μὴ ἀνακαλέσῃς ἐν ὥρᾳ
φρικτῆς διαγνώσεως.

*Τ*ὰ δεινά μου ἐγκλήματα
ἐξαγγέλλω σοι, πάναγνε,
σύ μοι τούτων δίδου τὴν λύσιν
πρὸ τῆς τελειώσεως.

*Σ*οὶ προσπίπτω καὶ δέομαι,
παναγία Θεόνυμφε,
σύ παράστηθί μοι ἐν ὥρᾳ
ἐμῆς τελειώσεως.

*Τ*οὺς τῇ σκέπῃ σου, Δέσποινα,
ὡς λιμένι προστρέχοντας
ῥῦσαι τῶν δεινῶν ὀφλημάτων
καὶ σῶσον πρεσβείαις σου.

Ὠδὴ δ΄. Ὑμνῶ σε.

*Κ*ακίας
οὐδαμῶς ἐνέλιπον
διανόημά τε καὶ ἔργον
ὃ ἐγὼ ὁ ἄθλιος
ἐπιμελῶς οὐκ εἰργασάμην,
Θεὲ τοῦ ἐλέους, μὴ ἐάσῃς με
μητρὸς τῆς σῆς πρεσβείαις ἀπολέσθαι δεινῶς.

*Δ*οχεῖον
τοῦ Θεοῦ πανάχραντον
οἰκητήριον τῆς Τριάδος
τῶν χαλεπῶν ῥῦσαί με
καὶ παθῶν καὶ νόσων, ἁγνή,
καὶ ποικίλων κινδύνων καὶ περιστάσεων
καὶ τῆς αἰωνιζούσης κατακρίσεως.

*Σ*ὺ μόνη,
Θεοτόκε, πέφυκας
προστασία τῶν θλιβομένων·
σὺ νοσούντων ἴαμα
σὺ πρόμαχος καὶ σωτηρία
πιστῶν· σὺ γενοῦ μοι ἱλαστήριον
παραπτωμάτων καὶ χαρὰ ἀΐδιος.

*Ὑ*μνῶ σε
ἀληθῶς, πανύμνητε,
ὑπερύμνητον Θεὸν Λόγον
ὑπερφυῶς τεξαμένην
καὶ δέομαι τῆς ταπεινῆς μου
ψυχῆς τὰ νοσήματα θεράπευσον
καὶ τῆς δεινῆς με ῥῦσαι κατακρίσεως.

Ὠδὴ ε΄. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

*Θ*ῆρες δεινοὶ
κατεσπάραξαν ὅλον
ὥσπερ ἀρνίον
καὶ καλοῦ ποιμένος ἐμάκρυνάν με
καὶ καθορῶντες
τὴν ἀθλίαν μου πτῶσιν
καὶ τὴν λύπην πάντοτε χαίρουσι,
κόρη, τῆς αὐτῶν με
κακίας ἀπάλλαξον.

*Τ*ὰς μητρικὰς
ἐφαπλώσασα χεῖρας
πρὸς ἱκεσίαν
τῷ φύσει εὐσπλάγχνῳ καὶ φιλανθρώπῳ
αἴτησαι λύσιν
παρασχεῖν τῶν πολλῶν μου
πλημμελημάτων, μόνη πανύμνητε,
καὶ τῆς αἰωνίου
ζωῆς ἀξίωσόν με.

*Μ*ῆτερ Θεοῦ,
τὰς πολλὰς ἁμαρτίας
ἃς εἰργασάμην
λογισμῷ κακόφρονι καὶ ἐννοίᾳ
τῷ σῷ ἐλέει
καὶ τῇ φιλανθρωπίᾳ
τῇ ἐμμέτρῳ πάσας ἐξάλειψον
ἵνα σε ὑμνῶ
καὶ δοξάζω γηθόμενος.

*Ἀ*πὸ παθῶν
ἀμαυρώσεως, κόρη,
ἀπὸ σκανδάλων
τῶν προσγινομένων μοι ἐπηρείαις
τοῦ ἀλλοτρίου
μενόντων τε βασάνων
αἰωνίων τοὺς ἁμαρτάνοντας
ῥῦσαί με ταῖς σαῖς
δυσωπῶ παρακλήσεσιν.

Ὠδὴ ϛ΄. Ἄβυσσος ἁμαρτημάτων.

*Ἄ*βυσσος τῆς ἁμαρτίας
καταποντίζει τελείως

ἐξελοῦ με ἀνθρώπων
κακοποιεῖν με ἀεὶ
ζητούντων ὅπως μακαρίζω σε
ἣν πᾶσα ἡ κτίσις
ἐνθέως μακαρίζει.

**Ἐ**ν ὁμοιώματι σαρκὸς
ὁ ὑπέρθεος ἐκ σοῦ, ἁγνή, ὠράθη
ὃν ἀπαύστως δυσώπει
ἐλεηθῆναι ἡμᾶς
κακίᾳ συζῶντας καὶ τρέμοντας
τὰς αἰωνιζούσας,
Παρθένε, τιμωρίας.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

**Φ**ιλανθρωπίας με θείας
καταξίωσον, κόρη,
ἡ μόνη τὸν φιλάνθρωπον Θεὸν
σάρκα ἐκ σοῦ δανεισάμενον
ἀπορρήτως τεκοῦσα
καὶ λύτρωσαι μελλούσης φλογὸς
καὶ κολάσεως πάσης
τὸν πόθῳ σε δοξάζοντα.

**Ὡ**ς κραταιὰν προστασίαν
ὡς ἐλπίδα καὶ τεῖχος
καὶ ἄγκυραν καὶ σκέπην ἀσφαλῆ
καὶ ἀπροσμάχητον ἔρεισμα
καὶ ἀχείμαστον ὅρμον
καὶ μόνην κραταιὰν καταφυγὴν
κεκτημένοι σε πάντες
σῳζόμεθα, πανύμνητε.

**Φ**ωτοχῦτορ Παρθένε,
τῆς ψυχῆς μου τὰ νέφη
ἀπέλασον καὶ δίδου καθαρῶς
πρὸς σὲ ἐνοπτρίζεσθαι, Δέσποινα,
τὸ σωτήριον κάλλος
τοῦ λάμψαντος ἀρρήτως ἐκ τῆς σῆς
παναγίας νηδύος
εἰς φῶς ἐθνῶν, πανύμνητε.

**Φ**ῶς ἡ τεκοῦσα τὸ θεῖον
τὴν πολλαῖς σκοτισθεῖσαν
παθῶν ἐπαγωγαῖς καὶ λογισμῶν
ἀλλοτριούντων καρδίαν μου
φωταγώγησον, κόρη,
σταγόνας χορηγοῦσά μοι ἀεὶ
μολυσμῶν ἁμαρτίας,
Παρθένε, καθαιρούσας με.

---

## 56
## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κῶδ. 370 φ. 26β
Ἐθν. Βιβλ. Παρισίων
Θ 66 φ. 118 Λαύρας.

***Ἦχος β'. Ὠδὴ α'. Δεῦτε λαοί.***

**Ὡ**ς ἀγαθὸς
ὡς πολυέλεος, Κύριε,
σὺ τὴν ἐμὴν ἐλέησον
ψυχὴν τὴν πταίσμασι
δουλωθεῖσαν ἀπείροις
τῆς σῆς μητρὸς πρεσβείαις,
μόνε φιλάνθρωπε.

**Σ**οὶ τὴν ἐμήν,
Δέσποινα, ψυχὴν ἀνέθηκα·
σύ με διακυβέρνησον·
σύ με συντήρησον·
σύ με λύτρωσαι πάσης
κακίας καὶ ἐνέδρας
τοῦ πολεμήτορος.

**Ὡ**ς ἀγαθὴ
καὶ ἀγαθὸν Λόγον τεξασα,
τὴν κακωθεῖσαν πάθεσι
δεινοῖς καρδίαν μου,
Θεοτόκε Παρθένε,
ἀγάθυνον κακίας
πάσης ἐξαίρουσα.

**Μ**ῆτερ Θεοῦ,
τῆς εὐσπλαγχνίας τὸ πέλαγος
ἁμαρτωλῶν προσφύγιον
τὸν προσδραμόντα σοι
μὴ ἀπώσῃ εἰς τέλος
ἀλλὰ χειραγώγησον
πρὸς μετανοίας ὁδούς.



Ὠδὴ γ'. Σὺ τῷ λόγῳ σου, Κύριε.

**Ἁ**μαρτίας νεότητος
καὶ ἀγνοίας μου, Κύριε,
μὴ ἀνακαλύψῃς ἐν ὥρᾳ
φρικτῆς διαγνώσεως.

**Τ**ὰ δεινά μου ἐγκλήματα
ἐξαγγέλλω σοι, πάναγνε,
σύ μοι τούτων δίδου τὴν λύσιν
πρὸ τῆς τελειώσεως.

**Σ**οὶ προσπίπτω καὶ δέομαι,
παναγία Θεόνυμφε,
σύ παράστηθί μοι ἐν ὥρᾳ
ἐμῆς τελειώσεως.

**Τ**οὺς τῇ σκέπῃ σου, Δέσποινα,
ὡς λιμένι προστρέχοντας
ῥῦσαι τῶν δεινῶν ὀφλημάτων
καὶ σῶσον πρεσβείαις σου.

Ὠδὴ δ'. Ὑμνῶ σε.

**Κ**ακίας
οὐδαμῶς ἐνέλιπον
διανόημά τε καὶ ἔργον
ὃ ἐγὼ ὁ ἄθλιος
ἐπιμελῶς οὐκ εἰργασάμην,
Θεὲ τοῦ ἐλέους, μὴ ἐάσῃς με
μητρὸς τῆς σῆς πρεσβείαις ἀπολέσθαι
[δεινῶς.

**Δ**οχεῖον
τοῦ Θεοῦ παντάχραντον
οἰκητήριον τῆς Τριάδος
τῶν χαλεπῶν ῥῦσαί με
καὶ παθῶν καὶ νόσων, ἁγνή,
καὶ ποικίλων κινδύνων καὶ περιστάσεων
καὶ τῆς αἰωνιζούσης κατακρίσεως.

**Σ**ὺ μόνη,
Θεοτόκε, πέφυκας
προστασία τῶν θλιβομένων·
σὺ νοσούντων ἴαμα
σὺ πρόμαχος καὶ σωτηρία
πιστῶν· σὺ γενοῦ μοι ἱλαστήριον
παραπτωμάτων καὶ χαρὰ ἀΐδιος.

**Ὑ**μνῶ σε
ἀληθῶς, πανύμνητε,
ὑπερύμνητον Θεὸν Λόγον
ὑπερφυῶς τεξασαν
καὶ δέομαι τῆς ταπεινῆς μου
ψυχῆς τὰ νοσήματα θεράπευσον
καὶ τῆς δεινῆς με ῥῦσαι κατακρίσεως.

Ὠδὴ ε'. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

**Θ**ῆρες δεινοὶ
κατεσπάραξαν ὅλον
ὥσπερ ἀρνίον
καὶ καλοῦ ποιμένος ἐμάκρυνάν με
καὶ καθορῶντες
τὴν ἀθλίαν μου πτῶσιν
καὶ τὴν λύπην πάντοτε χαίρουσι,
κόρη, τῆς αὐτῶν με
κακίας ἀπάλλαξον.

**Τ**ὰς μητρικὰς
ἐφαπλώσασα χεῖρας
πρὸς ἱκεσίαν
τῷ φύσει εὐσπλάγχνῳ καὶ φιλανθρώπῳ
αἴτησαι λύσιν
παρασχεῖν τῶν πολλῶν μου
πλημμελημάτων, μόνη πανύμνητε,
καὶ τῆς αἰωνίου
ζωῆς ἀξίωσόν με.

**Μ**ῆτερ Θεοῦ,
τὰς πολλὰς ἁμαρτίας
ἃς εἰργασάμην
λογισμῷ κακόφρονι καὶ ἐννοίᾳ
τῷ σῷ ἐλέει
καὶ τῇ φιλανθρωπίᾳ
τῇ ἐμφύτῳ πάσας ἐξάλειψον
ἵνα σε ὑμνῶ
καὶ δοξάζω γηθόμενος.

**Ἀ**πὸ παθῶν
ἀμαυρώσεως, κόρη,
ἀπὸ σκανδάλων
τῶν προσγινομένων μοι ἐπηρείαις
τοῦ ἀλλοτρίου
μενουσῶν τε βασάνων
αἰωνίων τοὺς ἁμαρτάνοντας
ῥῦσαί με ταῖς σαῖς
δυσωπῶ παρακλήσεσιν.

Ὠδὴ ϛ'. Ἄβυσσος ἁμαρτημάτων.

**Ἄ**βυσσος τῆς ἁμαρτίας
καταποντίζει τελείως

τὴν ἀθλιωτάτην μου ψυχήν,
Κύριε Κύριε,
σὺ χεῖρά μοι δίδου τῆς σωτηρίας.

**Σ**βέσον μου, Θεοκυῆτορ,
ἐπιθυμίας τὴν φλόγα
θείῳ δροσισμῷ σου καὶ πυρὸς
διαιωνίζοντος
ἐξάρπασον τὴν ἀθλίαν ψυχήν μου.

**Ἄ**βυσσος τῆς εὐσπλαγχνίας
ὑπάρχουσα, Θεοτόκε,
τὸν ἐν τῇ ἰλύϊ τῶν παθῶν
δεινῶς ἐμπαγέντα με
ἀνάγαγε μετανοίας πρὸς ὕψος.

**Ἐ**πίβλεψον ἐν εὐμενείᾳ,
πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν
τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Ὠδὴ ϛʹ. Εἰκόνος χρυσῆς.

**Π**αθῶν προσβολαὶ
καὶ πταισμάτων συνοχαὶ καὶ τοῦ νοὸς
[ἐκτροπαὶ
νῦν τὴν ψυχήν μου περιφέρουσι
πρὸς ἀπογνώσεως βάραθρα,
Κύριε, ὁ μόνος οἰκτίρμων
καὶ μόνος σώζειν δυνάμενος
οἰκτείρησόν με
καὶ σῶσον τὸν πανάθλιον.

**Σ**αρκὸς ἡδοναῖς
καθελκόμενος ἀεὶ τὴν ἁμαρτίαν
ὁ ἀσυνείδητος διαπράττομαι
καὶ παροργίζω τὸν κτίστην μου,
Δέσποινα τοῦ κόσμου Παρθένε,
μετανοίας τὴν ἔλλαμψιν
τῇ ταλαιπώρῳ μου ψυχῇ
εὐχαῖς σου δώρησαι.

**Ἐ**ν θλίψει πολλῇ
καὶ σφοδραῖς ἐπαγωγαῖς ταῖς ἐξ ἐχθρῶν
[μου
καταιρυχόμενος ἐν τῇ σκέπῃ σου
τῇ ἀχειμάστῳ προσέδραμον·
σῶσόν με τὸν ἄθλιον σῶσον
καὶ τιμωρίας δαιμόνων με
καὶ αἰωνίζοντος πυρός,
ἁγνή, ἀπάλλαξον.

**Ε**ἰς σὲ τὴν ἐμὴν
ἀνεθέμην ἐκ ψυχῆς ἐλπίδα πᾶσαν
καὶ ἀτενίζω προσδεχόμενος
τὴν θείαν ὄντως παράκλησιν·
πρόφθασον, ἁγνὴ Θεοτόκε,
καὶ χαρίτωσον τρίβον μοι
ὑποδεικνύουσα
καὶ πρὸς Θεὸν διαβιβάζουσα.

Ὠδὴ ηʹ. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

**Κ**αὶ πρὸ θανάτου καὶ ταφῆς
ὡς ἐν τάφῳ κατοικῶν πικρῶς βοῶ σοι,
ὦ Τριὰς παναγία,
ἡ πλαστουργὸς τοῦ παντὸς
πταισμάτων παρασχοῦσα λύτρωσιν
ἀνάπαυσιν θείαν
βράβευσον τῇ ψυχῇ μου.

**Σ**οὶ ἀνεθέμην ἐμαυτὸν
ὡς προστάτιδι θερμῇ ὡς δυναμένῃ
τὰς ἐμὰς ἐκπληρῶσαι
δεήσεις πάσας, ἁγνή,
διό μου πλήρωσον τὴν ἔφεσιν
καὶ πρὸ τοῦ θανάτου
συγχώρησίν μοι δίδου.

**Ἡ** προστασία τῶν πιστῶν
ἡ ἐλπὶς τῶν πενιχρῶν πτωχῶν ἡ σκέπη
ἡ τῶν ἠπορημένων
θερμὴ ἀντίληψις
πταισμάτων ἄφεσίν μοι δώρησαι,
Δέσποινα τοῦ κόσμου,
καὶ ζωὴν αἰώνιον.

Ὠδὴ θʹ. Ἀνάρχου γεννήτορος.

**Φ**ιλάνθρωπε Κύριε,
ὁ οἰκτιρμοῖς ἀπείροις σου
σαρκωθεὶς ἐκ Παρθένου
διὰ τὸ σῶσαι βροτούς
ῥῦσαι τὴν ψυχήν μου ἐκ πάσης
δαιμονικῆς πλάνης καὶ ἐνέδρας
καὶ πάσας ἐξάλειψον
τὰς ἀπείρους ἁμαρτίας μου.

**Ἐ**λέησον, Δέσποινα,
οἰκτείρησον τὸν δοῦλόν σου



τὸν πολλὰς ἁμαρτίας
διαπραξάμενον
καὶ τῇ φοβερᾷ τῆς γεέννης
καὶ τοῦ πυρὸς ὑπόδικον κρίσει
ἡ αὐτὸν τὸν εὔσπλαγχνον
καὶ πανάγαθον κυήσασα.

**Ρ**ομφαίᾳ πρεσβείας σου
καὶ κράτει τῆς ἰσχύος σου
τοὺς δεινῶς με ταράσσοντας
ἀοράτους ἐχθροὺς
ἀνελε βαθεῖαν εἰρήνην
τῇ ταπεινῇ διδοῦσα ψυχῇ μου
καὶ θείαν παράκλησιν
καὶ πταισμάτων ἀπολύτρωσιν.

**Φ**ιλάνθρωπον Κύριον
καὶ μόνον πολυέλεον
ὑπὲρ νοῦν τε καὶ λόγον
ἀποκυήσασα
τοῦτον ἐκδυσώπει, Παρθένε,
τῇ φοβερᾷ ἡμέρᾳ καὶ ὥρᾳ
ῥυσθῆναι κολάσεως
αἰωνίου τοὺς ὑμνοῦντάς σε.

---

## 57

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1]

οὗ ἡ ἀκροστιχίς

« ***Θρηνῶδες ᾆσμα δεύτερον τῇ Παρθένῳ.*** »

Ἐν δὲ τοῖς τρισὶ τελευταίοις τροπαρίοις τῆς θʹ ᾠδῆς « ***Τοῦ Κρήτης.*** »

ΠΟΙΗΜΑ ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

***Ἦχος βʹ. Ὠδὴ αʹ. Δεῦτε λαοί.***

**Θ**ρήνου καιρὸς
πάρεστιν, ὦ πανάθλία ψυχή,
τὸ τῆς παρούσης σταδίου
ζωῆς ὃ τρέχομεν
καὶ καθεύδομεν οἴμοι!
λοιπὸν διεγερθῶμεν
νῦν καὶ θρηνήσωμεν.

**Ρ**οῦς ποταμοῦ
σκιὰ καὶ καπνὸς καὶ ἐνύπνιον
καὶ ἄνθος χόρτου πέφυκε
τὸ μαραινόμενον
ἡ παροῦσα τερπνότης·
λοιπὸν τῇ Θεοτόκῳ,
ψυχή, προσπέσωμεν.

**Ἡ** τὴν ζωὴν
μόνη τεκοῦσα, Θεόνυμφε,
νεκρόν με χρηματίσαντα
καὶ κατακείμενον
ἁμαρτίας τῷ βέλει
ἀνάστησον φαρμάκῳ
τῷ τοῦ ἐλέους σου.

**Ν**οῦν καὶ ψυχὴν
καὶ τὰς αἰσθήσεις ἐμόλυνα
ἐπιτελῶν τὰ ἄτοπα,
Θεοχαρίτωτε,
ἀλλὰ σοῦ τῷ πελάγει
προσπίπτω τοῦ ἐλέους
καὶ μὴ ἀπώσῃ με.

Ὠδὴ γʹ. Στερέωσον ἡμᾶς.

**Ὡ**ς ἄλλον με λῃσταὶ τοῦ βίου σταδίου
ὁδίτην ὁδεύοντα συλλαβόντες
τὴν ψυχὴν κατετραυμάτισαν·
ἀλλὰ σύ, Θεομῆτορ, ἀνεκάλεσαι.

---

1) Εὕρηται καὶ ἐν τῷ Θεοτοκαρίῳ Νικοδήμου, σ. 24 (ἔκδ. Ἀθηνῶν 1906).

**Δ**ουλώσας τῆς ψυχῆς τὸ αὐτεξούσιον
ἐτρώθην τοῖς πάθεσι μὴ ζηλώσας
Ἰωσήφ· ἀλλ' ἐλευθέρωσον,
Θεομῆτορ, τῆς τούτων δεσποτείας με.

**Ἐ**ν σοὶ τῶν ἡδονῶν θαρρῶν, Δέ-[σποινα,
τὸ μέγα καὶ ἄρρηκτον χαλκοῦν τεῖχος
ὑπερβαίην καὶ ῥυσθείην τε
ἀπὸ πειρατηρίου δεινοῦ δαίμονος.

**Σ**ταγόνες μου δακρύων ἐξηράνθησαν,
Παρθένε, τῷ ὕπνῳ βεβαρημένου·
ἀλλ' ἐγρήγορσίν μοι δώρησαι
καὶ δακρύων πηγὴν καὶ στάσιν πάν-[νυχον.

Ὠδὴ δ'. Ὑμνῶ σε.

**Ἁ**πάσης
ἁμαρτίας αἴτιον
φιλαυτία φιλαργυρία
ἃς ἐκ ψυχῆς ἐπόθησα
καὶ πᾶσαν αἰσχρὰν πρᾶξιν
αὐθαιρέτως ἐξετέλεσα·
ἀλλ' οὖν ἐν γήρᾳ σῶσόν με τὸν ἄθλιον.

**Σ**τολήν με
τοῦ σεπτοῦ βαπτίσματος
ἀπεξέδυσεν ὁ βελίαρ
καὶ τὸ τραχύ, πάναγνε,
καὶ δυσαχθὲς τῆς ἁμαρτίας
αὐτὸς περιέθετο τριβώνιον
ὃ δυσωπῶ σε, κόρη, με ἀπόδυσον.

**Μ**αρία
Θεοτόκε Δέσποινα,
εὐφροσύνη μου καὶ σωτηρία
ἐν κλίνῃ κειμένου
ἀείποτε τῆς ἀμελείας
τῷ θείῳ φωτί σου διασκέδασον
τῆς ταπεινῆς ψυχῆς μου τὴν σκοτό-[μαιναν.

**Α**ἰγύπτου
Μωϋσῆς ἐξήγαγε
τῆς δουλείας Ἰσραηλίτας,
ἐμὲ δὲ τίς, πάναγνε,
ἐξάξει τῆς πικρᾶς δουλείας
παθῶν; εἰ μὴ σὺ πρὸς τὸν Δεσπότην μου
καὶ σὸν υἱὸν πρεσβεύσῃς ἡ φιλεύ-[σπλαγχνος.

Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

**Δ**ιὰ νηστείας ποτὲ
προκαθαρθεὶς ὁ Μωϋσῆς ἤκουσε
θείας φωνῆς καὶ σοῦ, Θεομῆτορ,
κατεῖδε τὸν τύπον·
ἐγὼ δὲ ἀσωτεύων
πῶς ἴδω φῶς τῆς γνώσεως;

**Ἐ**ν τῇ ἐρήμῳ Σινᾶ
μάννα Θεὸς τῷ Ἰσραὴλ ἔβρεξε·
σὺ δέ, ψυχή, εἰ βούλει τοῦ μάννα
τυχεῖν τοῦ νοητοῦ
πρόσελθε τῇ τούτου
μητρὶ καὶ ἐκθρέψει σε.

**Ὑ**ψηγορίᾳ δεινῇ
ὥσπερ Δαθὰν καὶ Ἀβειρὼν κέχρημαι
κατὰ Θεοῦ οὐ κατὰ Μωσέως
καὶ πίπτω ὑπὸ γῆν·
σὺ δέ με, Θεομῆτορ,
ἀνάστησον δέομαι.

**Τ**ῆς ἀθλίας μου ψυχῆς
πράϋνον κύματα αἰσχρά, Δέσποινα,
καὶ τῆς σαρκὸς παῦσον τὰς ὀδύνας
ἡ μόνη τεκοῦσα
ἄνευθεν ὠδίνων
Θεὸν σωματούμενον.

Ὠδὴ στ'. Ἄβυσσος ἁμαρτημάτων.

**Ἔ**κχεον τῆς εὐσπλαγχνίας
τῆς σῆς τὸν ἔλεον, κόρη,
ἐπὶ τὴν ταπείνωσιν ἡμῶν
καὶ ἵλεως γενήθητι
τοῖς σοῖς δούλοις, Παρθένε.

**Ῥ**έουσιν εὐεργεσίας
τῆς σῆς ἀένναα ῥεῖθρα
καὶ τὰς ξηρανθείσας ἐκ παθῶν
ψυχὰς καταρδεύουσι
μεθ' ὧν, ἁγνή, ἄρδευσόν με.

**Ὅ**σιον οὐδὲν ἐν βίῳ
διεπραξάμην ὁ τάλας
μᾶλλον δὲ πληθὺν ἁμαρτιῶν·
ἀλλ' ἔκτεινον, Δέσποινα,
τὴν χεῖρά σου καὶ γεέννης με ῥῦσαι.



**Ν**ύμφη Θεοῦ πανυμνήτη
ἡ σκέπη μου καὶ ἡ δόξα
σύ μοι ἐν ἐξόδου τῷ καιρῷ
παράστηθι σώζουσα
καὶ ἄγουσα πρὸς μονὰς αἰωνίους.

## ΚΑΘΙΣΜΑ

### Ἦχος β'. Τὰ ἄνω ζητῶν.

**Μ**ετάνοιαν δὸς
γνησίαν μοι, πανάμωμε,
τῶν ἐκ βρεφικῆς
πταισμάτων ἡλικίας μου
καὶ πάντων συγχώρησιν
τελείαν τούτων παράσχου μοι
καὶ τῆς ἐνθέου πολιτείας, ἁγνή,
ἐπιλαβέσθαι προθύμως ἀξίωσον.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

**Τ**ραχεῖαν ὁδὸν
καὶ στενὴν τῆς ἀρετῆς, Θεοκυῆτορ,
αἱ τῶν ἁγίων ἐκδιδάσκουσι
βίβλοι καὶ πᾶς λόγος ἔνθεος
ἣν με διανύειν προθύμως
τῇ δυνάμει σου ἴσχυσον
τὰς ἐφ' ἑκάτερα τροπὰς
ἀεὶ ἐκκλίνοντα.

**Ἡ**σύχῳ τῷ νῷ
καὶ γαλήνῃ λογισμῶν τοῦ Παρακλήτου
ἡ θεία χάρις ἐπεισέρχεται
ἐν τῇ καρδίᾳ, Θεόνυμφε,
ἣν μοι καταπέμψαι δυσώπει
τὸν υἱόν σου καὶ Κύριον
τῷ τῆς καρδίας συντριμμῷ
καὶ ταπεινώσει ψυχῆς.

**Π**ολλῶν πειρασμῶν
φλογοφόρων καὶ πικρῶν λῦσον τὸ νέφος
τῶν συνεχόντων καὶ θλιβόντων με
καὶ ἀκρατῶς μαστιζόντων με,
μόνη προστασία τοῦ κόσμου,
καὶ συνέτισον ψάλλοντα
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

**Ἀ**γρίοις θηρσὶ
παρεδόθην τῶν παθῶν τοῖς ἐπιστάταις
ὡς ἐν ἐρήμῳ οἱ γογγύσαντες
καὶ ἀφανῶς ἐκκεντοῦσί με
ὥσπερ καὶ ἐκείνους οἱ ὄφεις
ἀλλά, κόρη Θεόνυμφε,
τῇ σῇ πρεσβείᾳ δυσωπῶ
δός μοι τὴν ἴασιν.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

**Ῥ**αδιουργίαις ὁ ἐχθρὸς
ἐνεδρεύων ἀφανῶς ἐξωθεῖ με
λογισμοῖς ἐπισύρων
εἰς ἡδονῆς τοὺς κρημνούς
ἀλλὰ σύ, Θεοτόκε, φρούρει με,
μόνη προστασία
τῶν καταπονουμένων.

**Θ**έλων ἐπαίρει τῷ ἐχθρῷ
προσβολαῖς τῶν λογισμῶν ἐπιθεμένῳ
ἀλλ' ἀνίσχυρον τούτου
τὴν μηχανήν, ἀγαθή,
δεῖξον καὶ μάτην φρυαττόμενον
περιποιουμένη
ἐμὲ τὸν σὸν οἰκέτην.

**Ἐ**νώπιόν σου ἐκχεῶ
ἐν κλαυθμῷ καὶ στεναγμῷ τὴν δέησίν [μου
τῆς ψυχῆς μου τὴν θλίψιν
ἀπαγγελῶ σοι, ἁγνή,
ἰδοὺ γὰρ σπιλάδι θλίψεων
καταδαπανῶμαι
μὴ βλέπων σε τὸ φῶς μου.

**Ν**ηστείαν ἄσκησον, ψυχή,
ἀγρυπνίαν καὶ κλαυθμὸν καὶ ψαλμῳδίαν
καὶ τὴν ἄϋλον στάσιν
ἐν ὁλονύκτοις εὐχαῖς
κἀντεῦθεν Θεός σοι ἱλάσεται
ταῖς τῆς Θεοτόκου
πρεσβείαις εὐπροσδέκτοις.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

**Ὡ**ς συμπαθὴς οὖσα, κόρη,
συμπαθέστατον Λόγον
ἐκύησας ἡμῖν μετὰ σαρκὸς
τοῦτον ἀεὶ ἐκδυσώπησον

τοῦ ῥυσθῆναι κινδύνων
καὶ θλίψεων καὶ ἄλλων πειρασμῶν
τοὺς ἁγνὴν Θεοτόκον
ἐν πίστει σε δοξάζοντας.

***Τοῦ*** Ἀαρὼν πρὶν ἡ ῥάβδος
καὶ ἡ στάμνος τοῦ μάννα
λυχνία καὶ ἡ χρυσῆ κιβωτὸς
σὲ προετύπουν, Θεόνυμφε,
ὧν ἡμεῖς τὰς ἐκβάσεις
ἀρτίως καθορῶντες τηλαυγῶς
Θεοτόκον κυρίως
ἐν πίστει σε δοξάζομεν.

***Κρή***νην προχέουσαν νᾶμα
τοῖς πιστοῖς σωτηρίας,
πηγάζουσαν, καλοῦμέν σε, ἁγνή,
οἱ γὰρ τακέντες τῷ καύσωνι
τῶν ἀπείρων πταισμάτων
εὑρίσκομεν πολλὴν ἀνάψυξιν
τοῦ υἱοῦ σου τὸ αἷμα
δι' οὗ ἡμᾶς ἀνέπλασεν.

***Τῆς*** γηραιᾶς μὲν ῥίζης
τοῦ Ἀδὰμ ἀνεφύης
ὡς κλάδος, Θεομῆτορ Μαριάμ,
ἄνθος δὲ μόνη τὸν Κύριον
ἐξανέτειλας ἄνευ
χειρὸς καὶ γεωργίας γηγενοῦς·
διὰ τοῦτό σε πάντες
ἐν ὕμνοις μεγαλύνομεν.

## 58

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ 1)

οὗ ἡ ἀκροστιχὶς ἐν τοῖς ὑστέροις Θεοτοκίοις « ***Γεωργίου.*** »

ΠΟΙΗΜΑ ΓΕΩΡΓΙΟΥ ΝΙΚΟΜΗΔΕΙΑΣ

***Ἦχος β'. Ὠδὴ α'. Δεῦτε λαοί.***

***Δό***ξα τῇ σῇ
κυοφορίᾳ, πανάμωμε,
τοῖς ἐξ Ἀδὰμ γὰρ λύτρωσιν
εὐηγγελίσατο
καὶ νεκροῖς αἰωνίοις
τὴν τῆς ἀθανασίας
ὁδὸν ἐκαίνισεν.

***Σὺ*** τὸ χρυσοῦν
θυμιατήριον, Δέσποινα,
ἐν ᾧ περ τὸ χειρόγραφον
τὸ τοῦ προπάτορος
κατεκαύθη τῷ θείῳ
πυρὶ προσομιλῆσαν
τοῦ ἐν σοὶ ἄνθρακος.

***Χαῖ***ρε χρυσῆ
στάμνε τοῦ μάννα διάδοχε·
χαῖρε πηγὴ ἀκένωτε
τοῦ ζῶντος ὕδατος,
Θεοτόκε Παρθένε,
ζωοῦσα καὶ δροσίζουσα
τοὺς ὑμνοῦντάς σε.

***Γνῶ***σιν Θεοῦ
ἅπαντες κατεπλουτίσθημεν
οἱ ἐπιγνόντες, Δέσποινα,
σὲ Θεομήτορα
καὶ κυρίαν ἁπάντων
τοῖς πράγμασι τοὺς λόγους
ἐπισφραγίζοντες.

1) Εὕρηται καὶ ἐν τῷ Θεοτοκαρίῳ Νικοδήμου σ. 27 (ἐκδ. Ἀθηνῶν 1906).



Ὠδὴ γ'. Ἐν πέτρᾳ με τῆς πίστεως.

***Τ***ὴν μόνην παρθενεύουσαν μετὰ τόκον
Μαρίαν τῶν ἁγίων ἁγιωτέραν
τὴν ὄντως ἀπειρόγαμον Θεοτόκον
δεῦτε ὑμνήσωμεν πιστοὶ κραυγάζοντες·
χαῖρε κόσμου Δέσποινα Θεοχαρίτωτε.

***Σ***ὲ βάτος ἀκατάφλεκτος προετύπου
τὴν ἔμψυχον καὶ ἔμπνουν καὶ ζῶσαν [βάτον·
τὸ πῦρ γὰρ τῆς θεότητος συλλαβοῦσα
ἀφλέκτως ἔμεινας, Θεογεννήτρια,
διὸ τοῦ ἀσβέστου με πυρὸς ἐξάρπασον.

***Δ***αυὶδ ὁ σὸς προπάτωρ καὶ θεοπάτωρ
καλεῖ σε θυγατέρα καὶ βασίλιδα,
ἡμεῖς δέ σε Παρθένον καὶ Θεοτόκον
τὸ ξένον ἄκουσμα τῆς οἰκουμένης, ἁγνή,
καὶ τὸ μέγα καύχημα τῶν τιμώντων σε.

***Ε***ὑρών σε τῶν ἀγγέλων καθαρωτέραν
ἐπῆλθε τὴν γαστέρα σου τὴν ἁγίαν
ὁ φῶς οἰκῶν ἀπρόσιτον, Θεοτόκε,
καὶ ὤφθη ἄνθρωπος ἐκ σοῦ σαρκούμενος
ἐν δυσὶ ταῖς φύσεσι γνωριζόμενος.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε τὴν ἀκοήν.

***Ὑ***μνολογοῦντες, ἄχραντε,
τὸν ἐν γαστρὶ τῇ σῇ σωματωθέντα
σὲ δοξολογοῦμεν ὡς Θεομήτορα.

***Λ***ελυτρωμένοι, πάναγνε,
τῶν ζοφερῶν τοῦ ᾅδου κευθμώνων
τῷ θείῳ σου τόκῳ σὲ μακαρίζομεν.

***Ῥ***ῦσαι πάσης κακώσεως
τοῦ δυσμενοῦς, Παρθένε, τοὺς εἰδότας
ἀληθῶς Θεοῦ σε μητέρα πάναγνον.

***Ὡ***ς λιμένα σε ἔχοντες
καὶ ἀσφαλῆ τοῦ κόσμου σωτηρίαν,
Θεοτόκε, ἅπαντες σοὶ προστρέχομεν.

Ὠδὴ ε'. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

***Τ***ὴν ὀφειλὴν
τῆς προμήτορος Εὔας
σύ, Θεομῆτορ,
ἀπέτισας σάρκα ἠμφιεσμένον
ἐκ σοῦ τεκοῦσα
τὸν σωτῆρα τοῦ κόσμου·
ὅθεν πάντες σε μακαρίζομεν,
κεχαριτωμένη
Μαρία πανάμωμε.

***Ὑ***πὲρ ἡμῶν
τὸν ἐκ σοῦ σαρκωθέντα,
Παρθενομῆτορ,
πάντοτε δυσώπει τῶν σὲ ὑμνούντων
τοῦ λυτρωθῆναι
ἐκ παθῶν καὶ κινδύνων
ψυχοφθόρων κακῶν καὶ θλίψεων
καὶ αἰωνιζούσης
φλογὸς καὶ κολάσεως.

***Α***ἴγλῃ τῇ σῇ,
Θεομῆτορ, τὸν νοῦν μου
καταυγασθῆναι
τὸν ἐσκοτισμένον τῇ ἁμαρτίᾳ
νεῦσον, Παρθένε,
τῆς ἀγνοίας τὸν ζόφον
καὶ πταισμάτων ἐξαφανίζουσα·
ἄλλην γὰρ ἐκτός σου
φρουρὸν οὐκ ἐπίσταμαι.

***Ῥ***άβδῳ τῆς σῆς
ἀντιλήψεως ῥῆξαι
τὴν πώρωσίν μου
δάκρυα πηγάζειν ἀξίωσόν με
τὴν φοινικῆν δὲ
τῶν παθῶν μου πλημμύραν
ὥσπερ ἄλλην τεμοῦσα Ἐρυθρὰν
πρὸς γῆν ἀπαθείας
τὸν νοῦν μου ὁδήγησον.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

***Σ***ωματοῦται ὁ Λόγος ἐν μήτρᾳ σου
καὶ δι' εὐσπλαγχνίαν γνωρίζεται ἄνθρω- [πος
ἵνα Θεὸν τὸν ἄνθρωπον
ἀπεργάσηται, κόρη πανάμωμε.

***Δι'*** ἐμὲ κατ' ἐμὲ ἐχρημάτισε
βρέφος ὁ παντέλειος ἀνακαινίζων με
παλαιωθέντα πάθεσι
διὰ σοῦ, παναγία Θεόνυμφε.

**Κ**αλυφθεῖσαν δεινῶς τὴν καρδίαν μου
τοῖς τῶν ἀπορρήτων πταισμάτων μου [κύμασι
τῇ πανσθενεῖ πρεσβείᾳ σου,
παναγία Παρθένε, διάσωσον.

**Γ**ηγενεῖς τὸν σὸν τόκον γεραίρουσι
καὶ δοξολογοῦσιν ἀγγέλων τὰ τάγματα
καὶ σὲ Θεογεννήτριαν
ἀειπάρθενον, κόρη, δοξάζουσιν.

## ΚΑΘΙΣΜΑ

***Ἦχος β΄. Τὰ ἄνω ζητῶν.***

**Ἐ**κ πόθου ψυχῆς
προστρέχω νῦν τῇ σκέπῃ σου
αἰτούμενος, ἁγνή,
τὴν λύσιν τῶν πταισμάτων μου
μὴ ἀπώσῃ, ἄχραντε,
ἀλλ' εὐσπλάγχνως
πρόσδεξαί με κράζοντα·
ἡ Θεὸν σαρκωθέντα κυήσασα
νοσοῦσαν τὴν ψυχήν μου θεράπευσον.

Ὠδὴ ϛ΄. Εἰκόνος χρυσῆς.

**Θ**εοῦ καθαρὸν
οἰκητήριον καὶ ἄσπιλον, Παρθένε,
ναόν με ποίησον τοῦ Πνεύματος
τοῦ παναγίου γενόμενον
σπήλαιον λῃστῶν ἀκαθάρτων
ἵνα πόθῳ κραυγάζω σοι
εὐλογημένος ὁ καρπὸς
τῆς σῆς κοιλίας, ἁγνή.

**Ὑ**λώδη εὑρὼν
τὴν καρδίαν ὁ ἐχθρὸς ἐνέπρησέ με·
ἀλλά με σθένος θεῖον ἔνδυσον
καὶ ἐκνικῆσαι ἀξίωσον
τοῦτον, ἀειπάρθενε κόρη,
ἵνα πίστει κραυγάζω σοι
εὐλογημένη ἡ Θεὸν
σαρκὶ κυήσασα.

**Ὁ** πάλαι τοὺς τρεῖς
νεανίας ἐκ καμίνου καιομένης,
Χριστέ μου Λόγε, λυτρωσάμενος
αὐτὸς κἀμὲ ταῖς δεήσεσι
τῆς ἀπειρογάμου μητρός σου
τῆς φλογὸς ἧς ἐξέκαυσα
τῶν ἀμετρήτων μου κακῶν
ῥῦσαι καὶ σῶσόν με.

**Ἰ**δού σε, ἁγνή,
πᾶσα φύσις γηγενῶν δοξολογοῦσιν
ὑπερθαυμάζοντες τὸ μυστήριον
τῆς σῆς κυήσεως, ἄχραντε,
καὶ χαρμονικῶς ἐκβοῶντες
τῷ ἐκ σοῦ ἀνατείλαντι
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

**Τ**ὴν παναγίαν κιβωτὸν
τὴν ἐπίτιμον σκηνὴν τὴν θείαν στάμνον
τὴν λυχνίαν τὴν πλάκα
τὸν φωτοφόρον ναὸν
τὸν θρόνον τοῦ Θεοῦ τὸν ἔνδοξον
τὴν ἁγνὴν Παρθένον
ὑμνήσωμεν συμφώνως.

**Ἰ**δοὺ γεγένηται ἐκ σοῦ
Ἠσαΐας ἐμφανῶς, ἁγνή, ἐβόα
ὁ υἱὸς τοῦ ὑψίστου
καὶ σὸς ὁρᾶται υἱός,
Παρθένε, υἱοὺς ἐργαζόμενος
τοῦ ἐπουρανίου
πατρὸς τοὺς σὲ ὑμνοῦντας.

**Μ**ὴ διαλίπῃς ἐκτενῶς
τὸν υἱόν σου καὶ Θεὸν καθικετεύειν
ὑπὲρ τῶν προσκυνούντων
καὶ ἀνυμνούντων πιστῶς
τὴν χάριν τὴν σήν, Θεονύμφευτε,
μόνη παναγία
ὑπερευλογημένη.

**Ὅ**λος ἐσκότισμαι τὸν νοῦν
ὅλος δαίμοσιν αἰσχροῖς κατεδουλώθην
ἀλλὰ σοῦ καταφεύγω
τῇ σκέπῃ τῇ κραταιᾷ,
Παρθένε, καὶ βοῶ σοι σῶσόν με
τῇ σῇ μεσιτείᾳ
ἡ κεχαριτωμένη.



Ὠδὴ θ΄. Ἀπορεῖ πᾶσα γλῶσσα.

**Σ**ὲ εὐλογοῦσιν αἱ ἄνω
τάξεις τῶν ἀσωμάτων
καὶ ἀνυμνοῦσιν ἅπαντα, πανύμνητε,
ἀνθρώπων πλήθη κάτω
γῆ καὶ οὐρανὸς καὶ θάλασσα
κοινῇ χορείᾳ
παναρμονίῳ μέλει
παγκόσμιον ᾠδὴν
χαῖρέ σοι χαρμοσύνως
βοῶντα, Θεογεννήτρια.

**Χ**αῖρε ἔμψυχε βάτε
καὶ πανάγιον ὄρος·
χαῖρε πάγχρυσε στάμνε καὶ θεία τράπεζα,
ποντίνουσα Μαρία·
χαῖρε μυστικὴ νεφέλη
καὶ πύρινε στύλε·
χαῖρε γέφυρα κόσμου
καὶ κλίμαξ οὐρανοῦ·
χαῖρε καταφυγὴ καὶ προστασία
τῶν μελῳδούντων σε.

**Π**ᾶσαν ὑπερεκπλήττει
ἀκοὴν καὶ νοῦν ὅλως
τὸ ὑπὲρ φύσιν, ἄχραντε, μυστήριον
τοῦ τόκου σου· πῶς μήτηρ
ἅμα καὶ παρθένος γέγονας
καὶ μετὰ τόκον
πάλιν παρθένος μένεις
ἀπείρανδρος ἁγνή·
ὅθεν σε Θεοτόκον
κυρίως πάντες δοξάζομεν.

**Ὕ**μνον ἔνθεον, κόρη,
τὸν παρόντα προσδέχου
ἀντιδοῦσα χάριν τοῖς εἰς σὲ
πεποιθόσι καὶ εἰρήνην
αἴτησαι ταῖς ἐκκλησίαις
ἀεὶ παρασχεθῆναι
τοῖς βασιλεῦσι νίκας
καὶ τρόπαια πιστοῖς
ἵνα χριστιανῶν πᾶσα γλῶσσα
σὲ μεγαλύνωμεν.

## 59

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1]

οὗ ἡ ἀκροστιχὶς κατ' ἀβ
ἐν δὲ τοῖς ὑστέροις Θεοτοκίοις «***Ἀθανασίου.***»

ΠΟΙΗΜΑ ΑΘΑΝΑΣΙΟΥ, ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΟΥ ΝΕΟΥ

***Ἦχος β΄. Ὠδὴ α΄. Ἐν βυθῷ κατέστρωσε.***

**Ἀ**μβροσίας κόσμῳ τὴν τρυφὴν
χαῖρε ἡ πηγάσασα,
Θεογεννήτρια, χαῖρε παράδεισε
τῆς ζωῆς βλαστήσασα
ξύλον, Δέσποινα, ὃ καὶ βλέψαι ἀξίωσον
καὶ κατατρυφῆσαι
πάντας τοὺς πιστῶς ὑμνολογοῦντάς σε.

**Β**ασιλείαν τὴν τῶν οὐρανῶν
ἡ πιστοῖς παρέξασα,
Θεογεννήτρια, χαῖρε τῷ τόκῳ σου
τῷ ἀρρήτῳ, πάναγνε,
χαρμονῆς ἡμᾶς αἰωνίου ἀξίωσον
χαῖρε τοῦ βοᾶν σοι
κεχαριτωμένη μεσιτείαις σου.

**Γ**ηθοσύνως χαῖρέ σοι, σεμνή,
βάτε ἀκατάφλεκτε
Θεογεννήτρια, πόθῳ τοῖς κράζουσι
βοηθὸς γενήθητι

1) Εὕρηται καὶ ἐν τῷ Θεοτοκαρίῳ Νικοδήμου σ. 31 (ἐκδ. Ἀθηνῶν 1906).

μεσιτείαις σου καὶ ἡμᾶς ἐλευθέρωσον
πονηρευομένων
ἀπὸ συστροφῆς ἡ παντευλόγητος.

Ἀναξίων πρόσχες οἰκετῶν
ταῖς οἰκτραῖς δεήσεσι
διηνεκῶς ἐκβοώντων σοι, πάναγνε·
χαῖρε θεία τράπεζα
ἄρτον φέρουσα τῆς ζωῆς, Θεονύμφευτε,
οὗ ἐπαπολαῦσαι
πάρεξον ἡμῖν ταῖς ἱκεσίαις σου.

Ὠδὴ γ'. Ἐν πέτρᾳ με τῆς πίστεως.

Δοχεῖον χαῖρε μύρου τοῦ οὐρανίου·
ὁ πόκος ὁ θεόδροσος χαῖρε κόρη·
κραταίωσον τοὺς δούλους σου χαῖρε ψάλλειν
ἡ φῶς ἀπρόσιτον, Θεογεννήτρια,
τοῖς ἐν σκότει λάμψασα τῷ θείῳ τόκῳ σου.

Ἐκλύτρωσαι τῶν διψώντων αἰσχύνης ἀλῆσαι
ψυχήν μου ἵνα χαῖρε ἀπηλπισμένων
ἐλπὶς ἀναβοῶ σοι· χαῖρε λυχνία
καὶ ὄρος ἅγιον, Θεοχαρίτωτε·
χαῖρε τὸ διάσωσμα τῶν τιμώντων σε.

Ζωὴν ἡ τὴν ἀνώλεθρον χαῖρε κόσμῳ
ἐκβλύσασα τῷ τόκῳ σου· χαῖρε αὔλην
διάρασα ἀνθρώποις τὴν οὐρανίαν·
βοῶντας χαῖρέ σοι, Θεογεννήτρια,
αἰωνίου ἔμπλησον χαρμονῆς ἡμᾶς.

Θεόδμητον παλάτιον χαῖρε κόρη
ἀγλάϊσμα τοῦ κόσμου καὶ προστασία·
Κυρία χαῖρε κόσμου καὶ θεία σκέπη
τὸ χαῖρε ὅπως σε ἀπαύστως μέλπωμεν
ἀναγκῶν καὶ θλίψεων ἐξελοῦ ἡμᾶς.

Ὠδὴ δ'. Ἐλήλυθας ἐκ Παρθένου.

Ἡ ἔμψυχος κιβωτὸς χαῖρε πλάκας τῆς χάριτος
θεοτεύκτους φέρουσα
Θεοχαρίτωτε, χαῖρέ σοι
πόθῳ τοὺς κραυγάζοντας
παντοίων ρυσθῆναι καθικέτευε.

Θεόκοσμον καὶ θεόστεπτον χαῖρε ἀνάκτορον
πειρασμῶν καὶ θλίψεων
καὶ νοσημάτων ἐκλύτρωσαι
χαῖρε τοὺς βοῶντάς σοι
τετυρωμένον καὶ πῖον ὄρος, πάναγνε.

Ἰάσεων χαῖρε κόσμῳ πηγὴν ἐκβλύσασα·
χαῖρε λύπην λύσασα
τῶν προπατόρων τῷ τόκῳ σου·
ἀλλ' ὡς προστασία μου
μανίας ρῦσαι καὶ βλάβης ἐχθραινόντων μοι.

Ἀκράδαντον χαῖρε τεῖχος πιστῶν· ῥῆξον
τοῦ ἐλέους τέξασα,
Θεογεννήτρια, ἔπιδε,
πάντας δεομένους σου
καὶ τρικυμίας τοῦ βίου ἀπολύτρωσαι.

Ὠδὴ ε'. Ὁ φωτισμός.

Κατὰ παθῶν
ἐξανάστησον, κόρη,
τῶν ὀλεθρίων
πόθῳ τοὺς τὸ χαῖρέ σοι ἐκβοῶντας·
αὐγὴ ἡμέρας
μυστικῆς χαῖρε ὄρος,
Θεογεννῆτορ, ἀλατόμητον
χαῖρε τῶν δακρύων
τῆς Εὔας ἡ λύτρωσις.

Λύσις ἀρᾶς,
παντευλόγητε, χαῖρε
ἁμαρτανόντων
χαῖρε ἱλαστήριον· χαῖρε βάθος
τοῦ θείου ὕψους
δυσανάβατον· χαῖρε
ἀσθενούντων, Θεοχαρίτωτε,
ἴασις· ἡμᾶς
νοσημάτων ἀπάλλαξον.

Μετὰ Θεὸν
τοῖς βοῶσί σοι χαῖρε
ἡ ἐλπὶς καὶ σκέπη·
χαῖρε ἐνδιαίτημα θείας δόξης·
παραμυθία
τῶν ἐν θλίψεσι χαῖρε·



πάσης βλάβης, ἁγνή, καὶ θλίψεως
λύτρωσαι ἡμᾶς
τοὺς εἰς σὲ καταφεύγοντας.

Νέκταρ πιστοὺς
ἡ ποτίσασα χαῖρε
παλινζωΐας·
χαῖρε τοῦ ἀδύτου φωτὸς νεφέλη·
λυχνία χαῖρε
φωτισμὸν τοῖς ἐν σκότει
παρασχοῦσα, Θεογεννήτρια,
σκότους ἐξωτέρου
ἡμᾶς ἀπολύτρωσαι.

Ὠδὴ ς'. Ἦχου ῥημάτων.

Νεῦσον αἰτήσει τῶν χαῖρέ σοι
ἐπιβοώντων χάρισμα, δι' ἧς
περαιοῦται,
κόρη πανσεβάσμιε,
τῶν σωζομένων πληθὺς
θείαν πρὸς ἐπίγνωσιν.

Ξύλον ζωῆς χαῖρε Δέσποινα
ἐξανθήσασα νοητὸν ἐξ οὗ
φαγόντες
ὄντως οὐ θνήσκομεν
καὶ ἀρᾶς προπατορικῆς,
ἄχραντε, ἐρρύσθημεν.

Ὄρεξον χεῖρα τοῖς χαῖρέ σοι
ἐπιβοῶσι, πάναγνε, ἀεὶ
καὶ παντοίας
βλάβης καὶ κακώσεως
ρῦσαι, Παρθένε, ἡμᾶς
καὶ φρικτῆς κολάσεως.

Ἄδοντας χαῖρε τῷ κράτει σου
ἀπὸ παντοίας ρῦσαι συμφορᾶς
καὶ εἰρήνης,
κόρη πολυΰμνητε,
τὸν τῆς εἰρήνης Θεὸν
ὡς τεκοῦσα ἔμπλησον.

## ΚΑΘΙΣΜΑ

***Ἦχος β'. Εὐσπλαγχνίας.***

Τίς εἶδε τίς ἤκουσε μητέρα
τίκτουσαν τὸν ἑαυτῆς δημιουργὸν
τὸν διδόντα τροφὴν πάσῃ σαρκί;
ὢ τοῦ θαύματος!
θρόνος χερουβικὸς
ἐδείχθη ἡ γαστήρ σου, Θεοτόκε,
κεχαριτωμένη πρέσβευε
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

Πυρὶ πειρασμῶν
φλεγομένους ἡ πηγὴ τῶν τεραστίων
σῇ μεσιτείᾳ καταδρόσισον,
Θεοχαρίτωτε, ᾄδοντας·
χαῖρε ἡ ὀμβρήσασα κόσμῳ
σωτηρίας τὰ νάματα·
χαῖρε παράδεισε τρυφῆς·
χαῖρε πιστῶν προσφυγή.

Ρημάτων, σεμνή,
τῶν τὸ χαῖρέ σοι ψυχῆς ἐν εὐφροσύνῃ
ψαλλόντων, κόρη παναμώμητε
Θεογεννήτρια, ἄσκεπον
πάσης προσβολῆς ἐναντίας
ρυομένη τῷ κράτει σου
καὶ ἐξ ἐχθρῶν νοητῶν
καὶ αἰσθητῶν εἰσαεί.

Σκηνὴ τοῦ Θεοῦ
χαῖρε δόξαν ἡ βροτοῖς διηγουμένη·
. . . . . . . . . . . . . .
λυχνία χαῖρε· τῆς χάριτος
πλάκας ἡ κατέχουσα, κόρη,
τῆς ζωῆς χαῖρε τράπεζα
ἄρτον οὐράνιον ἡμῖν
παρεχομένη ἀεί.

Σκοτίας κρημνοῦ
τῶν αἱρέσεων ἡμᾶς, Παρθένε, ρῦσαι
βοῶντας χαῖρε στῦλε πύρινε,
Θεογεννήτρια, λήξεως
δεῖξον δὲ ἀεὶ κληρονόμους
οὐρανίου τοῦ ψάλλειν σοι·
εὐλογημένη ἡ Θεὸν
σαρκὶ κυήσασα.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Τρανῶσον γλώσσας τὰς ἡμῶν
χαῖρε πάναγνε βοᾶν ἐλπὶς τοῦ κόσμου
τὸ ἀπόρθητον τεῖχος

τοὺς σοὺς οἰκέτας, ἁγνή,
ποικίλων συμφορῶν καὶ θλίψεων
ἐξελοῦ καὶ τρίβους
ὑπόδειξον ἐνθέους.

*Ὕ*ψιστον χαῖρε τοῖς βροτοῖς
σωματώσασα Θεὸν ἀφράστῳ τρόπῳ·
τῶν πιστῶν χαῖρε σκέπη
τοὺς σὲ ὑμνοῦντας ἀεί,
Παρθένε, κληρονόμους ἔργασαι
τῆς ἐπουρανίου
τρυφῆς καὶ βασιλείας.

*Φ*ρύαγμα σβέσον καθ' ἡμῶν
ἐπεμβαίνειν ἀφειδῶς ὁπλιζομένων
ἵνα χαῖρε βοῶμεν
σοί, Θεομῆτορ, ἀεί
τῇ μόνῃ ὑπερτέρᾳ κτίσεως
πάσης ἀοράτου
καὶ ὁρωμένης, κόρη.

*Ἵ*να φωναῖς περιχαρῶς
ἀναγγέλλωμεν τὰ σά, πηγὴ ἐλέους,
μεγαλεῖα ἐκ νόσου,
Παρθενομῆτορ, τῇ σῇ
πρεσβείᾳ ἐξελοῦ τὸ χαῖρέ σοι
ἐπιβοωμένους,
ὑπερευλογημένη.

Ὠδὴ θ'. Ἀνάρχου γεννήτορος.

*Χ*ριστοῦ χαῖρε ἔμψυχος
ἡ βίβλος τοὺς ἐκ πόθου σοι
ἐκβοῶντας τὸ χαῖρε,
Θεοχαρίτωτε,
χαῖρε τὸ κατάπαυον ὄρος
ὡς ἐπὶ σοὶ θεμένους ἐλπίδα
ἡμᾶς, παντευλόγητε,
δυσχερείας πάσης λύτρωσαι.

*Ψ*υχῆς φωτισμὸν ἡμῖν
καὶ τῶν σωμάτων ἴασιν
τοῖς τὸ χαῖρε βοῶσι
σοί, πανυμνήτε,
πάρεξον τεχθεῖσα λόγον,
ἡ θεαυγὴς καὶ αἰτίαν λιταῖς σου
ἐν ὥρᾳ τῆς κρίσεως
δεξιὰν ἡμῖν ἐξαίτησον.

*Ὠ*θεῖς κατενήνεγμαι
πρὸς ᾅδην ὁ ταλαίπωρος·
ἀλλὰ χεῖρα πρὸ τέλους,
Θεογεννήτρια,
δίδου μοι βοῶντί σοι χαῖρε
ἡ φωτεινὴ νεφέλη καὶ πάσης
μανίας ἐξάρπασον
τῶν μισούντων με, Θεόνυμφε.

*Ο*ὐδεὶς ἐν σοὶ πέποιθε
καὶ κατῃσχύνθη πώποτε,
ἀειπάρθενε κόρη
Θεοχαρίτωτε,
ὅθεν τοὺς προσφεύγοντας πίστει
τῷ σῷ ναῷ καὶ πόθῳ βοῶντας
ἀγγέλοις τὸ χαῖρέ σοι
μὴ ἐλλίπῃς περιέπουσα.

---



# 60

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1]

οὗ ἡ ἀκροστιχίς

« *Τοὺς προστρέχοντας εἰς σὲ σῶζε, Παρθένε.* »

Κῶδ. 354 φ. 51
Ἐθν. Βιβλ. Παρισίων

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

*Ἦχος β'. Ὠδὴ α'. Δεῦτε λαοί.*

*Τ*ὸν εὐσεβῶς
σὲ Θεοτόκον κυρίως ἁγνὴν
ὁμολογοῦντα, ἄχραντε,
ψυχῆς καὶ σώματος
χαλεπῶν ἐκ κινδύνων
καὶ νόσων καὶ πταισμάτων
σύ με διάσωσον.

*Ὅ*λην ἐν σοὶ
τῶν χαρισμάτων τὴν ἄβυσσον
ἀποκειμένην ἔγνωμεν·
διὸ προσφεύγοντες,
Θεοτόκε, προθύμως
τῇ σκέπῃ σου τῇ θείᾳ
διασωζόμεθα.

*Ὑ*πὲρ ἡμῶν
τῶν σὲ ὑμνούντων δυσώπησον
τὸν σαρκωθέντα, πάναγνε,
ἐκ τῶν ἀχράντων σου
καὶ τιμίων αἱμάτων
ῥυσθῆναι ἐκ πταισμάτων
καὶ νοσημάτων πικρῶν.

*Σ*ὲ οἱ πιστοὶ
καύχημα πάντες κεκτήμεθα
καταφυγήν καὶ στήριγμα
καὶ ἀγαλλίαμα
καὶ ψυχῶν σωτηρίαν
ἐλπίδα τε καὶ τεῖχος,
Θεοχαρίτωτε.

Ὠδὴ γ'. Στερέωσον ἡμᾶς.

*Π*ρεσβείαις σου, ἁγνή, Θεὸν ὃν ἔτεκες
παράσχου εὐΐλατον τοῖς ἱκέταις
τοῖς προστρέχουσι τῇ σκέπῃ σου
καὶ πιστῶς προσκυνοῦσί σου τὴν κύησιν.

*Ρ*ημάτων τῆς ἐμῆς ψυχῆς ἐπάκουσον,
Παρθένε, δεινῶς ἐκταραττομένης
ἣν εἰρήνευσον, πανύμνητε,
ἀεὶ ταύτην κινδύνων διασώζουσα.

*Ὅ*λην μου τὴν ζωὴν διακυβέρνησον,
Παρθένε, ἐλπίς μου καὶ προστασία
πειρασμῶν καὶ περιστάσεων
λυτρουμένη δεινῶν με, ἀειπάρθενε.

*Σ*οφίαν τοῦ Θεοῦ τὴν ἐνυπόστατον
ἀγκάλαις ὡς φέρουσα, Θεοτόκε,
ἐξ ἀγνοίας καὶ πλανήσεως
λυτρωθῆναι τοὺς ὑμνοῦντάς σε ἱκέτευε.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε τὴν ἀκοήν.

*Τ*ῶν τραυμάτων μου, Δέσποινα,
τῶν τῆς ψυχῆς σαρκός τε νοσημάτων
ἡ Θεὸν τεκοῦσα λύσιν παράσχου μοι.

*Ρ*ιπιζόμενον πάθεσι
καὶ λογισμοῖς καὶ βίου τρικυμίαις
ἐλπίδι, Παρθένε, καὶ πίστει βεβαίω-
[σον.

1) Εὕρηται καὶ ἐν τῷ Μηναίῳ τοῦ Ἰανουαρίου τὴν λ' τοῦ μηνὸς (κατὰ τὴν ἑορτὴν τῶν Τριῶν Ἱεραρχῶν) καὶ ἐν τῇ Παρακλητικῇ τῇ Παρασκευῇ πρωΐ τοῦ β' ἤχου.

*Ἐ*κ περιστάσεως ῥῦσαί με,
μῆτερ Θεοῦ, καὶ ζάλης καὶ κινδύνων
ταῖς σαῖς ἱκεσίαις, μόνη πανύμνητε.

*Χ*ειμαζόμενον κλύδωνι
βιωτικῶν ἐξάρπασον, Παρθένε,
πρὸς τὸν σὸν λιμένα καθοδηγοῦσά με.

Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

*Ὅ*πλον ἀήττητον
κατὰ ποικίλων πειρασμῶν ἔχοντες
τῶν δυσμενῶν πάσης ἐπηρείας
λυτρούμεθα ἀεὶ
οἱ σὲ Θεοτόκον,
ἁγνή, ἐπιστάμενοι.

*Ν*όμου τὸ πλήρωμα
ἡ ἀνωτέρα χερουβὶμ τέτοκας
τὸν τοῦ Θεοῦ ἐκ σοῦ σαρκωθέντα
υἱὸν μονογενῆ
ὃν ὑπὲρ τῶν δούλων
τῶν σῶν ἐξιλέωσαι.

*Τ*ὸν τοῦ παντὸς ποιητὴν
ἐν ταῖς ἀγκάλαις σου, ἁγνή, φέρουσα
τοῦτον ἡμῖν ταῖς σαῖς ἱκεσίαις
εὐίλατον δίδου
τοῖς νῦν ἐκ καρδίας
πρὸς σὲ καταφεύγουσιν.

*Ἀ*πὸ στενώσεως
τῆς κατωδύνου μου ψυχῆς δέησιν
τῶν οἰκτιρμῶν μόνῃ τῇ τεκούσῃ
τὸν αἴτιον Λόγον
προσφέρω ὁ τάλας·
οἰκτείρασα σῶσόν με.

Ὠδὴ στ'. Ἐν ἀβύσσῳ πταισμάτων.

*Σ*ωτηρίας λιμένα γινώσκων σε
πλέων πολυφρόντιδος βίου τὸ πέλαγος
ἐπικαλοῦμαι, Δέσποινα,
κυβερνῆτιν ψυχῆς μου γενέσθαι σε.

*Ἐ*νεδύθην στολὴν κακουχούμενος,
μῆτερ ἀειπάρθενε, τῆς ἀφροσύνης μου·
ἀλλ' ἡ Θεὸν κυήσασα
τῆς χαρᾶς τὸν χιτῶνα ἀντίδος μοι.

*Ἱ*ερᾶς πολιτείας ἐκπέπτωκα
ῥαθυμῶν ὁ δείλαιος· ἀλλ' ἐπανάγαγε,
εὐλογημένη πάναγνε,
προσευχαῖς τοῦ υἱοῦ σου ῥυθμίζουσα.

*Σ*υμπαθείας με θείας ἀξίωσον
ἡ τὸν συμπαθέστατον Λόγον κυήσασα
τὸν τῷ ἰδίῳ αἵματι
ἐκ φθορᾶς τοὺς ἀνθρώπους ῥυσάμενον.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

*Σ*ταυρῷ προσπαγεὶς
ὁ ἐκ σοῦ σαρκωθείς, Θεογεννήτρια,
Ἀδὰμ διέρρηξε τὸ χειρόγραφον
ὃν νῦν δυσώπει, πανάμωμε,
ἅπαντας κινδύνων ῥυσθῆναι
τοὺς ἐν πίστει κραυγάζοντας
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

*Ἐ*λπὶς ἀγαθὴ
προσδοκία τε πιστῶν ὑπάρχεις, Δέσποινα,
καὶ δεόμεθα δωρήσασθαι
σῆς συμπαθείας τὸ πέλαγος
πᾶσι τοῖς εἰς σὲ πεποιθόσι
καὶ τῷ υἱῷ σου κραυγάζουσιν
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

*Σ*κοτίᾳ δεινῇ
τῇ τοῦ βίου συσχεθεὶς τὸν συλλυπούμενον
καὶ συναλγοῦντα οὐ κατέλαβον
τῇ σῇ, Παρθένε, λαμπρότητι
λῦσον τὴν ἀχλὺν τῶν πταισμάτων
καὶ καταύγασον ψάλλοντα
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

*Ὡ*ραίαν στολὴν
σωτηρίων ἐντολῶν διὰ βαπτίσματος
ἀμφιασάμενος ἀπημαύρωσα
δι' ἀμελείας ὁ δείλαιος·
νῦν δέ σοι προστρέχω, Παρθένε,
τὸν χιτῶνα αἰτούμενος
τῆς σωφροσύνης διὰ σοῦ
πάλιν ἐνδύσασθαι.

*Ζ*ωῆς ἐκπεσὼν
ἀκηράτου μὲν τὸ πρὶν ὁ Ἀδὰμ σέσωσται



διὰ τοῦ τόκου σου· νῦν δέ, πάναγνε,
τὸν ἀφροσύνῃ κρατούμενον
ῥῦσαι ἐπιρρώσασα, κόρη,
καὶ ἀξίωσον ψάλλειν σοι·
εὐλογημένη ἡ Θεὸν
σαρκὶ κυήσασα.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

*Ἐ*ξασθενεῖ μου νῦν ὁ νοῦς
εἰς τὰ βάθη ἐμπεσὼν τῆς ἀτυχίας
ὡς ἐντεῦθεν ποικίλοις
περιπαρῆναι κακοῖς·
ἀλλὰ σύ με, Παρθένε, θεράπευσον
τῷ τῆς ἀπαθείας
φωτὶ περιβαλοῦσα.

*Π*ύργον ἰσχύος ἀσφαλῆ
καὶ κρηπῖδα καὶ φρουρὰν καὶ προστα-
[σίαν
κεκτημένοι σε πίστει
διασωζόμεθα νῦν
ὑμνοῦντες τὸν τόκον σου, πάναγνε,
καὶ ὑπερυψοῦντες
εἰς πάντας τοὺς αἰῶνας.

*Ἀ*θανασίας διαυγῆ
ἐπιστάμεθα πηγήν σε, Θεοτόκε,
ὡς τεκοῦσαν τὸν Λόγον
τοῦ ἀθανάτου πατρὸς
τὸν πάντας θανάτου λυτρούμενον
τοὺς ὑπερυψοῦντας
αὐτὸν εἰς τοὺς αἰῶνας.

*Ρ*εῖθρον ἰάσεων ἡμῖν
ἀενάως τοῖς πιστοῖς, ἁγνή, πηγάζεις
οἱ τὴν ἄφθονον χάριν
ἀπαρυόμενοι νῦν
ὑμνοῦμεν τὸν τόκον σου, ἄχραντε,
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

*Θ*εομακάριστε κόρη,
τὴν ἐλπίδα μου πᾶσαν
προθύμως ἀνατίθημι ἐν σοί·
σῶσόν με μήτηρ τῆς ὄντως ζωῆς
καὶ τρυφῆς ἀεννάου
πλησθῆναι καθικέτευε, ἁγνή,
τὸν ἐν πίστει καὶ πόθῳ
σὲ ὕμνοις μεγαλύνοντα.

*Ἐ*πιφανεῖσα, Παρθένε,
τῆς ψυχῆς μου τὸν ζόφον
φωτός σου ταῖς αἴγλαις ἀστραπαῖς
αὔγασον, πύλη τοῦ θείου φωτός,
καὶ πυρὸς αἰωνίου
ῥυσθῆναι καταξίωσον, ἁγνή,
τὸν ἐν πίστει καὶ πόθῳ
σὲ ὕμνοις μεγαλύνοντα.

*Ν*ενοσηκότας ὁρῶσα
τὴν ψυχὴν καὶ τὸ σῶμα
καὶ βεβλημένους πάθεσι δεινοῖς
τῇ εὐσπλαγχνίᾳ σου, Δέσποινα,
θεραπεύουσα λῦσον,
τῶν νῦν παρενοχλούντων λυπηρῶν
ἵνα πάντες ἐν ὕμνοις
ἀπαύστως μεγαλύνωμεν.

*Ἐ*ν τῇ γαστρί σου σκηνώσας
ἐκ γαστρὸς πρὸ αἰώνων
πατὴρ ὅν περ ἐγέννησεν υἱὸν
τέλειος γέγονεν ἄνθρωπος
καὶ πηγὴν χαρισμάτων
σέ, Θεομῆτορ, ἔδειξεν ἡμῖν
τοῖς πιστῶς προσκυνοῦσι
τὴν ἄφραστόν σου γέννησιν.

# 61

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ[1]

οὗ ἡ ἀκροστιχίς

« *Ἄδω τὸν αἶνον τῇ φερεσβίῳ κόρῃ.* »

Κῶδ. 354 φ. 35 β
Ἐθν. Βιβλ. Παρισίων

[ ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ]

## *Ἦχος β'. Ὠδὴ α'. Ἄτριπτον ἀσυνήθη.*

**Α**ὔλος πάλαι κλίμαξ
καὶ ξένως χερσωθεῖσα ὁδὸς θαλάσσης
τὴν σὴν ἄδηλον γέννησιν, ἁγνή,
ἣν ὑμνοῦμεν ἅπαντες ὅτι δεδόξασται.

**Δ**ύναμις τοῦ ὑψίστου
ὑπόστασις τελεία Θεοῦ σοφία
σωματωθεῖσα, ἄχραντε, ἐκ σοῦ
τοῖς βροτοῖς ὡμίλησεν ὅτι δεδόξασται.

**Ὤ**δευσε διὰ πύλης
ἀβάτου κεκλεισμένης τῆς σῆς νηδύος
δικαιοσύνης ἥλιος, ἁγνή,
καὶ τῷ κόσμῳ ἔλαμψεν ὅτι δεδόξασται.

Ὠδὴ γ'. Τόξον συνετρίβη δυνατῶν.

**Ὁ** χρόνου ἐπέκεινα παντὸς
ὡς χρόνων ποιητὴς
ἐκ σοῦ, Παρθένε, ἑκὼν
βρέφος πεπλαστούργηται.

**Ν**ηδὺν πλατυτέραν οὐρανῶν
ὑμνήσωμεν πιστοὶ
δι' ἧς Ἀδὰμ ἐν τοῖς οὐρανοῖς
χαίρων πεπολίτευται.

Ὠδὴ δ'. Ἀκήκοα Κύριε.

**Ἰ**δοὺ ὑπερύψωται
τὸ θεῖον ὄρος οἴκῳ Κυρίου
ὑπεράνω τῶν δυνάμεων
ἡ Θεομήτωρ ἐμφανέστατα.

**Ν**ομίμων τῆς φύσεως,
Παρθένε, ἄτερ μόνη τεκοῦσα
τὸν δεσπόζοντα τῆς κτίσεως
κατηξιώθης θείας κλήσεως.

Ὠδὴ ε'. Ὁ ἄνθραξ τῷ Ἠσαΐᾳ.

**Ν**εφέλαι τῆς εὐφροσύνης
γλυκασμὸν ῥάνατε
τοῖς ἐπὶ γῆς ὅτι παιδίον δέδοται
ὁ ὑπάρχων πρὸ τῶν αἰώνων
ἐκ τῆς Παρθένου σαρκωθεὶς Θεὸς [ἡμῶν.

**Τ**ῷ βίῳ καὶ τῷ σαρκίῳ μου
τὸ φῶς ἔλαμψε
καὶ τὸ στυγνὸν τῆς ἁμαρτίας ἔλυσεν
ἐπ' ἐσχάτων ἐκ τῆς Παρθένου
ἄνευ σπορᾶς σωματωθεὶς ὁ ὕψιστος.

Ὠδὴ ς'. Ἦχου ῥημάτων.

**Φ**ύσις ἀνθρώπων δουλεύουσα
τῇ ἁμαρτίᾳ, Δέσποινα ἁγνή,
διὰ σοῦ ἐλευθερίας ἔτυχε·
σὸς γὰρ υἱὸς ὡς ἀμνὸς
ὑπὲρ πάντων τέθυται.

**Ἐ**πιβοώμεθα ἅπαντες
σὲ τὴν ἀληθῆ μητέρα τοῦ Θεοῦ
παροργίσαντας οἰκέτας λύτρωσαι·
μόνη γὰρ πρὸς τὸν υἱὸν
παρρησίαν κέκτησαι.

1) Ἴδε καὶ Παρακλητικὴν ἔντυπον· ἦχος β' Κυριακὴ πρωΐ.



Ὠδὴ ζ'. Ῥήτορες ἀνεδείχθησαν.

**Ε**ὗρα ἐν νυκτὶ Ἰακὼβ μὲν
ὡς ἐν αἰνίγματι Θεὸν
σεσαρκωμένον ἐκ σοῦ δὲ
ἐν φρυκτωρίᾳ ὤφθη τοῖς μέλλουσιν
ὁ ὑπέρθεος τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Σ**ύμβολα τῆς ἐν σοὶ ἀπορρήτου
προκαταγγέλλων συμπλοκῆς
τῷ Ἰακὼβ προσπαλαίει
δι' ἧς ἑκὼν ἡνώθη ἀνθρώποις, ἁγνή,
ὁ ὑπέρθεος τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

**Β**έβηλος ὁ μὴ ἕνα κηρύττων
τὸν τῆς Παρθένου σε υἱὸν
τῆς παντιμνήτου Τριάδος
καὶ ἀδιστάκτῳ γνώμῃ καὶ γλώσσῃ βοῶν
ὁ ὑπέρθεος τῶν πατέρων
Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η'. Ἰνδάλματος χρυσοῦ.

**Ὡ**ράθη ἐπὶ γῆς
διὰ σοῦ καὶ τοῖς ἀνθρώποις συνανε-[στράφη
ὁ ἀγαθότητι ἀσύγκριτος
καὶ δυνάμει· ὃ μελῳδοῦντες
πάντες οἱ πιστοὶ κραυγάζομεν
ἡ οὐσιωθεῖσα
ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις
καὶ ὑπερυψούτω
εἰς πάντας τοὺς αἰῶνας.

**Κ**υρίως σε ἁγνὴν
καταγγέλλοντες δοξάζομεν, Θεοτόκε,
σὺ γὰρ τὸν ἕνα ἀπεκύησας
τῆς Τριάδος σεσαρκωμένον
ᾧ σὺν τῷ πατρὶ καὶ Πνεύματι
πάντες μελῳδοῦμεν
ὑμνείτω τὸν Κύριον πᾶσα κτίσις
καὶ ὑπερυψούτω
εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὅλος ὑπάρχεις ἔφεσις.

**Ρ**άβδος ἰσχύος δέδοται
φύσει τῇ σαθρᾷ
Λόγος Θεοῦ
ἐν μήτρᾳ σου, ἁγνή,
καὶ ταύτην ἀνέστησε
πρὸς ᾅδην ὀλισθήσασαν·
διὰ σε, πάναγνε,
ὡς Θεοτόκον μεγαλύνομεν.

**Ἣ**ν ᾑρετίσω, Δέσποτα,
δέξαι συμπαθῶς
πρέσβυν μητέρα
σὴν ὑπὲρ ἡμῶν
καὶ σοῦ τῆς χρηστότητος
τὰ σύμπαντα πλησθήσονται
ἵνα σε ἅπαντες
ὡς εὐεργέτην μεγαλύνωμεν.

# 62

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ[1]

οὗ ἡ ἀκροστιχὶς ἀβ ἀντιστρόφως.

Κώδ. 354 φ. 58β
Ἐθν. Βιβλ. Παρισίων
Ι 67 Λαύρας.

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

*Ἦχος β'. Ὠδὴ α'. Ἐν βυθῷ κατέστρωσε.*

**Ὡ**ς ὡραίαν ὡς περικαλλῆ
ὅλην ὡς ἀμώμητον
ἐν γυναιξὶ Θεός σε ἐκλεξάμενος
σοῦ τὴν μήτραν ᾤκησεν·
τὴν ἀμώμητον ὃν δυσώπει, πανάμωμε,
μώμου ἐγκλημάτων
ἅπαντας ῥυσθῆναι τοὺς ὑμνοῦντάς σε.

**Ψ**αλμικῶς, ἁγνή, ἐκ δεξιῶν
οἷα περ βασίλισσα
τοῦ ἐκ τῆς σῆς νηδύος ἀναλάμψαντος
βασιλέως ἕστηκας·
ὃν ἱκέτευε δεξιὸν παραστάτην με
δεῖξαι ἐν ἡμέρᾳ
τῆς ἀνταποδόσεως, πανάμωμε.

**Χ**ερσωθεῖσαν φύσιν τῶν βροτῶν
πᾶσιν ἀτοπήμασιν
τὸν ὑετὸν τεκοῦσα τὸν οὐράνιον
ὅλην ἀνεκαίνισας·
ἀλλὰ δέομαι τῆς ψυχῆς μου τὴν αὔλακα
ἀποχερσωθεῖσαν
δεῖξον καρποφόρον, Θεονύμφευτε.

**Ν**εκρωθέντες γνώσεως φυτῷ
ξύλῳ τῆς ζωῆς, ἁγνή,
πρὸς τὴν ζωὴν οἱ πιστοὶ ἀνεκλήθημεν
τῷ ἐκ σοῦ βλαστήσαντι
ὑπὲρ ἔννοιαν, Θεοτόκε, Χριστῷ τῷ Θεῷ
ᾧ σὺν παρρησίᾳ
πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ γ'. Ἐστερέωσεν ἡ ἔρημος.

**Φ**ορέσας με τὸν ἄνθρωπον
ἐκ γαστρός σου πρόεισιν
ὁ ποιητής, πανάχραντε,
ἀφθαρσίας στολὴν δωρούμενος
τοῖς πολλοῖς γυμνωθεῖσιν ἀτοπήμασιν.

**Ὑ**πέρτιμον ἐκύησας
Θεὸν Λόγον, ἄχραντε,
ὃν ἐκτενῶς ἱκέτευε
οἰκτειρῆσαι τὴν ταπεινήν μου ψυχὴν
ἡδονῶν ἀτιμίᾳ καθυβρισθεῖσαν.

**Τ**ὰ τραύματα θεράπευσον
τῆς ψυχῆς μου, πάναγνε,
τὴν ταπεινήν καρδίαν μου
φαρμαχθεῖσαν ἰῷ τοῦ ὄφεως
δραστικῷ σου φαρμάκῳ καταποίησαι.

**Ὡ**ς μήτηρ κεκτημένη
τὴν παρρησίαν, ἄχραντε,
πρὸς τὸν υἱόν σου αἴτησαι
ἐπαμῦναι κεκακωμένῳ λαῷ
τῶν ἀνόμων δὲ θραῦσαι τὰ φρυάγματα.

Ὠδὴ δ'. Ἐλήλυθας ἐκ παρθένου.

**Σ**ταγόνα μοι κατανύξεως ὄμβρησον, [Δέσποινα,
ἐξαίρουσαν ἅπαντα
τὸν τῆς καρδίας μου καύσωνα



καὶ τῆς διανοίας μου
τὰς σφαλερὰς ἐνθυμήσεις ἀναστέλ- [λουσα.

**Ρ**ομφαίᾳ με ἡδονῆς τὸν πληγέντα καὶ [κείμενον
τραυματίαν, ἄχραντε,
μὴ ὑπερίδῃς· ἀλλ' ἴασαι
λόγχῃ καὶ τῷ αἵματι
τοῦ σταυρωθέντος υἱοῦ σου καὶ Θεοῦ [ἡμῶν.

**Π**λουτήσασα δεσποτείαν ἁπάσης τῆς [κτίσεως
δεινῶς με πτωχεύσαντα
χάριτος θείας οἰκτείρησον
ὅπως μεγαλύνω σε
ὡς ἀγαθήν μου προστάτιν, πανυμνή- [μητε.

**Ἀ**νέτειλεν ἐκ γαστρός σου πατρὸς τὸ [ἀπαύγασμα
Χριστὸς καὶ ἐφώτισε
τὴν οἰκουμένην σταυρούμενος,
κόρη ἀπειρόγαμε,
καὶ τῶν δαιμόνων τὸ σκότος ἐξηφά- [νισε.

Ὠδὴ ε'. Μεσίτης Θεοῦ.

**Ὁ**δὸν τῆς ζωῆς
ἡ τεκοῦσα, ἄχραντε,
ὁδήγησον
ὁδὸν εἰς εὐθεῖάν με
νῦν εἰς ἀνοδίας τε καὶ βάραθρα
χαλεπῶν συμπτωμάτων
ἀλόγως κρημνιζόμενον.

**Ξ**ενώσας φρενὶ
ἐμαυτὸν ἀγνώμονι,
Παρθένε μῆτερ Θεοῦ,
ἀσώτως ἐδίωκα
χώραν εἰς μακρὰν περιπλανώμενος·
ἀλλ' ἐπίστρεψόν με
ταῖς σαῖς με παρακλήσεσι.

**Ν**αμάτων τῶν σῶν
ζωηρρύτων πότισον
τὸν δοῦλόν σου
φλογμῷ συγκαιόμενον
τῶν ἁμαρτιῶν καὶ κινδυνεύοντα
προσβολαῖς τῶν δαιμόνων,
Παρθενομῆτορ ἄχραντε.

**Ἰ**δοὺ ἐν γαστρί,
Θεοτόκε πάναγνε,
Χριστὸν τὸν Θεὸν
ὑπὲρ λόγον ἔσχηκας
ὥσπερ Ἠσαΐας προηγόρευσεν
ὑπὲρ φύσιν δὲ τοῦτον,
Θεονυμφεύτῳ, τέτοκας.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

**Μ**ή με δείξῃς δαιμόνων ἐπίχαρμα
ἐν τῷ κριτηρίῳ τῷ μέλλοντι, Δέσποινα,
ἀλλ' εὐμενῶς προσβλέψαι μοι
τὸν κριτὴν καὶ υἱόν σου δυσώπησον.

**Λ**ογισμοῖς ταρρογίζω με, Κύριε,
καὶ ταῖς πονηραῖς ἀθέσμοις μου πρά- [ξεσιν
εἰς ἱλασμὸν προσάγω σοι
τὴν μητέρα σου οἴκτειρον σῶσόν με.

**Κ**ατακρίσεως ῥῦσαί με, Δέσποινα,
τὸν αὐτοκατάκριτον ὄντα τοῖς πταίσμασιν
ὡς τὸν κριτὴν κυήσασα
καὶ Θεὸν τῶν ἁπάντων καὶ Κύριον.

**Ἰ**ησοῦν τὸν σωτῆρα ἱκέτευε
ὃν ὑπερφυῶς ἐν σαρκὶ ἀπεκύησας,
Παρθενομῆτορ ἄχραντε,
λυτρωθῆναι κινδύνων τοὺς δούλους σου.

Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

**Ἰ**σχύς μου καὶ ὕμνησις καὶ σωτηρία
βεβαία ἀντίληψις
καὶ τεῖχος ἀπροσμάχητον
ὑπάρχουσα, Δέσποινα,
τοὺς πολεμοῦντάς με
δαίμονας πολέμησον ἀεὶ
ἐπιζητοῦντας τοῦ θανατῶσαί με.

**Θ**εὸν σωματώσασα παρθενικῶν σου
αἱμάτων ἐθέωσας,
Παρθένε, τὸ ἀνθρώπινον·
διό με τοῖς πάθεσι
καταρρυπούμενον
καὶ καταφθειρόμενον ἐχθροῦ
ταῖς μεθοδείαις ῥῦσαι πρεσβείαις σου.

1) Ἴδε καὶ Παρακλητικὴν ἔντυπον τῇ Τετάρτῃ πρωὶ τοῦ β' ἤχου καὶ Ἰουλίου κζ' καὶ κστ' Σεπτεμβρίου ἐν τοῖς Μηναίοις φέρεται ἐπ' ὀνόματι τοῦ Θεοφάνους· ἐν τοῖς Κώδ. ἀνωνύμως· ἀλλ' ἐν τοῖς Θεοτοκίοις ἡ ἀκροστιχὶς ἀντιστρόφως ὑποδηλοῖ τὸ ὄνομα « νεπι Ἰωάν » (= ἔπος Ἰωάννου.).

**Ἡ** κάμινος γέννησιν προδιετύπου
τὴν σήν, πανυμνήμητε,
τοὺς παῖδας γὰρ οὐκ ἔφλεξεν
ὡς οὐδὲ τὴν μήτραν σου
τὸ πῦρ τὸ ἄστεκτον·
ὅθεν δυσωποῦμέν σε πυρὸς
τοῦ αἰωνίου ῥῦσαι τοὺς δούλους σου.

**Π**ανάχραντον σύλληψιν ἄφθαρον
σὺ μόνη ὑπέδειξας                [τόκον
παρθένος διαμείνασα·
Θεὸν γὰρ συνέλαβες
τὸν ἐπὶ πάντων Θεὸν
ἄνθρωπον γενόμενον πιστῶν
εἰς σωτηρίαν καὶ ἀπολύτρωσιν.

Ὠδὴ η'. Κάμινος ποτέ.

**Ζ**ήλου τὰ καλὰ
κακῶν μακρυνομένη
δι' ἐμμελείας θείων πράξεων,
ψυχή μου, πρεσβεύουσαν
ὑπὲρ σοῦ τὴν Θεομήτορα
καὶ πάντων ἀκαταίσχυντον ἔχουσα
προστασίαν ὡς συμπαθῆ καὶ φιλά-
[γαθον.

**Ἔ**λυσας δεσμοῦ
τῆς πάλαι καταδίκης,
Θεοκυῆτορ, τὸ ἀνθρώπινον·
διὸ ἱκετεύω σε
διαλῦσαι πάντα σύνδεσμον
κακίας τῆς καρδίας μου, ἄχραντε,
συνδεσμοῦσα θείᾳ στοργῇ με τοῦ κτί-
[σαντος.

**Δ**όξης τοῦ πατρὸς
ἀπαύγασμα τεκοῦσα
τὴν ἀδοξίᾳ σκυθρωπάζουσαν
πταισμάτων καρδίαν μου,
Θεοτόκε, κατωραΐζουσα
καὶ δόξης με ἀνάδειξον μέτοχον
ἀϊδίου, εὐλογημένη πανάμωμε.

**Ἔ**φανεν ἡμῖν
ἐκ σοῦ, Θεογεννῆτορ,
δικαιοσύνης ὄντως ἥλιος
φωτίζων τὰ σύμπαντα
λαμπηδόσι τῆς θεότητος
σωματωθεὶς ὁ ὕψιστος ἄναρχος·
ὑμνολογοῦμεν πάντα τὰ ἔργα ὡς
[Κύριον.

Ὠδὴ θ'. Ἀνάρχου γεννήτορος.

**Γ**ευσάμενος βρώσεως
μὴ προσηκούσης θάνατον
ὁ Ἀδὰμ ἐκ τοῦ ξύλου
πικρῶς ἐτρύγησε·
ξύλῳ δὲ παγεὶς ὁ υἱός σου
τὸν γλυκασμὸν τῆς ἀθανασίας
ἐπήγασεν, ἄχραντε,
διὰ τοῦτό σε γεραίρομεν.

**Β**ασίλισσα πέφυκας
τὸν βασιλέα Κύριον
ὑπὲρ λόγον τεκοῦσα
τὸν διαλύσαντα
ᾅδου τὰ βασίλεια, κόρη,
ὃν ἐκτενῶς δυσώπει τῆς ἄνω
βασιλείας ἅπαντας
ἀξιῶσαι τοὺς ὑμνοῦντάς σε.

**Ἀ**γάθυνον, Δέσποινα,
τὴν ταπεινήν καρδίαν μου
ἡδονῶν κακωθεῖσαν
ταῖς ἐπικλύσεσιν
ὡς τὸν ἀγαθὸν τετοκυῖα
καὶ ἀγαθὴ ὑπάρχουσα ὅλη
καὶ πρὸς μετανοίας με
ἀγαθὰς πύλας εἰσάγαγε.

**Ν**εκρὸς ἐχρημάτισας
ἐπὶ σταυροῦ ὑψούμενος
ὁ νεκρώσας τὸν ὄφιν·
ὅθεν κραυγάζω σοι
τὴν νεκρωμένην ψυχήν μου
ταῖς πονηραῖς, Λόγε, ἐργασίαις
ἐλέησον ζώωσον
ἱκεσίαις τῆς τεκούσης σε.



# 63

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τῇ η' καὶ θ' ᾠδῇ « ***Ἰωάννου Θ.*** »
καὶ πάλιν ἐν τοῖς ὑστέροις Θεοτοκίοις « ***Ἰωάννου Θ.*** »

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΘΗΚΑΡΑ

Κώδ. Ι 39 Λαύρας.

***Ἦχος β'. Ὠδὴ α'. Ἐν βυθῷ κατέστρωσε ποτέ.***

**Ἡ** τὸ φῶς τοῖς πέρασιν, ἁγνή,
πᾶσιν ἀνατείλασα
ὑπερφυῶς καὶ τὰ πάντα φωτίσασα
φωτοφόρον ἔμπνευσον
τῇ ζοφώδει μου διανοίᾳ ἀμάρυγμα
ὅπως χαρμοσύνως,
Δέσποινα, τὸ χαῖρε ἐκβοήσω σοι.

**Ὁ**μοφρόνως δεῦτε γηγενεῖς
πάντες ἐκβοήσωμεν
τῇ Θεοτόκῳ τὸ χαῖρε γηθόμενοι
ἀγγέλῳ ἑπόμενοι
τοῖς προσφόροις τε καὶ θειοτάτοις
[ῥήμασι
χαῖρε Θεοτόκε
μήτηρ καὶ παρθένε ἀπειρόγαμε.

**Ὑ**περτέρα πέλεις ἀληθῶς
πάσης ἀοράτου τε
καὶ ὁρατῆς, ἀειπάρθενε, κτίσεως
τὸν γὰρ κτίστην τέτοκας,
ὡς εὐδόκησε, σαρκοφόρον δομήτορα·
ὅθεν σοι τὸ χαῖρε
πίστει ἀδιστάκτῳ καταγγέλλομεν.

**Ἰ**οβόλον ἄπασαν ἐχθρῶν
κόπασον, Θεόνυμφε,
ἀλαζονείαν καὶ δεινὰ βουλεύματα
κατ' ἐμοῦ κινούμενα
καταστόρεσον τῇ δυνάμει σου, Δέ-
[σποινα,
ὅπως ἐν γαλήνῃ
θεία γεγονὼς ὑμνολογήσω σε.

Ὠδὴ γ'. Ἐξήνθησεν ἡ ἔρημος.

**Χ**αῖρε βασιλευόντων
τὸ θεῖον κράτος, Δέσποινα,
χαῖρε μαρτύρων στέφανε
καὶ ὁσίων τὸ ἐγκαλλώπισμα·
χαῖρε κάλλος παρθένων ὡραιότατον.

**Χ**αῖρε τῆς οἰκουμένης
τὸ μέγα τεῖχος, ἄχραντε,
καὶ τὸ στερρὸν ὀχύρωμα
ἐκκλησίας καὶ καταφύγιον
τοῖς σὲ ἐπιζητοῦσιν ἀδιστάκτῳ ψυχῇ.

**Ε**ἰς νοῦν μου τὸ κριτήριον
ὅταν λάβω, Κύριε,
τὸ φοβερόν σου δέδοικα
καὶ πτοοῦμαι ὁ ἀσυνείδητος
τὰς πράξεις ἐπιφέρων ἐλεγχούσας με.

**Ὡ**ς ὄντως ἀνερμήνευτον
τῆς Παρθένου πέφυκε
τὸ ὑπὲρ νοῦν μυστήριον
πῶς ἀσπόρως τίκτει τὸν ὑπερούσιον
τῷ πατρὶ καὶ τῷ Πνεύματι συνάναρχον.

Ὠδὴ δ'. Ἐλήλυθας ἐκ Παρθένου.

**Τ**ὸ χαῖρέ σοι οἱ πιστοὶ ἀνακράζομεν
[ἅπαντες,
Θεοτόκε Δέσποινα,
οἱ σεσωσμένοι τῷ τόκῳ σου·
χαῖρε πολυώνυμε
καὶ ὑπερθαύμαστε κόρη· χαῖρε πάν-
[τιμε

***Ὁ*** μέγας σε ἐν προφήταις προέγραψε, Δέσποινα,
πύλην ἀδιόδευτον
δι' ἧς διῆλθεν ὁ ὕψιστος
πάντας καὶ ἐθέωσε
τοὺς μετὰ πόθου τὸ χαῖρέ σοι προσλέγοντες.

***Τ***ὴν λύπην μου εἰς χαρὰν μεταρρύθμισον, ἄμωμε,
τὸν θρῆνον ἀφάνισον
καὶ τὴν ὀδύνην θεράπευσον·
ἄλλην γὰρ οὐ κέκτημαι
ὁ δυστυχὴς προστασίαν πλήν σου, ἄχραντε.

***Ἀ***νάγαγε ἐκ βυθοῦ κατωτάτου με, δέομαι,
τὸν ἄθλιον δοῦλόν σου
καὶ τῶν δεινῶν ἐλευθέρωσον
νῦν τῶν συνεχόντων με
σαῖς μητρικαῖς πρεσβείαις, Θεονύμφευτε.

Ὠδὴ ε'. Ὁ φωτισμός.

***Χ***αῖρε φαιδρὸν
τοῦ ὑψίστου δοχεῖον·
χαῖρε νεφέλη
φῶς ἐναπαστράπτουσα τοῖς ἐν κόσμῳ
τῶν ἀποστόλων
τὸ ἀσίγητον στόμα
προφητῶν τε τὸ περιβόητον
κήρυγμα καὶ κόσμου
παντὸς τὸ ἐξίλασμα.

***Χ***αῖρε θερμὴ
πρὸς Θεὸν προστασία
ἁμαρτανόντων·
χαῖρε τὸ κατάκριμα τὸ τῆς Εὔας
λύσασα μόνη
καὶ Ἀδὰμ τοῦ πεσόντος
ἡ ἀνόρθωσις χαῖρε πάνσεμνε·
χαῖρε τῶν μαρτύρων
ἀκήρατε στέφανε.

***Ἴ***σος ἡμῖν
ὁ πατρὶ κατ' οὐσίαν
ὑπάρχων ὤφθη
σαρκοφόρος ἐκ σοῦ, Παρθένε,
καὶ τὴν πικρίαν
τὴν τοῦ ξύλου καθεῖλε
διὰ ξύλου ὁ ἀναμάρτητος
τέλειος Θεὸς
χρηματίσας καὶ ἄνθρωπος.

***Ν***έφος δεινῶν
πειρασμῶν καὶ κινδύνων
κατακαλύπτει
νῦν με τὸν πανάθλιον, Θεομῆτορ,
ἀλλ' ἡ τεκοῦσα
τὸ ἀπρόσιτον σέλας
φώτισόν με τῇ ἐπιλάμψει σου·
ἄλλην γὰρ ἐκτός σου
ἐλπίδα οὐ κέκτημαι.

Ὠδὴ στ'. Ἐν ἀβύσσῳ πταισμάτων.

***Χ***αῖρε θρόνε Κυρίου πυρίμορφε·
χαῖρε ἡ ἀνάστασις τοῦ πρώτου πτώματος·
χαῖρε τὴν πλάνην παύσασα
τῶν εἰδώλων, Παρθένε Θεόνυμφε.

***Φ***ωτοφόρον τοῦ κτίστου παλάτιον·
χαῖρε πολυύμνητε ἀγγέλων καύχημα·
χαῖρε πολλῶν συγχώρησις
ἐγκλημάτων, ἀνύμφευτε Δέσποινα.

***Ἰ***ατῆρα παθῶν ἡ κυήσασα
ἴασαι νοσοῦντα δεινῶς με τὸν δείλαιον
καὶ τὴν ὑγείαν δίδου μοι
τῷ θερμῶς ἐκζητοῦντι τὴν χάριν σου.

***Ν***εουργὸν τῆς ζωῆς ἡ κυήσασα
πεπαλαιωμένον με ταῖς ἁμαρτήμασι
ὡς ἀγαθὴ καινούργησον
καὶ τὰς νόσους μου πάσας θεράπευσον.

## ΚΑΘΙΣΜΑ

### ***Ἦχος β'. Τὰ ἄνω ζητῶν.***

***Ἐ***κ πόθου ψυχῆς
προσφεύγω νῦν τῇ σκέπῃ σου
αἰτούμενος, ἁγνή,
τὴν λύσιν τῶν πταισμάτων μου
μὴ ἀπώσῃ, ἄχραντε,
ἀλλ' εὐσπλάγχνως πρόσδεξαί με κράζοντα·
ἡ Θεὸν σαρκωθέντα κυήσασα
νοσοῦσαν τὴν ψυχήν μου θεράπευσον.



Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

***Π***υρίμορφον ὄχημα τοῦ Λόγου χαῖρε
νεφέλη ὁλόφωτε
πιστοὺς ἐπισκιάζουσα
ὁ πόκος ὁ ἔμψυχος
ὃν ἐθεάσατο
ὁ προφήτης Πνεύματι
ἁγίῳ, Θεομῆτορ, καταλαμπόμενος.

***Ἡ*** ῥάβδος ἡ ἔντιμος ζωῆς τὸ ἄνθος
ἡμῖν ἡ βλαστήσασα
χαῖρε Παρθένε πάντιμε
ἐχθρῶν ἀμυντήριον
χαῖρε πανθαύμαστε·
χαίροις ἡ κυήσασα
τὸν πάντων βασιλέα εἰς σωτηρίαν ἡμῶν.

***Λ***ιμὴν θαλαττεύουσι γενοῦ, Παρθένε,
τοῦ βίου τοῖς κύμασι
κἀμοὶ κινδυνεύοντι
τῷ ἀχρείῳ δούλῳ σου
ἵνα σε δοξάζω
τὴν ἀειμακάριστον
ἀεὶ καὶ μεγαλύνω ὡς προστασίαν μου.

***Ν***ῦν τρόμος συνέχει με ἐπαιρομένην
ὁρῶν ὁ πανάθλιος
τῶν συμφορῶν τὴν κάμινον
ἀλλὰ σοὶ προσέρχομαι
τῇ ἰσχυρᾷ προσφυγῇ
κράζων μὴ παρίδῃς με
τὸν σὸν οἰκέτην, κόρη, καταφλεγόμενον.

Ὠδὴ η'. Κάμινος ποτέ.

***Ἵ***να τῆς ἀρᾶς
τῆς πάλαι λυτρωθῶμεν
ὁ Γαβριὴλ κατεπεφοίτηκε
τὸ χαῖρε κομίζων σοι
χαῖρε λέγων ἀγεώργητε
καὶ λίαν εὐφορώτατε χώρα
στάχυν τὸν θεῖον ὑπερφυῶς ἐκβλαστήσασα.

***Ὢ*** τῶν ὑπὲρ νοῦν
καὶ ξένων μυστηρίων!
πῶς τὸν τροφέα πάσης κτίσεως
θηλάζεις, πανάμωμε,
πῶς βαστάζεις τὸν βαστάζοντα
τὰ πάντα καὶ κατέχοντα δρακὶ
τὴν οἰκουμένην καὶ ὑπερούσιον Κύριον.

***Ἄ***γονος ψυχὴ
ὑπάρχουσα καὶ στεῖρα
μηδ' ὅλως ἐργασαμένη καλὸν
ταχέως ἀνόνητον
καὶ συντόμως καρποφόρησον
προσάγουσα τῷ κτίσῃ σου δάκρυα
μετανοίας καὶ αἰτοῦσα τὸν ἔλεον.

***Ν***αίων ἐν μυχοῖς
τοῦ βίου τρικυμίαις
καὶ συμφοραῖς ἀεὶ ποντούμενος
ὁ ἄθλιος δοῦλός σου
ἐπὶ σὲ τὴν πανακήρατον
καὶ κραταιὰν βοήθειαν πᾶσάν μου
τὴν ἐλπίδα ὁ δυστυχὴς ἀνατίθημι.

Ὠδὴ θ'. Ἀνάρχου γεννήτορος.

***Ν***αὲ θεοκόσμητε
καὶ θρόνε τοῦ παντάνακτος
χαῖρε πάγκαλε κόρη
ἡγιασμένη σκηνή·
χαίροις ἡ κογχύλη πορφύραν
τῷ βασιλεῖ ἡ βάψασα θείαν
ἐκ θείων αἱμάτων σου,
Θεοτόκε ἀειπάρθενε.

***Ὁ***σίων τὸ καύχημα
δικαίων ἐγκαλλώπισμα
χαῖρε ἄμωμε νύμφη
τοῦ ἀοράτου πατρός
χαῖρε συνανάρχου, Παρθένε
μῆτερ, υἱοῦ· χαῖρε θλιβομένων
χαρὰ καὶ ἀντίληψις
καὶ προστάτις ἀκαταίσχυντε.

***Υ***πάρχων ἀνάπλεως
πταισμάτων ὁ πανάθλιος
καὶ εἰς νοῦν μου λαμβάνων
τὸ φοβερώτατον
βῆμα τοῦ υἱοῦ σου, Παρθένε,
ἰλιγγιῶ καὶ τρέμω ὁ τάλας
ἐν ᾧ με τὸν δοῦλόν σου
ἀκατάκριτον παράστησον.

**Θ**ρηνοῦντες οἱ δοῦλοί σου
ἐκλιπαροῦμεν, Δέσποινα,
τῶν δεινῶν νῦν πταισμάτων
τῶν συνεχόντων ἡμᾶς·
ἔγειρον ἀνάστησον, κόρη,
τῇ κραταιᾷ καὶ παντοδυνάμῳ
ἰσχύϊ σου, ἄχραντε,
ἵνα πίστει σε δοξάζωμεν.

---

# 64

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τῇ η' καὶ θ' ᾠδῇ «***Ἰωάννης Θ.***»

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΘΗΚΑΡΑ

Κώδ. Ι. 39
Λαύρας.

***Ἦχος β'. Ὠδὴ α'. Ἐν βυθῷ κατέστρωσε.***

**Χ**αῖρε σκέπη κόσμου καὶ χαρά·
χαῖρε καταφύγιον
χριστιανῶν καὶ βεβαία ἀντίληψις·
χαῖρε ὅπλον ἄρρηκτον
τοῖς τιμῶσί σε καὶ Θεοῦ σε γινώσκουσι,
πάναγνε, μητέρα·
χαῖρε δυστυχούντων ἐπανόρθωσις.

**Χ**αῖρε θεία κλίνη Σολομών
δυνατοὶ ἑξήκοντα
ἣν κυκλοῦσι σαφῶς, Θεονύμφευτε,
χαῖρε θεία γέφυρα
ἡ μετάγουσα πρὸς ζωὴν τὴν ἀκήρατον
τοὺς θανατωθέντας
τῇ τοῦ ξύλου βρώσει καὶ τεθνήξαντας.

**Ρ**αθυμίᾳ ὅλως συσχεθεὶς
ἅπαντα τὸν βίον μου
ἐκδαπανήσας ἀσώτως ἐβίωσα
καὶ νῦν ἐπιστρέφοντα
ἀνακάλεσαι ὡς οἰκτίρμων καὶ σῶσόν με
ταῖς τῆς πανυμνήτου
μητρός σου λιταῖς ἐπικαμπτόμενος.

**Θ**εοτόκε πάντων ἡ ἐλπίς,
Δέσποινα, βοήθησον
τὸν ἐπὶ σοὶ πεποιθότα καὶ ῥῦσαί με
πάσης περιστάσεως
καὶ δεινῆς κατακρίσεως, πάναγνε,
ἵνα σε δοξάζω
πίστει τε καὶ πόθῳ, Θεονύμφευτε.

Ὠδὴ γ'. Εὐφράνθητι ἡ ἔρημος.

**Χ**αῖρε τῶν ἀθλοφόρων
τὸ θεῖον θάρσος, ἄμωμε,
καὶ τῶν μαρτύρων στέφανε·
χαῖρε ὁσίων στολὴ θεότευκτος·
χαῖρε τεῖχος τοῦ κόσμου ἀκατάσειστον.

**Χ**αῖρε παρθένων δόξα,
εὐλογημένη Δέσποινα
καὶ τῶν μαρτύρων καύχημα
καὶ ἀγγέλων τὸ ἀγαλλίαμα·
χαῖρε μέγιστον ἄκουσμα καὶ λάλημα.

**Ψ**υχήν μὴ παρίδῃς μου
τραυματισθεῖσαν βέλεσι
τοῦ πολεμίου δράκοντος
καὶ κειμένην πτῶμα ἐξαίσιον
ἀλλὰ οἴκτειρον καὶ σῶσον ὡς φιλάν-
[θρωπος.

**Ν**υκτί με καλυπτόμενον
τῶν κινδύνων, Δέσποινα,
καὶ λυπηρῶν ἀπάλλαξον
ἡ τὴν νύκτα τῆς ἀθεΐας, ἁγνή,
διαλύουσα φέγγει τῷ τοῦ τόκου σου.

Ὠδὴ δ'. Ἐλήλυθας ἐκ Παρθένου.

**Τ**ὸ χαῖρέ σοι τῇ μητρὶ τοῦ Θεοῦ ἡμῶν
[ᾄδομεν
χαῖρε ξύλον ἅγιον
καρπὸν ζωῆς ἡ βλαστήσασα·



χαῖρε τόπε ἅγιε
εἰς ὃν κατώκησε μόνος ὁ ὑπέρθεος.

**Ὁ** μέγας σε ἐν προφήταις προέφησε
[τράπεζαν
ἄρτον τὸν οὐράνιον
σωματικῶς περιφέρουσαν·
ἡμεῖς δὲ κραυγάζομεν
σοὶ ἀσιγήτως τὸ χαῖρε, Θεονύμφευτε.

**Κ**ατεύνασον τῶν παθῶν μου τὸν ἄ-
[γριον κλύδωνα
καὶ σάλον τῶν θλίψεων
νῦν καταπράϋνον, ἄχραντε,
ἡ τὸν ἐλεήμονα
καὶ κυβερνήτην τεκοῦσα καὶ φιλάν-
[θρωπον.

**Σ**ὺ σκέπη μου σὺ χαρά μου ὑπάρχεις
[καὶ στήριγμα
σύ μου ἀγαλλίαμα,
Παρθενομῆτορ Θεόνυμφε,
σὺ καὶ νῦν βοήθει μοι
τῷ ἐν πελάγει τοῦ βίου κινδυνεύοντι.

Ὠδὴ ε'. Ὁ φωτισμός.

**Χ**αῖρε χρυσῆ
φωτοφόρε νεφέλη
ἡ τὸν τῆς δόξης
ἥλιον ἐκλάμψασα ἐν τῷ κόσμῳ
καὶ τοὺς ἐν ζόφῳ
καθημένους τῆς πλάνης
παραδόξως καταφωτίσασα
χαῖρε ἡ τὰ πάντα
τῷ τόκῳ σου σώσασα.

**Χ**αῖρε χαρᾶς
ἀνεκφράστου χωρίον
δεδοξασμένη
χαῖρε τὸ κειμήλιον τῆς ἁγνείας·
χαῖρε τὸ ἄνθος
τὸ τῆς πίστεως· χαῖρε
ἀειζώου ῥείθρου πηγή, Θεόνυμφε·
χαῖρε θησαυρὲ
τῆς ζωῆς ἡμῶν ἄσυλε.

**Ἀ**παγωγῆς
προνομῆς καὶ δουλείας
πειρατηρίων
φθόνου τε καὶ μίσους καὶ πάσης βλάβης
πάσης ἀνάγκης,
πανάγία Παρθένε,
πάσης νόσου καὶ πάσης θλίψεως
πάσης ἀπειλῆς τε
τοὺς σοὺς δούλους διάσωσον.

**Ὡ**ς ὁ λῃστὴς
μνήσθητί μου βοῶ σοι
ὡς ὁ Τελώνης
τύπτω μου τὸ στῆθος καὶ ἀνακράζω
ἐλέησόν με
τὸν ἀεὶ πλημμελοῦντα
ὡς οἰκτίρμων καὶ μὴ παρίδῃς με
ταῖς τῆς ὑπεράγνου
μητρός σου δεήσεσιν.

Ὠδὴ ϛ'. Ἐν ἀβύσσῳ πταισμάτων.

**Χ**αῖρε πάσης τῆς γῆς τὸ κραταίωμα·
χαῖρε τῶν ἁγίων ἀγγέλων τὸ καύχημα·
χαῖρε ἡ θείως σβέσασα
τὴν τῆς πλάνης παμφλέγουσαν κάμινον.

**Χ**αῖρε θρόνου παντὸς ἡ καθαίρεσις,
ἄχραντε, καὶ ῥύπου παντὸς τὸ καθάρσιον·
χαῖρε χαρᾶς ἀνέγερσις
καὶ τῆς πρώτης ἀρᾶς ἡ κατάλυσις.

**Μ**ὴ παρίδῃς δεινῶς κινδυνεύοντα,
κόρη, τὸν οἰκέτην σου καὶ συνεχόμενον
ἀλλὰ συνήθως οἴκτειρον
καὶ συντήρησον ὅλον ἀπήμονα.

**Ἁ**μαρτίας συνέχει με θύελλα
πέλαγος πολλῶν συνταράττει κακώσεων
ὧν ἐξελοῦ με, ἄχραντε,
ἡ γαλήνης τὸν αἴτιον τέξασα.

## ΚΑΘΙΣΜΑ

***Ἦχος β'. Τὰ ἄνω ζητῶν.***

**Δ**ακρύων πηγὴν
παράσχου μοι, πανάμωμε,
δι' ὧν τὴν πληθὺν
ἐκπλύνω τῶν πταισμάτων μου·
εἰς σὲ γάρ, Θεόνυμφε,
τὴν ἐλπίδα πᾶσαν ἀνέθηκα·

σπεῦσον οὖν πρὶν ἀπολέσθαι, σεμνή,
χειρός με δαιμόνων ἐκλυτρώσασθαι.

Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

**Τ**ὸν βότρυν τὸν πέπειρον ἀγεωργήτως
ἡμῖν ἡ βλαστήσασα
χαῖρε παρθένε ἄμωμε
γλεῦκος τὸ σωτήριον
ἐκ σοῦ ἀνέβλυσε
παῦσον τὴν ὀλέθριον
τῆς ἀπιστίας πλάνην καὶ μέθην ἅπα-
[σαν.

**Δ**ιάδημα τίμιον βασιλευόντων
μαρτύριον ἀγλάϊσμα
καὶ οὐδένος ἀπερίτρεπτον
ἱερέων καύχημα
ὤφθης σεβάσμιον·
ὅθεν καὶ τὸ χαῖρέ σοι
πιστῶς ἀναβοῶμεν, Θεοχαρίτωτε.

**Ο**ὐκ ἔχω βοήθειαν ἐκτός σου ἄλλην
οὐκ ἔχω ἀντίληψιν
ὁ δοῦλός σου, πανάμωμε,
ἐλέησον οἴκτειρον
νῦν ἀπολύμενον
καὶ περιστατούμενον
τῶν συμφορῶν τῷ πλήθει καὶ κινδυ-
[νεύοντα.

**Ο**ἱ κίνδυνοι ἄπειροι τὸ πένθος μέγα
αἱ βάσανοι ἄσπετοι
οὓς ἔτλην ὁ ταλαίπωρος·
διὸ καὶ προσπίπτω σοι,
εὐλογημένη σεμνή,
πάντων ἐλευθέρωσον
τῇ θείᾳ σου δυνάμει ὡς ὑπεράγαθος.

Ὠδὴ η'. Κάμινος ποτέ.

**Ἵ**να σοι πιστῶς
τὸ χαῖρε τῇ πανάγνῳ
ἀναβοήσωμεν οἱ δοῦλοί σου
κινδύνων ἀπάλλαξον
συμφορῶν καὶ περιστάσεων
ἡμᾶς τε καὶ κακώσεως πάσης ἄλλης
ἀνάγκης καὶ τῆς βαρβάρων σκαιό-
[τητος.

**Ὤ**φθη ἡ χαρὰ
ἐκ σοῦ ἀποτεχθεῖσα,
Θεογεννῆτορ πανάμωμε·
διὰ τοῦτο χαῖρέ σοι
εὐχαρίστως ἀναμέλπομεν
πᾶς ὁ λαός σου, Δέσποινα, χαῖρε λέγον-
[τες
μόνη τῶν γηγενῶν ἐξανάστασις.

**Ἄ**καρπον συκῆν
ἐξήλωσε τὴν πάλαι
ἀλλ' ὡς ἐκείνην μὴ ἐκκόψῃς με,
Χριστέ μου, τὸν ἄθλιον
πολυχρόνιον δίδου μοι
συγχώρησιν ὡς εὔσπλαγχνος καιρὸν
ὅπως προσάξω ἔργον ἔνθεον σοι,
[Δέσποτα.

**Ν**ὺξ με τῶν παθῶν
καὶ λεπρῶν κατέσχεν
καὶ σκοτασμὸς ἀπείρων θλίψεων
συνέχει τὸν δείλαιον·
ἀλλ' ἡ φῶς τὸ προαιώνιον
ἐκλάμψασα τοῖς πέρασι λάμψον μοι
φῶς ἐλέους, Θεομῆτορ πανάμωμε.

Ὠδὴ θ'. Ἀνάρχου γεννήτορος.

**Ν**αὸν τοῦ ὑψίστου σε
γινώσκοντες πολύφωτον
χαριστήριον αἶνον
σοὶ ἀνακράζομεν
χαῖρε ὀρθοδόξων τὸ κλέος
τῶν οὐρανῶν χαῖρε πλατυτέρα
ὑπέρτερον ὄχημα
τοῦ Δεσπότου χαῖρε ἄμωμε.

**Ἡ** μόνη βοήθεια
τῶν πίστει δεομένων σου
χερουβὶμ ὑπερτέρα
χαῖρε πανθαύμαστε
καὶ ἐνδοξοτέρα ὄντως
τῶν σεραφὶμ χαῖρε παναγία
ἀγγέλων τὸ καύχημα
καὶ βροτῶν τὸ ἐγκαλλώπισμα.

**Σ**ὲ μόνην βοήθειαν
καὶ τεῖχος ἐπιγράφομαι
καὶ χαράκωμα θεῖον



καὶ ὅπλον ἄρρηκτον
μόνη προστασία τοῦ κόσμου
μή με τὸν σὸν οἰκέτην παρίδῃς
ἀλλ' οἴκτειρον σῶσόν με
τὸν εἰς τέλος ἀπολύμενον.

Θεὸν ἐν ἐκείνοις

τὸν τῶν ἁγίων ἅγιον
νῦν δυσώπησον, κόρη,
ἐλεηθῆναί με
τὸν ἀπερριμμένον εἰς χάος
ἁμαρτιῶν καὶ πλημμελημάτων
καὶ τῆς σῆς δεόμενον
βοηθείας καὶ συνάρσεως.

---

## 65

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τῇ η' καὶ θ' ᾠδῇ « **Ἰωάννης Θ.** »

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΘΗΚΑΡΑ

Κωδ. Ι 39
Λαύρας.

***Ἦχος β'. Ὠδὴ α'. Ἐν βυθῷ κατέστρωσε.***

**Χ**αῖρε θρόνε πύρινε Θεοῦ·
χαῖρε πανακήρατε·
χαῖρε δι' ἧς ἡ φθορὰ ἐξωστράκισται·
χαῖρε πάντων ἄνασσα
τῶν κτισμάτων ὡς ἀληθῶς καὶ βασί-
[λισσα·
χαῖρε ἡ τῆς Εὔας
πᾶσαν τὴν ἀρὰν ἐξαφανίσασα.

**Ἀ**κενώτου πλούτου θησαυρὲ
χαῖρε κοσμοπόθητε
τὸν φυτουργὸν τῆς ζωῆς ἡ βλαστή-
[σασα·
χαῖρε πάντων, ἄχραντε,
τῶν περιττῶν τὸ ἐξοχώτατον ἄκουσμα·
χαῖρε τοῦ πεσόντος
πάλαι πρωτοπλάστου ἡ ἀνόρθωσις.

**Β**υθισθεὶς τοῖς πάθεσι τὸν νοῦν
καὶ κλυδωνιζόμενος
ταῖς συμφοραῖς ταῖς τοῦ βίου ὁ ἄ-
[θλιος
ἐπὶ σοὶ τὴν πᾶσάν μου
ἀνατίθημι προσδοκίαν, πανύμνητε
Δέσποινα, βοήθει μοι
καὶ μή με παρίδῃς τὸν ἀνάξιον.

**Ἀ**νυμνοῦμεν, ἄχραντε ἁγνή,
τόκον σου τὸν ἄχραντον
καὶ σχετικῶς προσκυνοῦμεν οἱ δοῦλοί
[σου·
τὸν γὰρ πολυμήχανον
καὶ πολύμορφον ἐθανάτωσας δρά-
[κοντα
τοῦτον τῶν παγίδων
σώσασα τὸ γένος τὸ ἀνθρώπινον.

Ὠδὴ γ'. Ἐξήνθησεν ἡ ἔρημος.

**Ἡ** κρήνη ἡ χρυσόρρειθρος
ἡ τὸ ὕδωρ βλύσασα
τὸ καθαρὸν καὶ ἄρρυπον
καὶ ποτίσασα τοὺς διψῶντας τὸ πρὶν
χαῖρε μήτηρ Κυρίου τοῦ Θεοῦ ἡμῶν.

**Φ**ωτὸς τοῦ τρισηλίου
χαῖρε δοχεῖον, ἄχραντε·
χαῖρε χαρᾶς ἡ εἴσοδος·
καὶ τῆς λύπης χαῖρε ἀντίπαλε·
χαῖρε πάντων ἀνθρώπων ἡ βοήθεια.

**Ἐ**λέησόν με, μόνη
Θεοκυῆτορ, κράζω σοι
ἡ τὸν παντελεήμονα
καὶ σωτῆρα πάντων κυήσασα
καὶ τῆς μελλούσης ῥῦσαι κατακρίσεως.

***Ε***ἰς νοῦν μου τὸ κριτήριον
ὅταν λάβω, Δέσποινα,
ἰλιγγιῶ καὶ δέδοικα
τοῦ υἱοῦ σου, Θεοχαρίτωτε,
ἀμετρήτων σφαλμάτων ὁ ὑπεύθυνος.

Ὠδὴ δ'. Ἐλήλυθας ἐκ Παρθένου.

***Τ***ὸ χαῖρέ σοι εὐχαρίστως βοῶμεν,
[πανύμνητε,
χαῖρε βάτε ἄφλεκτε·
χαῖρε ἀνήτου προμήθεια·
χαῖρε πλοῦτε ἄσυλε
τῶν δυστυχούντων, Παρθένε πανυ-
[μνητε.

***Β***ασίλισσα τῶν κτισμάτων ἁπάντων
[ἀνέκραζεν
ὁ προφήτης πάλαι σε
ἐκ δεξιῶν ἱσταμένην σε
τοῦ παμβασιλεύοντος·
χαῖρε διὸ ἐκβοῶμεν καὶ ἡμεῖς σοι,
[ἁγνή.

***Ο***ἱ θλίβοντες τὸν σὸν δοῦλον, ἁγνή,
[ἐπληθύνθησαν
καὶ πάντες ὠρύονται
καθάπερ σκύμνοι ἁρπάζειν με·
ἴδε οὖν, πανύμνητε,
καὶ τῆς αὐτῶν τυραννίδος ἐλευθέ-
[ρωσον.

***Σ***ὲ καύχημα καὶ λιμένα καὶ τεῖχος
[ἀπόρθητον
ὁ δοῦλός σου, Δέσποινα,
ὁ δυστυχὴς ἐπιγράφομαι·
σύ με νῦν ἐλέησον
καὶ συμφορῶν καὶ κινδύνων ἐλευθέ-
[ρωσον.

Ὠδὴ ε'. Ὁ φωτισμός.

***Ἡ*** τὸν ἀμνὸν
καὶ σωτῆρα τοῦ κόσμου
ἀποτεκοῦσα,
ὑπερθαύμαστε Θεοτόκε,
χαῖρε Παρθένε
τῶν ἀγγέλων τὸ κῦδος
καὶ τοῦ κόσμου ἔξοχον ἄκουσμα·
χαῖρε τοὺς φθαρέντας
τὸ πρὶν ἀφθαρτίσασα.

***Χ***αῖρε λαβὶς
φωτοφόρε καὶ θεία
ἡ τὸν τοῦ κόσμου
ἄνθρακα καθαίροντα ἁμαρτίας
φέρουσα μέσον
καὶ φωτίσαντα πάντα
τῇ ἀσχέτῳ αὐτοῦ θεότητι·
χαῖρε τῶν πιστῶν
προπύργιον ἄσειστον.

***Ν***έφος δεινὸν
διασκέδασον, κόρη,
ἐκ τῆς ψυχῆς μου
τῶν ἐπεμβαινόντων ποικίλων κινδύνων
καὶ τῆς χαρᾶς με
ταῖς ἀκτῖσι φαιδρῦνον,
Θεομῆτορ, τὸν δυστυχέστατον,
ἡ χαρὰν τεκοῦσα
τὴν θείαν καὶ ἄπαυστον.

***Ἡ*** ἀρρωγὴς
τῶν πιστῶν σωτηρία
ἡ μεσιτεία
τῶν ἐν ἁμαρτίαις κατεχομένων
τῶν θλιβομένων
ἡ θερμὴ προστασία
καὶ πεσόντων ἡ ἐπανόρθωσις
θείαις ἀνυμνείσθω
φωναῖς ὡς μητρόθεος.

Ὠδὴ στ'. Ἐν ἀβύσσῳ πταισμάτων.

***Χ***αῖρε θείου φωτὸς οἰκητήριον·
χαῖρε ἡ τὰ κάτω τοῖς ἄνω συνάψασα
τῷ ὑπὲρ φύσιν τόκῳ σου·
χαῖρε πάντων θερμὸν ἱλαστήριον.

***Χ***αῖρε θεῖον ἁγνείας θησαύρισμα·
χαῖρε χορηγὲ θεϊκῆς ἀγαθότητος·
χαῖρε παστὰς ὁλόφωτε
τῆς ἀφθόρου καὶ θείας νυμφεύσεως.

***Ἐ***ξελοῦ με καὶ σῶσον, πανύμνητε,
τῶν ἐπιζητούντων ἐχθρῶν τοῦ θηρεῦσαί
[με
καὶ ἐκ τῶν ἐπανισταμένων μοι
ἀσινῆ καὶ ἀλώβητον τήρησον.



***Ἡ*** ζωή μου ἀνήλωται ἅπασα
ἐν ταῖς λυπηροῖς τῶν παρόντων, πανά-
[μωμε,
διὸ χαρᾶς με, Δέσποινα,
καὶ ζωῆς αἰωνίου ἀξίωσον.

## ΚΑΘΙΣΜΑ

### Ἦχος β'. Εὐσπλαγχνίας.

***Ε***ὐσπλαγχνίας ὑπάρχουσα πηγὴ
συμπαθείας ἀξίωσον ἡμᾶς, Θεοτόκε,
βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα
δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου
καὶ ῥῦσαί με πυρὸς καὶ κολάσεως
καὶ πάσης τιμωρίας
καὶ σῶσον, ἁγνή, τὴν ταπεινήν μου
[ψυχήν.

Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

***Λ***υχνίαν ἑπτάφωτον σὲ ὁ προφήτης
προέβλεψε Πνεύματι
ἁγίῳ φωτιζόμενος
φέρουσαν, Δέσποινα,
[τὸ ἐπουράνιον φῶς]
ἡμεῖς δὲ τὸ χαῖρέ σοι
πιστῶς ἀναβοῶμεν, Θεοχαρίτωτε.

***Σ***κηνὴν θεοκόσμητον σέ, παναγία,
καὶ ἔμψυχον τέμενος
καὶ πύλην ἀδιόδευτον
τοῦ κτίστου γινώσκοντες
χαῖρέ σοι κράζομεν·
χαῖρε ἡ βοήθεια πιστῶν
καὶ πτωχευόντων πλοῦτε ἀσύλητε.

***Χ***ειμὼν ἀμετρήτων με περιταράττει
τὸν δοῦλόν σου θλίψεων
καὶ συμφορῶν τὸ πέλαγος
ποντίζει τὸν δείλαιον·
σὺ οὖν βοήθει μοι
καὶ τὴν χεῖρα δίδου μοι, ἁγνή,
ὥσπερ τῷ Πέτρῳ Χριστὸς καὶ σῶσόν
[με.

***Β***αρβάρων σκαιότητος καὶ πανουργίας
δεινῆς κατακρίσεως
ἀγχόνης καὶ κακώσεως
τὴν ποίμνην σου λύτρωσαι
καὶ πάσης ἄλλης ποινῆς
ἵνα σε δοξάζωμεν ἀεί,
εὐλογημένη καὶ ὑπερένδοξε.

Ὠδὴ η'. Κάμινος ποτέ.

***Ἴ***δε τηλαυγῶς
ἣν εἶδεν ὁ προφήτης
ὄρος Θεοῦ ὄρος τὸ ἅγιον
ὄρος τὸ πιότατον
ὄρος ὅπερ ᾑρετίσατο
τοῦ κατοικεῖν ὁ Ὕψιστος ὄρος
τετυρωμένον ἡ Θεοτόκος δοξάζεται.

***Ὡ***ς παναληθῆ
μητέρα τοῦ Ὑψίστου
πάντες πιστοί σε ὀνομάζομεν
γινώσκοντες κράζομεν·
χαῖρε κῆπε θεοφύτευτε
ξύλον ἐν μέσῳ φύσασα τὸν τῶν ὅλων
Δεσπότην καὶ φυτουργὸν τῆς ζωῆς
[ἡμῶν.

***Ἄ***λαστον δεινὸν
καὶ δάκρυα καὶ θρῆνον
καὶ στεναγμὸν μὴ ἀποπέμψῃς μου,
πανύμνητε Δέσποινα,
ἀλλ' οἰκτειρήσασα διάσωσον
καὶ ῥῦσαι πάσης θλίψεως πάσης ὀργῆς
καὶ νόσου καὶ συμφορῶν με τὸν
[δοῦλόν σου.

***Ν***εύρωσον, ἁγνή,
τὸν τῆς ψυχῆς μου τόνον
ἐξασθενήσαντα καὶ κείμενον
πτῶμα χαλεπώτατον
ἐξανάστησον καὶ σῶσόν με
ὡς μήτηρ τοῦ Κυρίου μου κράζοντα
εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν
[Κύριον.

Ὠδὴ θ'. Ἀνάρχου γεννήτορος.

***Ν***αὸν ἁγιάσματος
κηρύττομέν σε, ἄχραντε,
χαῖρε λέγοντες νύμφη
τοῦ ἀοράτου πατρὸς
χαῖρε συνανάρχου, Παρθένε,
μῆτερ υἱοῦ· χαῖρε παναγία
δι' ἧς ἀνυψώθημεν
ἀπὸ γῆς πρὸς τὰ οὐράνια.

*Ἡ* πάντων δεσπόζουσα
τῶν ποιημάτων, ἄχραντε,
χαῖρε βάθος ἀγγέλοις
ἀκατανόητον·
χαῖρε ἀκατάληπτον ὕψος·
χαῖρε σεμνὴ χαῖρε πανανία
δι' ἧς ἐλυτρώθημεν
τῆς ἀρχαίας ἀποφάσεως.

*Στενάζω* καὶ δάκρυσιν
ἀδιαλείπτοις συνέχομαι
ἐννοῶν μου τὰ πλήθη
τῶν ἀμετρήτων παθῶν

καὶ τὰς ἀνεκδιηγήτους ὁ τάλας
προσκαρτερῶν κολάσεις ἐξ ὧν με
ἀπήμονα τήρησον
τὸν σὸν δοῦλον, Θεονύμφευτε.

*Θεὸν* ὃν ἐκύησας,
Θεογεννῆτορ Δέσποινα,
βασιλέα τῶν ὅλων
καὶ λυτρωτὴν τοῦ παντὸς
αἴτησαι ῥυσθῆναι κινδύνων
ποίμνην τὴν σὴν ἐχθρῶν πολεμίων
καὶ πάσης κακώσεως
καὶ φθορᾶς καὶ περιστάσεως.

---

66

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τῇ η' καὶ θ' ᾠδῇ «*Ἰωάννης Θ.*»

## ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΘΗΚΑΡΑ

Κώδ. Ι 39 Λαύρας.

***Ἦχος β'. Ὠδὴ α'. Βυθοῦ ἀνεκάλυψε.***

*Χαρᾶς* φωτεινότατον δοχεῖον
πλήρωσον χαρᾶς μου τὴν καρδίαν
συμφορῶν διασκεδάσασα τὸ σκότος
τὸ χαῖρε ὅπως βοήσω
χαρμονικῶς σοι, πανύμνητε.

*Ἡ* κόσμῳ τεκοῦσα σωτηρίαν
χαῖρε πανευλόγητε Παρθένε·
χαῖρε κλῖμαξ ἀπὸ γῆς ἀνάγουσα
πρὸς ἐπουράνιον ὕψος,
ἄχραντε, τοὺς πεπτωκότας ἡμᾶς.

*Ζωὴ* καὶ ἀντίληψις ὑπάρχεις
σκέπη καὶ χαράκωμα καὶ προστασία
καὶ κραταίωμα καὶ καύχημα καὶ σθένος
τῶν ὁλοψύχῳ καρδίᾳ
ἐπιζητούντων σε, Δέσποινα.

*Λῃσταῖς* ψυχοφθόροις ἐμπεσόντα
καὶ τραυματισθέντα με καιρίως
καὶ ἡμιθνῆτον ὑπάρχοντα, Παρθένε,
σύ με ὑγείωσον μόνη
κατερραγμένων ἀνόρθωσις.

Ὠδὴ γ'. Στερέωσον ἡμᾶς ἐν σοί.

*Ἀγγέλων* χαρμονὴ χαῖρε πανθαύμαστε
ἀνθρώπων ἡ ἄρρηκτος προστασία
καὶ μαρτύρων τὸ ἐνίσχυμα
βασιλέων τὸ κέρας, χαῖρε Δέσποινα.

*Τὸ* ξύλον τῆς ζωῆς χαῖρε παράδεισε
ἐν μέσῳ βλαστήσασα παραδόξως
οὗ ἡ τρυφῶντες οὐ θνήσκουσιν
ὡς Ἀδὰμ τῇ τοῦ ξύλου ἀπογεύσει ποτέ.

*Πολλοῖς* περιπεσόντα με τὸν ἄθλιον
κινδύνοις πρὸς σὲ τὴν πᾶσαν ἐλπίδα
ἀνατίθημι ὁ δοῦλός σου,
Θεοτόκε Παρθένε, μὴ παρίδῃς με.

*Ἰσχὺν* καὶ τὴν ὀφρὺν καὶ πανουργεύ-[ματα
καὶ θράσος κατάβαλε, πανανία,
καὶ τὴν ἔπαρσιν ταπείνωσον
τῶν ἀεὶ πολεμούντων με τὸν δοῦλόν σου.



Ὠδὴ δ'. Ὑμνῶ σε· ἀκοὴν γάρ.

*Τῶν* θείων
προφητῶν τὸ κήρυγμα,
πανανία χαῖρε Παρθένε,
τὸν γὰρ αὐτοῖς ἀψευδῶς
πολλῶν πρὸ χρόνων λαληθέντα
σαρκὶ ἀπεκύησας καὶ γάλακτι
μητροπρεπῶς ὡς νήπιον ἐξέθρεψας.

*Τὸ* θεῖον
ἀποστόλων καύχημα,
ἀπειρόγαμε χαῖρε κόρη·
χαῖρε αὐγὴ αὐτὴ φῶς
τὸν ἥλιον τοῖς ἐν σκότει βυθοῦ
καθημένοις ἀνατείλασα·
χαῖρε τοῦ κόσμου σκέπη καὶ ἀντίληψις.

*Βυθός* με
ἀμετρήτων θλίψεων
καὶ κινδύνων περικαλύπτει
καὶ συμφορῶν πέλαγος
ποντίζει ὅλον καὶ συνέχει
πρὸς σὲ καταφεύγοντα μὴ παρίδῃς με,
παρθενομῆτορ Δέσποινα, τὸν δοῦλόν [σου.

*Ὡς* πάλαι
Χαναναία κράζω σοι
ἐλεήμον ἐλέησόν με·
καὶ γὰρ ψυχὴν κέκτημαι
κακῶς ὁ τάλας δαιμονῶσαν
πολλοῖς κρατουμένην πλημμελήμασι
καὶ τὸν σὸν φόβον ὅλως οὐ προσέ-[χουσαν.

Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

*Χαῖρε* χρυσῆ κιβωτὲ
κατασκηνώσεως τοῦ νοητοῦ φέρουσα
κόσμον, ἁγνή· χαῖρε ἡ τὸ φῶς
ἀνατείλασα ἡμῖν·
χαῖρε ἡ τὸν ζόφον
τῆς πλάνης μειώσασα.

*Χαῖρε* παρθένων λαμπρὸν
καὶ περιβόητον, ἁγνή, ἄκουσμα·
χαῖρε φαιδρὸν καὶ ἔνδοξον κάλλος
μητέρων ἀληθῶς·
χαῖρε ἡ χωρήσασα
Θεὸν τὸν ἀχώρητον.

*Ὑπὸ* πταισμάτων πολλῶν
νῦν βυθιζόμενον, ἁγνή, ἔγειρον
τῇ κραταιᾷ καὶ παντοδυνάμῳ
χειρί σου, ἀγαθή,
ὅπως εὐχαρίστως
δοξάζω σε, ἄχραντε.

*Δέσποινα* μήτηρ Χριστοῦ
καταφυγὴ χριστιανῶν ῥῦσαί με
δοῦλον τὸν σὸν πάσης ἁμαρτίας
καὶ πάσης ἀπειλῆς
ἐχθρῶν κακουργίας
καὶ πάσης στενώσεως.

Ὠδὴ ς'. Ἦχον ῥημάτων.

*Χαῖρε* θυρῶν ἀνοικτήριον
τοῦ παραδείσου, ἄχραντε ἁγνή·
χαῖρε χαρμονὴ
πεπτωκότων ἔγερσις·
χαῖρε πάντων τῶν εἰς σὲ
προσδοκώντων ἔγερσις.

*Χαῖρε* θερμὸν ἱλαστήριον
ἁμαρτανόντων, Δέσποινα ἁγνή·
χαῖρε τεῖχος
τῶν πιστῶν καὶ καύχημα·
χαῖρε πόλις τοῦ Θεοῦ
καὶ φαιδρὸν παλάτιον.

*Σύ* μου τὸ καύχημα, Δέσποινα,
σὺ εἶ προστάτις σὺ καταφυγὴ
σύ μου σκέπη
σὺ τὸ φυλακτήριον
σύ με σώζεις ἐκ παντὸς
πειρασμοῦ τὸν δοῦλόν σου.

*Ὑπεραγία* πανάμωμε
τὴν ῥυπωθεῖσαν πάθεσι πολλοῖς
ἐναγέσι
ψυχήν μου καθάρισον
καὶ μελλούσης με ὀργῆς
λύτρωσαι καὶ κρίσεως.

# ΚΑΘΙΣΜΑ

***Ἦχος β'. Τὰ ἄνω ζητῶν.***

*Ῥανίσιν*, ἁγνή,
τοῦ ἐλέους σου, πανάχραντε,

ἀθλίαν μου ψυχὴν
φλογμῷ τῶν παραπτώσεων
ἐκτακεῖσαν, πάναγνε, καταδρόσισον
καὶ ῥύπου κάθαρον
καὶ φρικτῆς καταδίκης με λύτρωσαι
καὶ πυρὸς αἰωνίου ἐλευθέρωσον.

ᾨδὴ ζ'. Ῥήτορες ἀνεδείχθησαν.

**Σ**τάμνον σε κεκτημένην τὸ μάννα
ὑπερφυῶς τῆς ζωῆς
ἐπιγινώσκοντες χαῖρε
οἱ διὰ σοῦ σωθέντες κραυγάζομεν
ὁ ὑπέρθεος
τῶν πατέρων καὶ ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

**Β**άτον σε καιομένην οὐδόλως
τῷ τῆς θεότητος πυρὶ
φλογιζομένην δέ, κόρη,
κατανοοῦντες πόθῳ κραυγάζομεν,
παναμώμητε,
χαῖρε γνώρισμα λαμπρὸν
τῆς χάριτος, Παρθένε.

**Κ**όπασον τῶν παθῶν μου τὸν σάλον
καὶ στεναγμὸν καὶ κοκκυτὸν
τὴν ἀγριαίνουσαν φλόγα,
Θεομῆτορ, τάχος κατάσβεσον
μελῳδοῦντός μου
τῶν πατέρων καὶ ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

**Φ**ρίττω σου τὸ κριτήριον, Λόγε,
κατανοῶν μου τὰ πολλὰ
τῶν ἀμετρήτων σφαλμάτων
πανωθλιώτατα ἔργα, Κύριε·
σύ με λύτρωσαι
τῆς τεκούσης σε ἁγνῆς
λιταῖς ὡς ἐλεήμων.

ᾨδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

**Ἰ**δοὺ σοι χαῖρε τῇ σεμνῇ
ἀνακράζομεν πιστοὶ χαρὰν τῇ μόνῃ
ἐπὶ γῆς τοῖς ἐν κόσμῳ
ὑπερφυῶς τὴν ζωὴν
ὡς ὄντως τετοκυίᾳ, ἄχραντε·
ὅθεν σε ὑμνοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

**Ὠ**ραιοτάτη χελιδὼν
χαῖρε Δέσποινα ἁγνὴ εὐλογημένη
ἡ τὸν κόσμον χειμῶνος
λυτρωσαμένη, σεμνή,
καὶ ἔαρ τοῖς πᾶσιν ἐκλάμψασα
χαίροις οἰκουμένης
τὸ καύχημα καὶ κράτος.

**Ἄ**γονε σπεῦσον ψυχὴ
εὐτεκνίαν ἀρετῶν Θεῷ προσάξαι
μὴ ἀνέτοιμος μείνῃς
καὶ τοῖς τοῦ ᾅδου μυχοῖς
βληθήσῃ ἀνόνητα κλαίουσα
σώθητι πρεσβείαις
τῆς πανυμνήτου κόρης.

**Ν**έον ὡς βρέφος ἀληθῶς
ὑπεγέννησας, ἁγνὴ παρθενομῆτορ,
τὸν πρὸ πάντων αἰώνων
ἐκ τοῦ ἀνάρχου πατρὸς
ἀρρεύστως γεννηθέντα, ἄχραντε,
ὃν ὑπὲρ τῆς πάντων
δυσώπει σωτηρίας.

ᾨδὴ θ'. Ἀπορεῖ πᾶσα γλῶσσα.

**Ν**αὸς καὶ πύλη, ἄχραντε,
φωτὸς ἀνεσπέρου
ὑπάρχεις μόνη χαῖρε διὰ τοῦτο
βοῶμεν εὐχαρίστως
οἱ τῷ ὑπὲρ φύσιν τόκῳ σου
σωθέντες, κόρη·
χαῖρε δι' ἧς ἀφθάρτου
ἐτύχομεν ζωῆς
πάλαι οἱ τῇ φθορᾷ καὶ τῷ ᾅδῃ
καθυποκύψαντες.

**Ἡ** τῶν ἀνθρώπων μόνη
κραταιὰ προστασία
καὶ τῶν ἀγγέλων καύχημα χαρὰ
καὶ εὐφροσύνη, Θεοτόκε,
χαίροις ἀσθενῶν ἐπίσκεψις
καὶ δυστυχούντων
ἀπαλλαγὴ ὡς ὄντως
καὶ τέρψις ἀσφαλὴς
πάντων τῶν θλιβομένων ἡ σκέπη
καὶ ἀγαλλίασις.



**Σ**ύ με νῦν, κόρη ἁγία,
κατερραγμένον εἰς γόος
καὶ νεκρὸν ὄντα ζώωσον ὡς Λάζαρον
ὁ σὸς υἱός, Παρθένε,
καὶ τῆς ἀπορρήτου δόξης σου ἀξίωσον
καὶ φωσφόρον
τὴν ταπεινήν μου πλέξον
ψυχὴν ὡς ἀγαθὴ
ὅπως χριστικῶς σε δοξάζω
τὴν σωτηρίαν μου.

**Θ**εὲ ἁπάντων, ταῖς τῆς παναμώμου
λιταῖς προσδέχου
καὶ τὸν ἐπικείμενον τοῖς δούλοις σου
ἀγῶνα κόπασον
ὡς παντοδύναμος καὶ τὴν εἰρήνην
ταῖς ἐκκλησίαις δίδου
καὶ τῶν δεινῶν τὸν σάλον
σβέσον ὡς ἐλεήμων
καὶ μόνος παντεπεράγαθος.

## 67

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τῇ η' καὶ θ' ᾠδῇ «***Ἰωάννης Θ.***»

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΘΗΚΑΡΑ

Κῶδ. Γ 39
Λαύρας.

***Ἦχος β'. ᾨδὴ α'. Δεῦτε λαοί.***

**Χ**αῖρε χαρὰν
τοῖς ἐν πελάγει τῶν θλίψεων
βυθιζομένοις, πάναμνε,
ἐξανατείλασα·
χαῖρε κόσμου κυρία
ἡ πάντων ἀνωτέρα·
χαῖρε πανύμνητε.

**Ἡ** τῶν πιστῶν
καταφυγή, ἀειπάρθενε,
τοὺς ἐπὶ σοὶ προσφεύγοντας
ῥῦσαι κακώσεως
συμφορῶν καὶ κινδύνων
καὶ πάσης ἁμαρτίας,
Θεοχαρίτωτε.

**Χ**αῖρε πιστῶν
τὸ ἀκλινέστατον στήριγμα
χαῖρε ἀστὴρ πολύφωτε
καὶ πολυπόθητε
ἐν τῷ κόσμῳ εἰσάγων
τὸν ἥλιον τῆς δόξης
χαῖρε πανάχραντε.

**Σ**ύ μου ἰσχὺς
σύ μου ἐλπὶς καὶ κραταίωμα
σύ μου χαρὰ καὶ στήριγμα
καὶ καταφύγιον
σύ μου σκέπη καὶ τεῖχος
καὶ σὲ ἐπικαλοῦμαι
σῶσόν με, Δέσποινα.

ᾨδὴ γ'. Στερέωσον ἡμᾶς.

**Ἀ**νόρθωσις πιπτόντων χαῖρε ἄμωμε
δαιμόνων κατάπτωσις ὀλεθρία
πιστῶν τίμιον διάδημα
βασιλέων τε νῖκος χαῖρε Δέσποινα.

**Ἀ**φθόρου τοκετοῦ μήτηρ ἀπείρανδρε
ὑπάρχεις, πανάμωμε Θεοτόκε,
διὰ τοῦτο πάντες χαῖρέ σοι
ὁμοφρόνως κραυγάζομεν οἱ δοῦλοί σου.

**Σ**τενάζοντά με νῦν δέξαι καὶ σῶσόν με
ἐκ βάθους ὡς ἔσωσας τὸν Τελώνην
ἱκεσίαις τῆς τεκούσης σε
ὡς οἰκτίρμων Χριστὲ καὶ ὑπεράγαθος.

**Κ**ακώσει προσβολαῖς ὁ πολυμήχανος
ζητεῖ με πολλῶν κακῶν καὶ κινδύνων
ἀλλά σύ με τούτων λύτρωσαι,
παναγία Παρθένε, τὸν οἰκέτην σου.

Ὠδὴ δ΄. Ὑμνῶ σε· ἀκοὴν γάρ.

**Χ**ωρίον
ἀχωρήτου φύσεως
χαῖρε ἄχραντε Θεοτόκε·
χαῖρε ζωῆς πρόξενε
καὶ θείας ὄντως θυμηδίας,
ἁγνή, χαῖρε κλίμαξ ἐπουράνιε
δι' ἧς ἐν γῇ κατέβη ὁ ὑπέρθεος.

**Δ**οχεῖον
φωτεινὸν τοῦ κτίσαντος
χαῖρε ἄχραντε Θεοτόκε·
χαῖρε ζωῆς ἄσταχυν
βλαστήσασα ἀγεωργήτως
ἡμᾶς τὸν πλουσίως διατρέφοντα·
χαῖρε τὰ πάντα σώσασα τῷ τόκῳ σου.

**Ἀ**σπλάγχνου
τρόπους παρεζήλωσα
τοῦ πλουσίου καὶ παρορῶν μου
πρὸ τῶν θυρῶν κείμενον
πτωχεύσαντα τῆς μετανοίας
τὸν νοῦν μὴ εἰς πῦρ ἐκπέμψῃς ἄσβεστον,
Χριστὲ σωτήρ, ἀλλ' ἀνακάλεσαι.

**Ἰ**δών σου
τοῦ λαοῦ τὴν κάκωσιν
ὡς οἰκτίρμων, Χριστέ μου Λόγε,
καὶ συμπαθὴς ἐλέησον οἴκτιρμον
πολέμησον τοὺς πολεμοῦντας
ἐχθροὺς τῇ πρεσβείᾳ τῶν ἁγίων σου
καὶ τῆς ἀσπόρως, οἶκτιρ, κυησάσης σε.

Ὠδὴ ε΄. Ὁ τοῦ φωτὸς χορηγός.

**Ἀ**πηλπισμένων ἐλπὶς
καὶ πενομένων θησαυρὲ ἄσυλε
χαῖρε ἁγνή· χαῖρε ζωοδότην
ἡ τέξασα Χριστόν·
χαῖρε ἡ τὰ πάντα
φωτίσασα, ἄχραντε.

**Χ**ειμαζομένων λιμὴν
καὶ πλανωμένων ὁδηγὲ ἄτρεπτε,
χαῖρε σεμνή· χαῖρε φωτοδότην
ἡ τέξασα Χριστόν·
χαῖρε δυστυχούντων
ἐλπὶς ἀκαταίσχυντε.

**Π**ολυειδῶν πειρασμῶν
καὶ συμφορῶν παντοδαπῶν πέλαγος
περικυκλεῖ νῦν καὶ πρὸς βυθόν με
καθέλκει κραταιῶς,
Δέσποινα Παρθένε,
οἰκτείρασα σῶσόν με.

**Μ**ὴ καταισχύνῃς ἐμὲ
ἐν τῇ ἡμέρᾳ τῇ φρικτῇ, Δέσποινα,
μηδὲ φωνῆς ἀκούσω ὁ τάλας
εἰς πῦρ τὸ χαλεπὸν
ἐξαποστελλούσης
ἐνδίκως τοὺς ἄφρονας.

Ὠδὴ ϛ΄. Ἐν ἀβύσσῳ πταισμάτων.

**Χ**αῖρε πύλη Θεοῦ ἀδιόδευτε·
χαῖρε τῆς ἀπάτης τὴν κάμινον σβέσασα·
χαῖρε δι' ἧς μοι δέδωκεν
ἡ φλογίνη ῥομφαία τὴν εἴσοδον.

**Χ**αῖρε τόπε σεπτοῦ ἁγιάσματος·
χαῖρε τῶν εἰδώλων τὸν δόλον ἐλέγξασα·
χαῖρε δι' ἧς ἐλάβομεν
παραδείσου τὴν πρώην ἀπόλαυσιν.

**Π**αναγία Παρθένε, διάσωσον
νῦν με τὸν οἰκέτην σου δεσμῶν καὶ θλίψεων
τὸν ὁλοψύχως, ἄχραντε,
ἐπὶ σὲ τὴν ἐλπίδα τιθέμενον.

**Μ**ὴ παρίδῃς τὸν δοῦλόν σου, Δέσποινα,
νῦν ὑπὸ πταισμάτων πολλῶν συνεχόμενον
τῷ σῷ δὲ κράτει λύτρωσαι
προσφυγόντα τῇ σκέπῃ σου, πάναγνε.

## ΚΑΘΙΣΜΑ

### *Ἦχος β΄. Εὐσπλαγχνίας.*

**Τ**ῆς ψυχῆς μου τὴν ῥαθυμίαν τὴν χαλεπὴν
καὶ καρδίας μου τὴν πώρωσιν,
Θεοτόκε, ἐπινεύσασα
ἴασαι ταῖς πρεσβείαις σου



καὶ σῳζομένων μερίδος καταξίωσον
λυτρουμένη με σκότους καὶ κολάσεως
ἡ μόνη ἐλπίς μου καὶ παράκλησις.

Ὠδὴ ζ΄. Ῥύστορες ἀνεδείχθησαν.

**Ὄ**ρος σε γλυκασμὸν ἀποστάζον
τὸν νοητὸν ὡς ἀληθῶς
κατανοοῦντες, Παρθένε,
χαρμονικῶς τὸ χαῖρέ σοι κράζομεν
ἀναμέλποντες
ὁ τῶν πατέρων καὶ ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

**Σ**τέναξον, ὦ ψυχή μου ἀθλία,
καὶ ἀπὸ βάθους στεναγμὸν
τῇ ὑπεράγνῳ τεκούσῃ
τὸν λυτρωτὴν καὶ κτίστην σου βόησον
ὅπως ῥύσηται
σὲ παθῶν καὶ πειρασμῶν
καὶ τῆς μελλούσης δίκης.

**Π**ᾶσάν μου τὴν ἐλπίδα, Παρθένε,
ἐπὶ τὴν σὴν ὁ δυστυχὴς
προσανατίθημι σκέπην
μή με παρίδῃς ψάλλοντα, ἄχραντε,
ὁ ὑπέρθεος
τῶν πατέρων καὶ ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

**Ἵ**να τὸ χαῖρέ σοι πιστῶς
ἐκβοήσω τῇ σεμνῇ ὁ σὸς οἰκέτης
ἀπὸ πάσης ἀνάγκης
ἀπὸ παντὸς πειρασμοῦ
καὶ νόσου καὶ θλίψεως λύτρωσαι
καὶ τῆς αἰωνίου,
ἁγνή, με καταδίκης.

**Ὡ**ραιοτάτη ἀνθηδὼν
ἡ λειμῶνα τῆς ζωῆς διϊπταμένη
καὶ ἐκλάμψασα στέφος
τῆς παρθενίας λαμπρόν,
Παρθένε, χαῖρε, πανακήρατε·
χαῖρε τῶν περάτων
ἐλπὶς καὶ προστασία.

**Ἀ**ποκοπῶν ὁ δυστυχὴς
εἰς τὸ πέλαγος, ἁγνή, τοῦ σοῦ ἐλέους,
παναγία Παρθένε,
οὐκ ἀπελπίζω τῆς σῆς
ὁ τάλας τυχεῖν ἐπισκέψεως
οἴκτειρον δέομαι
τὸν τεταπεινωμένον.

**Ν**έον ὡς βρέφος ἀληθῶς
ἀπεγέννησας, ἁγνή, τὸν πρὸ αἰώνων
ἐκ πατρὸς γεννηθέντα
παλαιωθεῖσαν ἡμῶν
τὴν φύσιν νεουργοῦντα, Δέσποινα,
ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

**Ν**ενοσηκότων τὸ ἄκος
καὶ καμνόντων, Παρθένε,
ὑπάρχεις ἰατὴρ ὡς ἀληθῶς
χαῖρέ σοι ὅθεν κραυγάζομεν
τῇ πανσέπτῳ καὶ μόνῃ
ἐλπίδι καὶ χαρᾷ τῶν γηγενῶν,
παναγία Παρθένε,
οἱ διὰ σοῦ σῳζόμενοι.

**Ἡ** οὐρανώσασα φύσιν
τὴν ἡμῶν γεωθεῖσαν
καὶ φθείρασα τὸν φθείραντα
τῇ ὑπὲρ φύσιν κυήσει σου·
χαῖρε πάνσεμνε κόρη
παλάτιον καὶ θρόνε ὑψηλοῦ
φοβεροῦ βασιλέως·
χαῖρε βροτῶν διάσωσμα.

**Σ**τῆσον τὸν σάλον, Παρθένε,
καὶ τὸν κλύδωνα παῦσον
τῶν νῦν ἐγειρομένων κατ' ἐμοῦ
τρικυμιῶν καὶ κακώσεων
καὶ πρὸς θείαν γαλήνην
καὶ ὅρμον μεταρρύθμισον, ἁγνή,
ἵνα πίστει καὶ πόθῳ
δοξάζομέν σε, ἄχραντε.

**Θ**εοχαρίτωτε κόρη
τοὺς ἡμᾶς πολεμοῦντας
πολέμησον ὡς μόνην κραταιὰν
ἔχουσα δύναμιν, Δέσποινα,
καὶ κατάρραξον τούτων
τὸ θάρσος καὶ τὴν ἔπαρσιν εἰς γῆν
ἵνα πίστει καὶ πόθῳ
ἀπαύστως σε γεραίρωμεν.

# 68

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τῇ η' καὶ θ' ᾠδῇ « *Ἰωάννης Θ.* »

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΘΗΚΑΡΑ

Κώδ. Ι 39 Λαύρας.

***Ἦχος β'. Ὠδὴ α'. Δεῦτε λαοί.***

**Χ**αῖρε ἁγνὴ
τὴν φωτοφόρον αὐγάσασα
ἡμέραν τοῖς καθεύδουσι
ἐν σκότει, πάναγνε,
καὶ σκιᾷ τῆς ἀπάτης·
χαῖρε ἡ τἀναντία
εἰς ἓν συνάψασα.

**Ἡ** τὴν χαρὰν
τῇ παραδόξῳ κυήσει σου
τοῖς ἐν τῇ γῇ πηγάσασα
χαῖρε ἀκήρατε
καὶ πανθαύμαστε κόρη·
χαῖρε τῆς ἐκκλησίας
στῦλε ἀσάλευτε.

**Κ**αταφυγὴ
χριστιανῶν ὡς ὑπάρχουσα
τοὺς ἐπὶ σοὶ προσφεύγοντας
ῥῦσαι, Θεόνυμφε,
συμφορῶν καὶ κινδύνων
καὶ πάσης ἁμαρτίας
καὶ περιστάσεως.

**Μ**όνη βροτῶν
πέφυκας ἕρκος καὶ στήριγμα
καὶ μόνη πάντας λύτρωσαι
τῶν συνεχόντων νῦν
ὀλεθρίων βαρβάρων,
ἀνύμφευτε Παρθένε
Θεοχαρίτωτε.

Ὠδὴ γ'. Στερέωσον ἡμᾶς.

**Ἁ**πάσης οἰκουμένης τὸ ἐντρύφημα
τὸ κλέος τῶν πίστει σε δοξαζόντων
χαῖρε μόνη παντευλόγητε
ἡ τὰ πάντα τῷ τόκῳ σου φωτίσασα.

**Ἀ**γγέλων ἀρχαγγέλων ἀγαλλίαμα
ἀνθρώπων ἀκοίμητε προστασία
χαῖρε μήτηρ ἀπειρόγαμε
ἡ τὸν κόσμον τῆς πλάνης ἀπαλλάξασα.

**Ε**ἰς νοῦν ὅταν σοῦ λάβω τὸ κριτήριον,
σωτήρ μου, ἐξίσταμαι καὶ πτοοῦμαι
τὰς κολάσεις ἐκδεχόμενος
ὧν περ ῥῦσαι πρεσβείαις τῆς τεκούσης σε.

**Ἐ**χθρῶν ἐπιβουλῆς καὶ μαστιγώσεως
τοὺς δούλους ἀπάλλαξον, Θεοτόκε,
οὓς δουλείας ἠλευθέρωσας
τοῦ δεινοῦ σοφιστοῦ καὶ πολεμήτορος.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε τὴν ἀκοήν.

**Χ**αῖρε γῆς τὸ θεμέλιον
σὺ ἐν νηδύϊ, ἄχραντε Παρθένε,
ἀστενοχωρήτως μόνη βαστάσασα.

**Χ**αῖρε γῆς πάσης Δέσποινα
καὶ οὐρανῶν καὶ πάντων ποιημάτων·
τὸν γὰρ κτίστην τούτων σαρκὶ ἐκύησας.

**Ἀ**πὸ πάσης στενώσεως
καὶ πειρασμῶν καὶ ζάλης καὶ κινδύνων,
Παναγία, ῥῦσαί με τὸν οἰκέτην σου.

**Δ**υσωποῦμέν σε, ἄχραντε,
τὴν ἀρραγῆ τοῦ κόσμου σωτηρίαν
οἰκτειρῆσαι πάντας τοὺς σοὶ προστρέχοντας.

Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

**Χ**αῖρε ζωῆς φωτεινὸν
καὶ καθαρώτατον, ἁγνή, τέμενος·
χαῖρε πηγὴ ἀκενώτου ῥεῖθρου
καὶ θείου ἀληθῶς·



χαίροις οἰκουμένης
ἐλπὶς ἀκαταίσχυντε.

**Χ**αίροις ἀστὴρ μυστικὸν
τὸν φαεινὸν καὶ φωτεινὸν ἥλιον
πάσῃ τῇ γῇ ἐμφαίνων τὸ σκότος
διώκοντα, ἁγνή,
τῆς κακοπιστίας
Χριστὸν τὸν Θεὸν ἡμῶν.

**Ἡ**μαρτηκότα, σωτήρ,
ὥσπερ τὴν πόρνην ἐν κλαυθμῷ πρόσδεξαι
καὶ μὴ εἰς πῦρ ἐκπέμψῃς γεέννης
ὡς μόνος ἀγαθὸς
ταῖς τῆς πανααχράντου
μητρός σου δεήσεσιν.

**Ἀ**πὸ παντὸς πειρασμοῦ
καὶ τοῦ συνέχοντος ἀεὶ κλύδωνος
ὡς ἀγαθὴ ῥῦσαι καὶ παντοίας
ἐχθρῶν ἐπιβουλῆς,
Δέσποινα Παρθένε,
τὸν ἄθλιον δοῦλόν σου.

Ὠδὴ στ'. Ἐν ἀβύσσῳ πταισμάτων.

**Χ**αῖρε κόσμου προπύργιον ἄσειστον·
χαῖρε ἡ τῆς πλάνης τὸν ζόφον σκεδάσασα·
χαῖρε Ἀδὰμ καινούργησις
τοῦ φθαρέντος ἀπάτῃ τοῦ ὄφεως.

**Χ**αῖρε πάντων πιστῶν καταφύγιον·
χαῖρε ἀρχηγὲ τῆς βροτῶν ἀναπλάσεως·
χαῖρε τῆς Εὔας ἔγερσις
τῆς πεσούσης τῇ πλάνῃ τοῦ δράκοντος.

**Τ**οῖς ἀμέτροις ὁ ἄθλιος τραύμασι
τραύματα προστίθημι πάντα ἀνίατα·
σὺ δέ μοι θεῖα φάρμακα
ἐπιθεῖσα, Παρθένε, θεράπευσον.

**Ὡ**ς τὸν ἄσωτον δέξαι με, Δέσποτα,
καὶ ὥσπερ τὴν πόρνην, σωτήρ, μὴ παρίδῃς με
ὡς τὸν Δαυὶδ ἐλέησον
ταῖς λιταῖς τῆς ἀσπόρως τεκούσης σε.

## ΚΑΘΙΣΜΑ

***Ἦχος β'. Εὐσπλαγχνίας.***

**Θ**είας εἰσόδου με, σεμνή, καταξίωσον
ἱκεσίαις ταῖς σαῖς, ἀειπάρθενε,
δεσμοὺς τῶν δεινῶν μου παθῶν διαρρῆξασα
φλογός τε τῆς μελλούσης ἐλευθέρωσον.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

**Ἀ**δύτου φωτὸς
χρυσαυγέστατον, ἁγνή, χαῖρε δοχεῖον
καταπιπτόντων ἐπανόρθωσις
καὶ ἱσταμένων βεβαίωσις
χαῖρε τοῖς πιστῶς μελῳδοῦσι
σωτηρία, πανάμωμε
εὐλογημένη, ἡ Θεὸν
σαρκὶ κυήσασα.

**Ἀ**φράστου χαρᾶς
ἐνδιαίτημα φαιδρὸν χαῖρε Παρθένε
ἀρχιερέων ἐγκαλλώπισμα
καὶ τῶν δικαίων ἀγλάϊσμα·
χαῖρε προστασία καὶ σκέπη
τῶν βοώντων ἑκάστοτε
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

**Σ**ὲ μόνην, ἁγνή,
ἐπιγράφομαι φρουρὸν καὶ ὅπλον ἄρρηκτον
σὲ προστασίαν ἀκαταίσχυντον
σκέπην καὶ τεῖχος ἀπόρθητον
ἄκλυστον λιμένα ἐν ζάλαις
καὶ χαρμονὴν ἐν ταῖς θλίψεσι
καὶ ἰσχυρὰν καταφυγὴν
ἐν περιστάσεσιν.

**Π**ολλῶν πειρασμῶν
φλογοφόρων καὶ πυκνῶν παῦσον τὸ νέφος
τῶν συνεχόντων καὶ θλιβόντων με
καὶ ἀκριτῶς μαστιζόντων με,
μόνη προστασία τοῦ κόσμου,
καὶ ἀνάστησον ψάλλοντα
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

*Ἱ*εροπρέπαις ἐν φωναῖς
γεγηθότες οἱ πιστοὶ ἀναβοῶμεν
χαῖρε ἄμωμε νύμφη
τοῦ προανάρχου πατρὸς
καὶ μήτηρ υἱοῦ συνανάρχου τε·
ἡ τοῦ κόσμου χαῖρε
προστάτις, Θεοτόκε.

*Ὠ*δὴν προσάγω σοι, σεμνή,
τοῦ ἀγγέλου μελῳδῶν, χαῖρε Παρθένε·
χαῖρε πάγκαλλε κόρη·
χαῖρε ἀγγέλων χαρὰ
καὶ ὄντως ἀκόρεστος ἔρεσις·
χαῖρε βασιλέων
τὸ κέρας ὀρθοδόξων.

*Ἀ*πὸ πασῶν με συμφορῶν
καὶ κακίας καὶ ὀργῆς θανατηφόρου
ἐλευθέρωσον, κόρη,
καὶ μὴ παρίδῃς τὸν σὸν
οἰκέτην κινδύνοις συνέχεσθαι
ἵνα σε δοξάζω
εἰς πάντας τοὺς αἰῶνας.

*Ν*εῦσον δεήσεσιν ἡμῶν·
τῶν σῶν δούλων, ἀγαθὴ Θεοκυῆτορ,
καὶ δεινῶν τὰς ἐφόδους
καὶ πειρασμῶν προσβολὰς
ταχέως κατάπαυσον, Δέσποινα,
ἵνα σε τιμῶμεν,
ὑπερευλογημένη.

Ὠδὴ θ΄. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

*Ν*ῦν σοι τὸ χαῖρε προσφόρως
ἐκβοῶμεν, Παρθένε,
ἡμεῖς οἱ σεσωσμένοι διὰ σοῦ·
χαῖρε ἀπείρανδρε Δέσποινα·
χαῖρε γῆς καὶ θαλάττης
καὶ πάντων αἰσθητῶν καὶ νοητῶν
κυριεύουσα μόνη·
χαῖρε κἀμοῦ κραταίωμα.

*Ἡ* ἀλοχεύτως τεκοῦσα
τὸν ὑπέρθεον Λόγον
καὶ πάντα κατευγλάσασα, σεμνή,
χαῖρε πανθαύμαστε Δέσποινα·
χαῖρε πάντων ἀγγέλων
δικαίων ἀποστόλων προφητῶν
ἀξιύμνητον γέρας
καὶ εὐφροσύνη ἄληκτος.

*Σ*ύ μου τὸ καύχημα πέλεις
σὺ προστάτις καὶ σκέπη
καὶ σύ μου ἀγαλλίαμα, σεμνή,
σύ μου ἐλπὶς ἀκαταίσχυντος·
σὺ χαρά μοι καὶ τεῖχος
καὶ σύ μοι κατακραίνον, ἁγνή,
πάντα πόνον καὶ λύπην
τὴν κατ᾿ ἐμοῦ κυμαίνουσαν.

*Θ*εογεννῆτορ Παρθένε,
ἡ βεβαία προστάτις
χριστιανῶν καὶ καύχημα στερρὸν
σῶσον τοὺς δούλους σου, ἄχραντε,
ἐξ ἐχθρῶν ἀοράτων
καὶ ὁρατῶν καὶ πάσης ἀπειλῆς
ἵνα πίστει καὶ πόθῳ
σὲ ὕμνοις μεγαλύνομεν.



# 69

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τῇ η΄ καὶ θ΄ ᾠδῇ « *Ἰωάννης Θ.* »

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΘΗΚΑΡΑ

Κώδ. Ι 39 Λαύρας.

***Ἦχος β΄. Ὠδὴ α΄. Δεῦτε λαοί.***

*Χ*αρὰν τὴν σὴν
καὶ φωτισμὸν καὶ τὸ ἔλεος
νῦν ἐπ᾿ ἐμοὶ κατάπεμψον
ὅπως βοήσω σοι
συνῳδὰ τῷ ἀγγέλῳ
χαῖρε χαρᾶς δοχεῖον,
Θεοχαρίτωτε.

*Χ*αῖρε σεμνὴ
μήτηρ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν·
χαῖρε πιστῶν τὸ στήριγμα·
χαῖρε ἐπίσκεψις
καὶ χαρὰ θλιβομένων
χαῖρε κἀμοῦ τὸ θάρσος
καὶ ἀγαλλίαμα.

*Τ*ὸν κοπετὸν
καὶ τὸν κλαυθμὸν καὶ τὰ δάκρυα
νῦν εἰς χαρὰν μετάστρεψον
ἐμοὶ τῷ δούλῳ σου,
Θεοτόκε Παρθένε·
εἰς σὲ γὰρ τὴν ἐλπίδα μου
πᾶσαν τέθεικα.

*Ἡ* τὴν ζωὴν
τὴν ἀτελεύτητον τέξασα
νενεκρωμένον πάθεσι
νῦν ἐξανάστησον,
παναγία Παρθένε,
καὶ πάσης αἰωνίου
ῥῦσαι κολάσεως.

Ὠδὴ γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως.

*Δ*οξάσωμεν τὴν μόνην δεδοξασμένην
βοῶντες γηθοσύνως σὺν τῷ ἀγγέλῳ
ἡ τὴν ζωὴν κυήσασα χαῖρε πάντων
πιστῶν τὸ στήριγμα, Θεοχαρίτωτε,
καὶ ἀγγέλων καύχημα, παναμώμητε.

*Ὑ*μνήσωμεν τὴν μόνην εὐλογημένην
ἀσμένως ἐκβοῶντες αὐτῇ τὸ χαῖρε·
ἡ ζωηφόρος τράπεζα χαῖρε ὄντως
πιστοῖς παρέχουσα τροφὴν ἀΐδιον
καὶ χαρὰν ἀείζωον καὶ ἀπόλαυσιν.

*Π*ολλοὶ οἱ πολεμοῦντές με, Παναγία,
πολλάς μοι τὰς κακώσεις ἐπινοοῦσιν
ἐκ πάντων με διάσωσον, Θεομῆτορ,
ἵνα δοξάζω σε τὴν παντευλόγητον·
οὐ γάρ ἐστιν ἄμεμπτος πλήν σου, Δέ-
[σποινα,

*Ἀ*μέτρητά σοι πταίσας τὰς ἀμετρή-
[τους
κολάσεις ἀπεκδέχομαι ὁ παντλήμων
οἰκτείρησόν με, Λόγε, ὡς ἐλεήμων
ταῖς παρακλήσεσι τῆς κυησάσης σε·
οὐ γάρ ἐστιν ἅγιος πλήν σου, Κύριε.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

*Φ*ωτεινόμορφον οἴκημα
τοῦ κραταιοῦ καὶ μόνου βασιλέως,
Θεομῆτορ κόρη χαῖρε πανάσπιλε.

*Π*ολυπόθητον ὄνομα
χαῖρε βροτῶν καὶ τεῖχος καὶ γαλήνη
παναγία μόνη Θεοχαρίτωτε.

*Σ*οί, Θεόνυμφε Δέσποινα,
οἱ γηγενεῖς προσπίπτομεν ἐκ πόθου
ἀπὸ πάσης ῥῦσαι ἡμᾶς κακώσεως.

**Σ**ύ, Παρθένε, τοὺς δούλους σου
κατὰ βαρβάρων ζῶσον δυναστείαν
καὶ ἰσχὺν καὶ κράτος τοῦ πολεμῆσαι
αὐτούς.

Ὠδὴ ε'. Τῆς νυκτὸς διελθούσης.

**Χ**αῖρε πάγχρυσε στάμνε
ἔνδοθεν τὸ μάννα
τῆς ζωῆς χωρήσασα, Δέσποινα,
τὸ ἐκθρέψαν πάλαι
τοὺς λιμῷ κρατουμένους
τῆς κακοπιστίας, Θεόνυμφε.

**Χ**αῖρε πύρινε στῦλε
καὶ φωτὸς νεφέλη
ἡ πρὸς θείαν ὄντως κατάπαυσιν
καὶ ἀνώλεθρον, κόρη,
τῆς πικρᾶς δουλείας
κόσμον διασώσασα, ἄχραντε.

**Π**αναγία Παρθένε
Δέσποινα τοῦ κόσμου
ἡ τὸ φῶς ἀπορρήτως κυήσασα
ἐκ βυθοῦ πταισμάτων
ῥῦσαι καὶ κινδύνων
καὶ βιωτικῶν περιστάσεων.

Ἐ**ν**νοῶν μου τὰ πλήθη,
Δέσποινα Παρθένε,
τῶν πολλῶν πταισμάτων ἐξίσταμαι
καὶ πτοοῦμαι τὸ βῆμα
τοῦ υἱοῦ σου, κόρη,
ὅν μοι σαῖς εὐχαῖς ἐξιλέωσαι.

Ὠδὴ στ'. Ἄβυσσος ἐσχάτη.

**Χ**αῖρέ σοι ἀναβοῶμεν
αἰσίως τὸ τοῦ ἀγγέλου
τῇ ὑπεραμώμῳ Παρθένῳ
χαῖρε χαράκωμα τῶν δούλων σου
καὶ ἀνέδρευτον ἕρκος.

**Χ**αῖρέ σοι τῇ πανυμνήτῳ
καὶ ἀπειράνδρῳ Παρθένῳ
νῦν προσάγω, κόρη, χαρμονικῶς
χαῖρε ἀντίληψις καὶ καύχημα
τῶν εἰς σὲ προστρεχόντων.

**Τ**έτρωμαι τῷ βέλει
τῶν πολεμούντων ἐχθρῶν με
ἀλλὰ σοὶ προσπίπτω ὁ τάλας,
Δέσποινα Δέσποινα, τῆς τούτων με
ἐξελοῦ τυραννίδος.

Ἄ**β**υσσος πταισμάτων
ἐκύκλωσέ με, Παρθένε,
ἀλλ' ὡς Ἰωνᾶς ἐκβοῶ σοι,
Δέσποινα Δέσποινα, ἀνάγαγε
ἐκ φθορᾶς τὴν ζωήν μου.

## ΚΑΘΙΣΜΑ

***Ἦχος β'. Εὐσπλαγχνίας.***

**Τ**ῆς ψυχῆς μου τὴν ῥαθυμίαν τὴν
χαλεπὴν
καὶ καρδίας μου τὴν πώρωσιν,
Θεοτόκε, ἐπινεύσασα
ἴασαι ταῖς πρεσβείαις σου
καὶ σωζομένων μερίδος καταξίωσον
λυτρουμένη με σκότους καὶ κολάσεως
ἡ μόνη ἐλπίς μου καὶ παράκλησις.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

**Χ**ρυσοῦν ἀληθῶς
ἐπιγνόντες σε, ἁγνή, θυμιατήριον
οἱ σεσωσμένοι τῇ κυήσει σου
ἀναβοῶμέν σοι, ἄχραντε·
χαῖρε προστασία τοῦ κόσμου
καὶ χαρὰ τοῖς κραυγάζουσιν
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

**Π**αλάτιον σὺ
ἀνεδείχθης ὑψηλὸν τοῦ βασιλέως
τοῦ καταλάμψαντος γῆς τὰ πέρατα·
ὅθεν ἀκούεις χαρμόσυνα·
χαῖρε δυστυχούντων τὸ θάρρος
ἀσθενούντων ἐπίσκεψις
καὶ πενομένων θησαυρέ,
Θεοχαρίτωτε.

Ἡ **μ**όνη ἐλπὶς
καὶ βοήθεια πιστῶν καὶ ὅπλον θεῖον
τοὺς σοὺς οἰκέτας νῦν περίζωσον
τὴν δυναστείαν σου, ἄχραντε,
ὅπως τῷ ἀμάχῳ σου κράτει
δυναμωθέντες, πανύμνητε,



τὴν βορβορώδη τῶν ἐχθρῶν
καρδίαν τρώσωσιν.

Ἡ **κ**όσμῳ χαρὰν
ἀνατείλασα, ἁγνὴ εὐλογημένη,
χαρᾶς ἀρρήτου τὴν καρδίαν μου
πλῆσον, Θεάνυμφε Δέσποινα,
λύπην ἐκδιώξασα πᾶσαν
ἵνα κραυγάζω σωζόμενος
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'. Τῷ δόγματι τῷ τυραννικῷ.

Ἰ**δ**οὺ πιστῶς χαῖρέ σοι, σεμνή,
βοῶμεν οἱ πιστοί σοι εὐχαρίστως
οἱ διὰ σοῦ τῆς ἀφράστου
χαρᾶς εἰς κόρον τρυφήσαντες
καὶ φωτὸς ἡμέρας
γενόμενοι ἔμπλεοι.

Ὡ**ς** ἄρρητον ὄντως καὶ φρικτὸν
τὸ ἐπὶ σοὶ μυστήριον ἐφάνη
ὅθεν συμφώνως σοι πάντες
πιστοὶ τὸ χαῖρε κραυγάζομεν
τῇ Παρθένῳ καὶ μόνῃ
μητρὶ τοῦ Θεοῦ ἡμῶν.

Ἀ**ν**άνηψον, τάλαινα ψυχή,
τοῦ ὕπνου τῆς δεινῆς σου ῥαθυμίας
καὶ προσπεσοῦσα μητρὶ
τοῦ Θεοῦ δάκρυα κατάγαγε
πάσης ὅπως σε σώσῃ
δεινῆς κατακρίσεως.

**Ν**ῦν, πάναγνε, δέξαι τὴν ἐμὴν
ἱκέσιον ᾠδήν τε καὶ τὸν θρῆνον
καὶ τοὺς ἐκ βάθους πικροὺς
στεναγμοὺς ἐνώτισαι, Δέσποινα,
καὶ παντοίων με ῥῦσαι
κινδύνων καὶ θλίψεων.

Ὠδὴ θ'. Ἡ τὸν ἄχρονον Θεόν.

**Ν**ομίμων δίχα φυσικῶς,
Θεομῆτορ, τέτοκας
τὸν τοῦ νόμου δοτῆρα, πανύμνητε,
χαῖρε τοίνυν
σοὶ βοῶμεν, Παρθένε.

Ἡ **τ**ὴν ἀπόρρητον χαρὰν
ἀπορρήτως τέξασα
νῦν χαρὰν παράσχου μοι, Δέσποινα,
χαῖρε ὅπως
ἐκβοήσω σοι, κόρη.

**Σ**οὶ νῦν προσπίπτω, ἀγαθή,
ὁ πανελήμων δοῦλός σου
ἐξαιτῶ πταισμάτων τὴν ἄφεσιν
ὧν ἐν κόσμῳ
ἐπεπράχειν ὁ τάλας.

**Θ**εὸν ὃν ἔτικες, ἁγνή,
ἐκδυσώπει ῥύσασθαι
ἐξ ἐχθρῶν τὴν ποίμνην σου, Δέσποινα,
σὲ τιμῶσαν
ὡς τοῦ κτίστου μητέρα.

# 70

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

« *Τὴν ἐν μάχαις ἄγρυπνον ὑμνῶ προστάτιν Μάρκος.* »

Κῶδ. Καθολικοῦ Ἰβήρων καὶ Κῶδ. Καλύβης ἁγίου Ἀκακίου ἐν Καυσοκαλυβίοις.

ΠΟΙΗΜΑ ΜΑΡΚΟΥ ΕΦΕΣΟΥ ΤΟΥ ΕΥΓΕΝΙΚΟΥ

*Ἦχος β΄. Ὠδὴ α΄. Ἐν βυθῷ κατέστρωσε.*

**Τ**ῇ τῆς σῆς χρηστότητος ῥοπῇ
πεποιθώς, πανύμνητε,
καὶ τῇ ἀγρύπνῳ θαρρῶν προστασίᾳ σου
δευτέρας ἀπάρχομαι
μελῳδίας τῇ ζωηφόρῳ Κοιμήσει σου
ἣν προσδεδεγμένη
ἵλεως γενοῦ μοι τῷ οἰκέτῃ σου.

**Ἡ** Θεὸν τεκοῦσα τὸν ἡμῶν
τὰς νόσους βαστάσαντα
καὶ ἁμαρτίας εὐσπλάγχνως ἀράμενον
κατὰ νόμους φύσεως
νοσηλεύεται πρὸς ζωὴν τὴν ἀκήρατον
ἔνθεν ἀπιοῦσα
ἣν εὐσεβοφρόνως μακαρίσωμεν.

**Ν**ικητὰς ἀνάδειξον ἐχθρῶν
ἀσεβούντων, Δέσποινα,
τοὺς εὐσεβεῖς καὶ πιστοὺς ἡμᾶς δού-
[λους σου
τὴν ἀκαταμάχητον
πανοπλίαν ἠμφιεσμένους τῆς πίστεως
καὶ τὴν σὴν ἐλπίδα
προσανατεινομένους ἐν ἅπασιν.

**Ἐ**ν νεφέλαις ὥσπερ ἀετοὶ
νῦν διακομίζονται
ὅπου τὸ πτῶμα οἱ θεῖοι ἀπόστολοι
τὸ τῆς ἀναστάσεως
τοῖς ἀνθρώποις καὶ ἀφθαρσίας πα-
[ραίτιον
τὴν φρικτὴν ἐσχάτην
ἁρπαγὴν τυποῦντες διαέριον.

**Ν**οερᾷ ψυχῇ καὶ λογικῇ
τιμηθέντες ἄνθρωποι
καὶ κατ᾿ εἰκόνα τοῦ κτίσαντος γενόμενοι
παρασυνεβλήθημεν
τοῖς ἀλόγοις καὶ τῇ φθορᾷ ἠτιμά-
[σθημεν·
ὅθεν καὶ ἀτίμως
ὡς πρόβατα ἄρδην θανατούμεθα.

Ὠδὴ γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως.

**Μ**ακάριοι οἱ μένοντες ἐν τῷ οἴκῳ
τῷ σῷ εἰς τοὺς αἰῶνας αἰνέσουσί σε
μακάριοι οἱ βλέποντες ἐν εἰκόνι
τὴν ἀπαστράπτουσαν αἴγλην τῆς χάριτος
ἧς αὐτὴ μετέδωκας ζῶσα, πάναγνε.

**Ἀ**λλόφυλος ἐχθρῶν μαχητῶν ῥομφαία
κυκλόθεν παροικεῖ τοὺς σοὺς δούλους,
[κόρη,
διψῶσα ἀνθρωπίνων αἱμάτων χύσιν
ἣν ταῖς καρδίαις ταῖς αὐτῶν ἀντίστρεψον
καὶ τὰ τόξα σύντριψον καὶ διάλυσον.

**Χ**αρᾶς καὶ εὐφροσύνης οὐ κατηφείας
ἡ ἔνδοξος μετάστασις τῆς πανάγνου·
μεσίτις γὰρ τῆς φύσεως ἀνελθοῦσα
πρὸς τὸν Δεσπότην καὶ υἱὸν παρίσταται
πᾶσι τὸν οἰκτίρμονα διαλλάττουσα.

**Ἀ**νάστειλον τὴν θραῦσιν ὀργῆς Κυρίου
θανάτου τοῦ ἀώρου καὶ αἰφνιδίου
τοὺς δούλους σου διάσωσον, Θεοτόκε,
ἴδε συντρέχοντας θερμῶς προσπίπτοντας
ἐπὶ σοὶ καὶ μόνῃ πιστῶς σαλεύοντας.

Ὠδὴ δ΄. Ἐλήλυθας ἐκ παρθένου.

**Ἰ**δέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυν-
[θήτωσαν
ἡ ποίμνη σου, Δέσποινα,



βοᾷ θαρροῦσα τῇ σκέπῃ σου
καὶ ἀποστραφήτωσαν
εἰς τὰ ὀπίσω ὡς χνοῦς ὑπὸ ἀνέμου
[σφοδροῦ.

**Σ**υνέρχονται γυναικῶν φιλοθέων συ-
[στήματα
τὸν κόσμον τῆς φύσεως
τὴν ὑπερτέραν τῆς κτίσεως
πίστει προσκυνήσουσαι
μεθισταμένην πρὸς ἄλλον καὶ θείαν
[ζωήν.

**Ἀ**νάκλησις τοῦ πεσόντος Ἀδὰμ χρη-
[ματίσασα
δένδρα προσκλινόμενα
καθὼς ἐκεῖνος τὰ κτίσματα
ἔσχηκας προσκύνησιν
δουλοπρεπῆ παραδόξως σοι προσνέ-
[μοντα.

**Γ**ηράσαντι καὶ πολλοῖς ἐμπεσόντα
[παθήμασι
κόσμον νεουργήσασα
πρὸς τὴν ἀγήρω καὶ ἄπταιστον
ζωὴν μεταβέβηκας
τῇ ἡλικίᾳ πρὸς γῆρας ἤδη κλίνουσα.

**Ρ**ημάτων σου τῶν σεπτῶν μεμνημέ-
[νοι, πανάμωμε,
ἰδοὺ μακαρίζομεν
καὶ εὐφημοῦμεν ἀπαύστως σε
ὅτι μεγαλεῖά σοι
ὁ δυνατός, ὡς προέφησας, πεποίηκεν.

Ὠδὴ ε΄. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

**Ὑ**πὸ πολλῆς
καὶ ἀπείρου χρηστότητος
εἰς τὸ σῶσαι
κόσμον ὁ Δεσπότης καταφοιτήσας
τὴν πανάγιαν
καὶ σεπτήν σου γαστέρα
κατεσκήνωσεν ὡς εὐρύχωρον
ἄλλον οὐρανὸν
ἐπὶ γῆς ἀξιόθεον.

**Π**εριπεσὼν
ἀνοδίας προσκόπτω
ψυχῆς τοὺς πόδας
καὶ τῷ ᾅδῃ ἤγγισεν ἡ ζωή μου
προσελογίσθην
μετὰ τῶν τεθνεώτων
ἐγεννήθην ὡς ἀβοήθητος,
Δέσποινα, αὐτή μοι
βοήθησον δέομαι.

**Ν**ύμφη πατρὸς
τοῦ ἀνάρχου ἁγία
μῆτερ τοῦ Λόγου
Πνεύματος ἁγίου θεῖον ταμεῖον
τοὺς λειτουργοῦντας
τῷ σεπτῷ σου τεμένει
καὶ αἰτοῦντας τὴν σὴν ἀντίληψιν
χάριτος Θεοῦ
κληρονόμους ἀνάδειξον.

**Ὁ** ὑψηλὸς
καὶ περίβλεπτος θρόνος
τοῦ βασιλέως
τῶν βασιλευόντων ἡ ζῶσα κλίνη
ἡ θεοδόχος
ὁ πανάγιος οἶκος
τὸ ἀβέβηλον ἱλαστήριον
νῦν πρὸς οὐρανίους
σκηνὰς μετατίθεται.

Ὠδὴ στ΄. Ἐν ἀβύσσῳ πταισμάτων.

**Ν**εφοδρόμοι πτηνοὶ ἐναέριοι
πάντοθεν ἀπαίροντες θείῳ βουλήματι
πρὸς τὴν κηδείαν ἥκουσι
τῆς μητρὸς τοῦ Θεοῦ οἱ ἀπόστολοι.

**Ὑ**περτέρα τῶν ἄνω δυνάμεων
καὶ τοῦ νοητοῦ διακόσμου χωρήσασα,
μῆτερ Θεοῦ πανάμωμε,
παρ᾿ αὐτῇ τῇ Τριάδι γεγένησαι.

**Μ**ακαρία γαστὴρ ἡ χωρήσασα
καὶ μαστοὶ θηλάσαντες τὸν ἐπὶ πάντων
[Θεὸν
τῆς φυλαξάσης πρότερον
τὸν αὐτοῦ θεῖον λόγον ἀλώβητον.

**Ν**έον ὅπλον τειχῶν καὶ δυνάμεων,
Δέσποινα, οἱ δοῦλοί σου χαίρως ἔχοντες
τὴν σὴν καὶ μόνην ἄμαχον
κατ᾿ ἐχθρῶν δυναστείαν προβάλλονται.

**Ὡ**ς δεσπόζουσα πάσης τῆς κτίσεως
δώρησαι ἡμῖν εὐκραῆ τὴν κατάστασιν

τὴν τοῦ ἀέρος, ἄχραντε,
τὴν ὀλέθριον λύμην ἐξαίρουσαν.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

*Π*αρέστη φησὶν
ἡ βασίλισσα Δαυὶδ ἐξ δεξιῶν σου
ἐν διαχρύσῳ στολῇ λάμπουσα
πεποικιλμένη τῇ χάριτι
πόρρωθεν προγράφων τὴν δόξαν
τῆς σεπτῆς μεταστάσεως
τῆς παναμώμου μητρὸς
Υἱοῦ καὶ Λόγου Θεοῦ.

*Ρ*υσθέντες, ἁγνή,
τῆς ἀρχαίας καταδίκης τῷ σῷ τόκῳ
καὶ παραδείσου τὴν ἀπόλαυσιν
ἀναλαβόντες λαμπρότερον
σὲ τῶν ἀγαθῶν τὴν αἰτίαν
εὐσεβῶς μεγαλύνομεν
εὐχαριστήριον ᾠδὴν
ἀνακρουόμενοι.

*Ὁ* παῖδας τοὺς τρεῖς
ἐν καμίνῳ ἀσινεῖς διατηρήσας
πυρὶ τῷ θείῳ οὐ κατέφλεξε
τὴν θεοδόχον γαστέρα σου·
βάτος γάρ αὐτὴν προετύπου
ἀκατάφλεκτος μείνασα
προσομιλοῦσα τῷ πυρὶ
ἐπὶ τοῦ ὄρους Σινᾶ.

*Σ*τρατὸς δυσμενὴς
αἱμάτων ἄνδρες προσκαθεζόμενοι
ὅλοι τῇ ποίμνῃ σου, ἄχραντε,
χρόνον πολὺν ὠρυόμενοι
πάσῃ μηχανῇ κεχρημένοι
κατῃσχύνθησαν ἄπρακτοι
ἀποκρουσθήτωσαν καὶ νῦν
οἱ ἐκκλησίας δυσμενεῖς.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

*Τ*ὴν παναγίαν κιβωτὸν
τὴν ὑπέρτιμον σκηνὴν τὴν θείαν στάμνον
τὴν λυχνίαν τὴν πλάκα
τὸν φωτοφόρον ναὸν
τὸν θρόνον τοῦ Θεοῦ τὸν ἔνδοξον
τὴν ἁγνὴν Παρθένον
ὑμνήσωμεν συμφώνως.

*Ἀ*πογηρεῦσαι ἐκ τῆς γῆς
πρὸς οὐράνιον ζωήν, ἄχραντε κόρη,
τὰς πλησίον καὶ φίλας
γυναῖκας μετακαλεῖς
καὶ ταύταις κλῆρον πολυτίμητον
τὴν σεπτὴν ἐσθῆτα
καὶ ζώνην διανέμεις.

*Τ*ῶν ὁμοφύλων γυναικῶν
τὰς ἁγνῶς καὶ ταπεινῶς σοι λατρευούσας
ἐγκρατείᾳ καὶ πόνοις
προσευχαῖς καὶ πηγαῖς
δακρύων, κόρη, δυσωπήθητι
καὶ τὴν τῆς ὀργῆς τοῦ Θεοῦ
μάστιγα στῆσον.

*Ἱ*εροπρεπὴ ξυνωρὶς
θεολόγων ἐπιστᾶσα τῇ κηδείᾳ
τῇ σεπτῇ σου, Παρθένε,
ἐξ Ἀθηνῶν ἱεραῖς
φωναῖς σε, κόρη, προσεφθέγγοντο
καὶ τὸ κατὰ σὲ μέγα
θαῦμα ἐπευφήμουν.

*Ν*υμφίον ὀλόφωτε Θεοῦ
τῶν ἀγγέλων χαρμονὴ καὶ τῶν ἀνθρώπων
κραταιὰ προστασία
τῶν ἀσκητῶν ἡ τρυφὴ
τὸ κλέος τῶν μαρτύρων, ἄχραντε,
σῶζε τοὺς σοὺς δούλους
ἐκ πειρασμῶν παντοίων.

Ὠδὴ θ'. Ἀνάρχου γεννήτορος.

*Μ*ακάριος ἄνθρωπος
οὗ ἐστιν ἡ ἀντίληψις
παρὰ σοῦ ἀναβάσεις
ἀεὶ διέθετο
θείας ἐν καρδίᾳ ἃς εἶδεν
ὁ Ἰακὼβ ἐν κλίμακι ξένῃ
τὸ μέγα μυστήριον
σοῦ, Παρθένε, προμυούμενος.

*Ἀ*ρύσασθε ἄνθρωποι
πλουσίως τὰ ἰάματα
ψυχῶν καὶ σωμάτων
ἀεὶ προρρέοντα
θείας ἐξ εἰκόνος ἐξ ὕδατος



ζωηροῦ ὅλον τοῦ τεμένους
ἐν ᾧ ἠρετίσατο
κατοικεῖν ἡ θεοδόχος σκηνή.

*Ρ*αθύμως βιώσαντες
καὶ σαθρᾷ φαυλότητι
κατὰ σάρκα καὶ κόσμον
πολιτευσάμενοι
μέλλομεν πικρῶς ἀποθνήσκειν
ψήφῳ Θεοῦ κἀκεῖ ἐπαμένειν
τὴν κόλασιν ἄφατον
ἧς, ἁγνή, ἡμᾶς ἐξάρπασον.

*Κ*αρδίᾳ καὶ στόματι
καὶ λόγοις καὶ νοήμασι
δηιναίᾳ αἰσθήσει
πάσῃ κινήματι
μόνην Θεοτόκον κυρίως
καὶ ἀψευδῶς, ἁγνή, σε καλοῦμεν

τὴν κλῆσιν κατάλληλον
τῷ σῷ τόκῳ προσαρμόζοντες.

*Ὁ* μόνος φιλάνθρωπος
ὁ μόνος ἐμπαθέστατος
ὁ Θεὸς τοῦ ἐλέους
καὶ τῆς χρηστότητος
ἄνες τὴν δικαίαν ὀργήν σου
ῥῦσαι ἡμᾶς λοιμοῦ βαρυτάτου
προρρίζους ἐκτρίβοντος
ταῖς ἁγίας σου μητρὸς ταῖς εὐχαῖς.

*Σ*υστήσασα πνεύματι
βιαίῳ καταδίωξον
τοὺς ἐχθροὺς τῆς σῆς ποίμνης
μακράν, ὑπέραγνε,
τρέμοντας αἰσχύνῃ καὶ λύπῃ
περιπαθεῖς ὅτι πονηρίαν
πικρῶς ἐμελέτησαν
κατὰ τῆς κληρονομίας σου.

---

## 71

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς

« *Τῇ βασιλίδι ᾆσμα δεύτερον πλέκω Μανουήλ.* »

ΠΟΙΗΜΑ ΜΑΝΟΥΗΛ ΜΕΓΑΛΟΥ ΡΗΤΟΡΟΣ

Κῶδ. Καθολικοῦ τῶν Ἰβήρων.

***Ἦχος β'. Ὠδὴ α'. Δεῦτε λαοί.***

*Τ*ὰ τῆς ψυχῆς
τῆς καναθλίας μου ὄμματα
καταύγασον, πανύμνητε,
ἡ τὸ γλυκύτατον
καὶ ἀπρόσιτον φέγγος
κυήσασα τῷ κόσμῳ
ὅπως δοξάζω σε.

*Ἡ* κραταιὰ
τῶν προστρεχόντων τῇ σκέπῃ σου
βοήθεια, Μητρόθεε,
μὴ παραβλέψῃς μου
τὸν ἐγκάρδιον πόνον
ἀλλ' οἴκτειρόν με θᾶττον
ὅπως δοξάζω σε.

*Β*ασιλικῆς
ἐκ ῥίζης φυεῖσα, πάναγνε,
τὸν βασιλέα τέτοκας
Χριστὸν ὃν αἴτησαι
τῆς ψυχῆς μου τὰ πάθη
τελείως ἀπαλεῖψαι
ὅπως δοξάζω σε.

*Ἀ*ποσκοπῶν
πρὸς μόνην τὴν σὴν ἀντίληψιν
τὰς χεῖρας ἀνατείνω μου
πρὸς τὸ σὸν ἔλεος
καὶ τῆς ἐλπίδος, κόρη,
μηδόλως ἀποπέσω
ὅπως δοξάζω σε.

Ὠδὴ γ'. Στερέωσον ἡμᾶς Κύριε.

**Σ**τρατὸς ὑπερκοσμίων νόων, Δέσποινα,
τὸ ὕψος τῆς δόξης σου μεγαλύνει
ἀνυμνεῖ ἀκαταπαύστῳ φωνῇ·
χαῖρε κόσμου τὸ φέγγος τὸ ἀνέσπερον.

**Ὕ**λην τὴν τῶν παθῶν ἀποσεισάμενοι
τῇ μόνῃ βοήσωμεν Θεοτόκῳ
ἐκφοιτώσῃ πρὸς οὐράνια·
χαῖρε κόσμου τὸ φέγγος τὸ ἀνέσπερον.

**Δ**εινὸν ἡ θεοφύτευτος ἀνάγεται
πρὸς ἄρρητα κάλλη τῆς θεαρχίας
ἡ Παρθένος ᾗ προσείπωμεν·
χαῖρε κόσμου τὸ φέγγος τὸ ἀνέσπερον.

**Ἱ**λάσθητι καὶ δώρησαι τοῖς δούλοις σου
λύτρωσιν ἐξ ἐθνικῆς κακώσεως,
πανάγνε, ἵνα μέλπωμεν·
χαῖρε κόσμου τὸ φέγγος τὸ ἀνέσπερον.

Ὠδὴ δ'. Ἐλήλυθας ἐκ Παρθένου.

**Δ**ιέλθωμεν εἰς Σιὼν τὴν ἁγίαν καὶ ἴδωμεν
τὰ ἐκεῖ θαυμάσια
ἐν τῇ ἐξόδῳ τελούμενα
τῆς μόνης θεόπαιδος
καὶ μεγαλύνωμεν Χριστὸν
ὃν ἀσπόρως ἐκύησεν.

**Ἱ**πτάμενοι ἐν νεφέλαις ἀπόστολοι πάριτε·
ὁ Χριστὸς γὰρ κάτεισι
πρὸς ἑαυτὸν ἀναλήψεσθαι
μητέρα τὴν ἄχραντον
ἥπερ κραυγάζομεν·
δόξα, Θεοτόκε, τῇ δόξῃ σου.

**Α**ἱ ἄνω νῦν τῶν ἀγγέλων χορεῖαι ἀγάλλονται
ἡ ἱεραρχία δὲ
ἡ ἐκκριτωτάτη συγκάτεισι
τῷ Κυρίῳ ἔχουσα
τὴν θείαν μέθεξιν
ὅτι ἡ Θεόπαις ἀνέρχεται.

**Σ**τερέωσον τὴν ἐμήν, Θεοτόκε, διάνοιαν
διὰ πολὺ ἔλεος
τῆς σῆς ἀπείρου χρηστότητος
εἰς φόβον τὸν ἔνθεον
ὅπως ἀεὶ ὑμνῶ
Χριστὸν ὃν ἀσπόρως ἐκύησας.

Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

**Μ**όνη Θεὸν ἐπὶ γῆς
δι' ἀρετῆς ὑπερβολὴν ἔπεισας
ἐξ οὐρανοῦ κατελθεῖν καὶ σάρκα
ἐκ σοῦ ἀναληφθεῖν
καὶ σῶσαι οὕτως
τὴν βρότειον, ἄχραντε.

**Ἀ**πὸ Θαιμὰν καὶ ἐκ σοῦ
ἐπιδημήσας ὁ Θεός, Δέσποινα,
διδακτικῷ ἀνόρθωσε τρόπῳ
προαίρεσιν ἡμῶν
ὡς ἔδει τῷ θείῳ
αὐτοῦ δικαιώματι.

**Δ**αυῒδ προπάτωρ ὁ σὸς
ἐκ δεξιῶν σε τοῦ Θεοῦ ἵστασθαι
ἀναφωνῶν τὴν δόξαν δηλοῖ σοι
τὴν ἄρρητον, ἁγνή,
χεὶρ γὰρ Θεοῦ πέλεις
εἰς θεῖα δωρήματα.

**Ἔ**χεις τὸν ὄντως Θεὸν
τὰς σὰς δεχόμενον λιτάς, πάναγνε,
διὸ αὐτὸν ἵλεων εὐχαῖς σου
ἀπέργασαι ἡμῖν
καὶ τῶν συνεχόντων
δεινῶν λυτρωθείημεν.

Ὠδὴ στ'. Ἐν ἀβύσσῳ πταισμάτων.

**Ὑ**περβὰς βροτοὺς πάντας τοῖς πταίσμασι
σὲ τὴν ὑπὲρ ἔννοιαν τὸν ἐλεήμονα
τεκοῦσαν δυσωπῶ πιστῶς·
δωρεάν με οἰκτείρησον, Δέσποινα.

**Τ**οῖς ματαίοις στυγνῶν λογισμοῖς ἀεὶ
καὶ ἀτόποις πράξεσιν ὅλως ἠχρείωμαι
διὸ ἐκ βάθους κράζω σοι·
δωρεάν με οἰκτείρησον, Δέσποινα.

**Ἐ**νσκηνῶσαν ἐν σοὶ φῶς τὸ ἄδυτον
ὥσπερ ἐν ἐσόπτρῳ τὴν κτίσιν ἐφώτισε·



διὰ φέγγει σου χάριτος
δωρεάν με καταύγασον, Δέσποινα.

**Ῥ**έμβει καὶ καρδία κυρίως σε
Θεοτόκον ἄχραντον κηρύττει πάντοτε
ἐν πόθῳ ἀπαύστως βοῶ·
δωρεάν με οἰκτείρησον, Δέσποινα.

Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

**Ο**ἱ παῖδες οἱ ἔνδοξοι ἐν Βαβυλῶνι
τὴν θείαν γαστέρα σου,
Παρθένε, προεικόνιζον·
ἀβλαβεῖς γὰρ ὤφθησαν
ὄντες ἐν μέσῳ πυρὸς
ὥσπερ σε ἀλώβητον
τὸ πῦρ τὸ τῆς θεότητος συνετήρησεν.

**Ν**υμφῶνα ἀκήρατον σὲ ἀνυμνοῦμεν
ἐν ᾧ ὁ ὑπέρθεος
Λόγος Θεοῦ ἐσκήνωσε
νυμφίος ὁ πάγκαλος
τῶν ἀγαθῶν ἡ πηγή
καὶ ἀσινῆ σε αὐτοῦ
τὸ πῦρ τὸ τῆς θεότητος συνετήρησεν.

**Π**αλάτιον ἔμψυχον τοῦ ἀοράτου
καὶ μόνου παντάνακτος
τῶν ὄντων, ἀειπάρθενε,
ἐν ᾧ ἐβασίλευσε
τῶν ἐγνωκότων αὐτὸν
καὶ σὲ ἀβλαβῆ αὐτοῦ
τὸ πῦρ τὸ τῆς θεότητος συνετήρησεν.

**Λ**αμπὰς χαῖρε πάμφωτε ἐν ᾗ ἡλίου
τῆς δόξης ἐσκήνωσε
τὸ φάος τὸ ἀπρόσιτον
καὶ πᾶσαν ἐφώτισε
τὴν κτίσιν περιφανῶς
καὶ ἄφλεκτόν σε αὐτοῦ
τὸ πῦρ τὸ τῆς θεότητος συνετήρησεν.

**Ἐ**πήγασεν ἅπασιν ὁ ἐκ σοῦ, κόρη,
ἀνατείλας ἥλιος
πυρσὸν τῆς θείας γνώσεως
καὶ τρία ἐγνώκαμεν
τὸν ἕνα φύσει Θεὸν
οὗ περ ἀλώβητον
τὸ πῦρ τὸ τῆς θεότητος συνετήρησεν.

Ὠδὴ η'. Κάμινος ποτέ.

**Κ**λύδωνι παθῶν
δεινῶς με συσχεθέντα
ἐκδυσωπῶ τὴν σὴν βοήθειαν
σὺν τάχει ἀπάλλαξον
τῆς αὐτῶν ἀχλύος, πάναγνε,
ἵνα πιστῶς γεραίρω τὸν τόκον σου
τὸν ὑπὲρ φύσιν δι' οὗ φθορὰ ἐξωστράκισται.

**Ὤ**φθησαν ἡμῖν
ἡμέραι τῆς σῆς μνήμης
ὥσπερ ἀστέρες φαεινότατοι,
πανύμνητε Δέσποινα,
διανοίας καταυγάζουσαι
τὰς τῶν πιστῶν ὑμνούντων τὸν τόκον σου
τὸν ὑπὲρ φύσιν δι' οὗ φθορὰ ἐξωστράκισται.

**Μ**νήσθητι ἡμῶν,
Θεομῆτορ κόρη,
κατὰ τὸ σὸν πλούσιον ἔλεος
καὶ λύτρωσαι θλίψεως
καὶ παθῶν ἐπικρατήσεως
ὅπως ἀεὶ ὑμνῶμεν τὸν τόκον σου
τὸν ὑπὲρ φύσιν δι' οὗ φθορὰ ἐξωστράκισται.

**Ἆ**ρον πειρασμὸν
ἤδη ἐπενεχθέντα
τῇ ἐκκλησίᾳ σου καὶ φθείραντα
καὶ νόμους καὶ ἅπασαν
εὐταξίαν καὶ ἀντείσαξον
ἁγιασμὸν ὡς μέλπω τὸν τόκον σου
τὸν ὑπὲρ φύσιν δι' οὗ φθορὰ ἐξωστράκισται.

Ὠδὴ θ'. Ἀνάρχου γεννήτορος.

**Ν**αὲ ὑπεράγιε
τῆς ἀκηράτου φύσεως,
παμμακάριστε κόρη,
τὴν ἐκκλησίαν σου
ἐπίσκεψαι θᾶττον, Παρθένε,
καὶ δὸς ἐν αὐτῇ βαθεῖαν εἰρήνην
ὅπως τὸ σὸν ποίμνιον
μεγαλύνῃ τὴν σὴν πρόνοιαν.

**Ὁ** δῆμος ἠχρείωται
ὁ κλῆρος τεταπείνωται
τῆς σεπτῆς ἐκκλησίας
καὶ νῦν λογίζεται

ἀρετῇ κακίᾳ καὶ σκότας
ὑπὲρ τὸ φῶς διόρθωσον, κόρη,
ἵνα τὸ σὸν ποίμνιον
μεγαλύνῃ τὴν σὴν πρόνοιαν.

***Ὑ***πέρτερον ἔχουσαν
τῶν σεραφὶμ ἀξίωμα
καὶ πλησίον τελοῦσαν
τοῦ Θεοῦ ἔγνωμεν·
διὸ δυσωποῦμεν τὴν τάξιν
τὴν ἱερὰν ἀνόρθωσον, κόρη,
ἵνα τὸ σὸν ποίμνιον
μεγαλύνῃ τὴν σὴν πρόνοιαν.

***Ἡ*** θεία σκηνή, ἁγνή,
ἣν ἔπηξεν ὁ Κύριος
αἵματι τῷ οἰκείῳ
ἐξωνησάμενος
θερμῶς δυσωπεῖ σε τυχεῖν σου
τῆς ἀρωγῆς δεινῶς κλονουμένη
ἵνα τὸ σὸν ποίμνιον
μεγαλύνῃ τὴν σὴν πρόνοιαν.

***Λ***ειμὼν εὐανθέστατε
χαρίτων τῶν τοῦ Πνεύματος
τῆς ψυχῆς μου τὰς νόσους
ἴασαι δέομαι
καὶ τὴν ἱερὰν ἐκκλησίαν
ταῖς σαῖς λιταῖς κρίτυνον ἐν δόξῃ
ὅπως τὸ σὸν ποίμνιον
μεγαλύνῃ τὴν σὴν πρόνοιαν.

---

# 72

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κῶδ. Θ 66
φ. 47 Λαύρας.
370 φ. 29β
Ἐθν. Βιβλ. Παρισίων

*Ἦχος β'. Ὠδὴ α'. Δεῦτε λαοί.*

***Ἡ*** τὴν πηγὴν
τῆς ἀπαθείας κτήσασα
τραυματισθέντα πάθεσι,
κόρη, θεράπευσον
καὶ πυρὸς αἰωνίου
ἐξάρπασόν με, μόνη
Θεοχαρίτωτε.

***Τ***ίς ἐξειπεῖν
σοῦ κατ' ἀξίαν δυνήσεται
τὴν ὑπὲρ λόγον σύλληψιν;
Θεὸν γὰρ τέτοκας
ἐν σαρκί, πανυγία,
ὃν αἴτησαι σωθῆναι
τοὺς σὲ δοξάζοντας.

***Σ***ωματικῶν
ἀρρωστημάτων με λύτρωσαι
καὶ τῆς ψυχῆς μου ἴασαι
ἄδηλα τραύματα
καὶ πυρὸς αἰωνίου
ἐξάρπασόν με, μόνη
Θεοχαρίτωτε.

***Δ***όξα πιστῶν,
Θεογεννῆτορ, ὑπάρχουσα
τὸν σὲ πιστῶς δοξάζοντα
μελλούσης ποίησον
κοινωνὸν εὐφροσύνης
καὶ δόξης αἰωνίου
ταῖς προστασίαις σου.

Ὠδὴ γ'. Ἐν πέτρᾳ με τῆς πίστεως.

***Ἐ***κύησας τὸν ἄναρχον βασιλέα
ἐκ σοῦ, Παρθενομῆτορ, ἀρχὴν λαβόντα·
αὐτὸν οὖν ὡς φιλάνθρωπον ἐκδυσώπει
σωθῆναι τὸν δοῦλόν σου ἐκ πάσης θλίψεως
καὶ μελλούσης κρίσεως καὶ κολάσεως.

***Δ***ιάλυσον τὴν πώρωσιν τῆς ψυχῆς μου
τὰ τραύματα θεράπευσον καὶ τὰ ἕλκη
ἀπόσμηξον τῇ θείᾳ σου δυναστείᾳ
καὶ κατανύξεως ῥεῖθρα παράσχου μοι
ἡ πηγὴν κτήσασα τὴν ἀείζωον.



***Ν***οσοῦσαν τὴν ψυχήν μου, Θεοκυῆτορ,
δαιμόνων ἐπηρείαις καὶ ῥαθυμίαις
θεράπευσον καὶ δάκρυα μετανοίας
δὸς τῇ καρδίᾳ μου καὶ τοῦ Δεσπότου μου
ἐν αὐτῇ ἐμφύτευσον φόβον, πάναγνε.

***Τ***ὸν ζόφον τῆς ψυχῆς μου, Θεοκυῆτορ,
καταύγασον φωτί σου τῷ ἀνεσπέρῳ
καὶ πράττειν ἐντολάς με τὰς τοῦ υἱοῦ σου,
κόρη, δυνάμωσον ἵνα δοξάζω σε
τὴν ἐμὴν βοήθειαν καὶ παράκλησιν.

Ὠδὴ δ'. Ὑμνῶ σε· ἀκοὴν γάρ.

***Ὑ***μνῶ σε
ἀξίως, πανύμνητε,
ὑπερύμνητον Θεὸν Λόγον
ὑπερφυῶς τέξασαν
καὶ δέομαι τῆς ταπεινῆς μου
ψυχῆς τὰ νοσήματα θεράπευσον
καὶ τῆς δεινῆς με ῥῦσαι κατακρίσεως.

***Τ***ὰ πάθη
τῆς ψυχῆς μου ἴασαι
συμφυέντα μοι πανσθενῶς
τὸν λογισμὸν φώτισον
μακρὰν διώκουσα τὸ σκότος,
ἁγνή, τῶν δαιμόνων τῶν θλιβόντων με
καὶ καθ' ἑκάστην λόχους τεκταινόντων μοι.

***Σ***υνήθως
ἐφ' ἡμᾶς τὰ πλούσια
σοῦ ἔλη, Παρθένε, ῥᾶνον
νοσήματα παύουσα
καὶ πάθη λύουσα ποικίλα
ψυχῶν· διὸ λῦσον τῆς καρδίας μου
σειρὰς ἁμαρτημάτων καὶ νοσήματα.

***Ἐ***πέστη
πονηρὸν συνέδριον
ἀπελέγχον μοι τὰ πρακτέα
καὶ φόβος με πάντοθεν
ἐκλόνησεν· οὐδεὶς γὰρ τότε
ἐμοὶ βοηθὸς οὐδὲ συνήγορος,
μῆτερ Θεοῦ, προφθάσασα βοήθησον.

Ὠδὴ ε'. Ὁ φωτισμός.

***Ἐ***πιβουλαῖς
καὶ ἐνέδραις τοῦ πλάνου
ἐθανατώθην,
δέσποινα πανάμωμε, ζώωσόν με
ἡ τετοκυῖα
τὴν ζωὴν τῶν ἁπάντων,
Θεοτόκε, τὴν ἀνυπόστατον
ἵνα σε ὑμνῶ
εὐσεβῶς τὴν πανύμνητον.

***Ἡ*** τοῦ ἀμνοῦ
καὶ ποιμένος δειχθεῖσα,
Παρθένε, μήτηρ
ποίμνιόν με γνώμῃ πεπλανημένον
καὶ δεξιοῖς με
συνταχθῆναι προβάτοις
ἐν ἡμέρᾳ δίκης ἀξίωσον
ὅπως σοι τὴν χάριν
ὑμνῶ τὴν σωτήριον.

***Ἀ***πὸ παθῶν
ἀμαυρώσεως, κόρη,
ἀπὸ σκανδάλων
τῶν προσγινομένων μοι ἐπηρείαις
τοῦ ἀλλοτρίου
μενουσῶν τε βασάνων
αἰωνίων τοὺς ἁμαρτάνοντας
ῥῦσαί με ταῖς σαῖς
δυσωπῶ παρακλήσεσιν.

***Ὑ***πὲρ ἡμῶν
τὸν υἱὸν καὶ Θεόν σου,
Θεοκυῆτορ,
πάντοτε δυσώπει, εὐλογημένη,
ὅπως ῥυσθῶμεν
ὁρωμένων καὶ πάντων
ἀοράτων ἐχθρῶν, πανάμωμε,
καὶ τῆς φοβερᾶς
καὶ δεινῆς κατακρίσεως.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

***Ν***ῦν πρὸς σὲ καταφεύγω, πανάμωμε,
σῶσόν με πρεσβείαις σου καὶ διατήρησον·
ὅσα γὰρ θέλεις δύνασαι
οἷα μήτηρ τοῦ πάντα ἰσχύοντος.

***Χ***ειμαζόμενον σάλῳ τῶν θλίψεων
καὶ κλυδωνιζόμενον ἐπαναστάσεσι
τρικυμιῶν διάσωσον,
Θεοτόκε Παρθένε, τὸν δοῦλόν σου.

**Σ**υμπαθείας με θείας ἀξίωσον
ἡ τὸν συμπαθέστατον Λόγον κυήσασα
τὸν ἡδοναῖς προσκείμενον
καὶ πυρὸς αἰωνίου ἐξάρπασον.

**Π**αναγία Παρθένε Θεόνυμφε,
ἡ μετὰ Θεὸν προστασία τῶν δούλων σου
ἐν ὥρᾳ τῆς ἐτάσεως
προστασία ψυχῆς μου γενήθητι.

Ὠδὴ ζ΄. Ἀντίθεον πρόσταγμα.

**Ζ**ωὴν ἐνυπόστατον ἡμῖν τεκοῦσα
θανάτῳ τὸν θάνατον
σαφῶς ἐξαφανίσασαν
τὰ πάθη θανάτωσον
τὰ τῆς καρδίας μου
καὶ πηγὴν παράσχου μοι, ἁγνή,
δακρύων ὅπως ἀεὶ δοξάζω σε.

**Ἐ**λπὶς ἀκαταίσχυντε ἐλπὶς βεβαία
καὶ τεῖχος ἀκράδαντον
καὶ σκέπη καὶ βοήθεια
γενοῦ μοι, πανάμωμε,
τῷ πεποιθότι εἰς σὲ
καὶ πρὸς φῶς ὁδήγησον, ἁγνή,
τῆς μετανοίας καὶ κατανύξεως.

**Ὃ**ν ἔτεκες, Δέσποινα, ἀεὶ δυσώπει
δουλείας ῥυσθῆναί με
παθῶν καὶ κατακρίσεως
καὶ τῆς συνεχούσης με
δεινῆς πωρώσεως
καὶ τῆς τῶν θλιβόντων με ἀεὶ
ἐπικρατείας τῶν ἀοράτων ἐχθρῶν.

**Λ**υχνία γεγένησαι τῆς θείας δόξης
ἀπαύγασμα φαίνουσα,
Παρθένε, διὰ σώματος
ἡμῖν φανερούμενον
καὶ τὴν τοῦ ᾅδου ἀχλὺν
φέγγει τῆς θεότητος αὐτοῦ
ἐξαφανίζον, Θεοχαρίτωτε.

Ὠδὴ η΄. Τον ἐν καμίνῳ τοῦ πυρός.

**Κ**αταφυγὴ χριστιανῶν
βοηθὲ τῶν ἐν δεινοῖς συνεχομένων,
παναγία Παρθένε,
μὴ ὑπερίδῃς ἡμᾶς
κινδύνοις κυκλουμένους πάντοτε
καὶ παλλαῖς ἐφόδοις
τῶν πονηρῶν δαιμόνων.

**Μ**ὴ ἐπιλάθῃ τῆς φωνῆς
προστασία φοβερὰ τῶν οἰκετῶν σου
ἀλλ' ἐκ πάσης ὀδύνης
ταῖς ἱκεσίαις ταῖς σαῖς
καὶ πάσης ἀπειλῆς ἐξάρπασον·
κάμπτει γὰρ ἡ σὴ
μητρικὴ Θεὸν πρεσβεία.

**Σ**τῆσον παθῶν μου τὸ δεινὸν
νῦν κλυδώνιον, ἁγνὴ εὐλογημένη,
καὶ πολέμησον πάντας
τοὺς ἀφειδῶς τῇ ἐμῇ
πτωχείᾳ, κόρη, ἐπεμβαίνοντας
δυσμενεῖς ὑπάρχοντας
καὶ πάθη ψυχοφθόρα.

**Σ**ὺ εἶ ἡ πύλη τῆς ζωῆς
ἡ ἀνοίγουσα πιστοῖς τῆς μετανοίας
τὰς εἰσόδους ἡ μόνη
ἀπηλπισμένων ἐλπίς·
διό μοι τὰ σπλάγχνα σου ἄνοιξον
καὶ ἐκ τῶν πυλῶν με
ἐξάρπασον τοῦ ᾅδου.

Ὠδὴ θ΄. Ἀνάρχου γεννήτορος.

**Φ**ιλάνθρωπον Κύριον
καὶ μόνον πολυέλεον
ὑπὲρ νοῦν τε καὶ λόγον
ἀποκυήσασα
τοῦτον ἐκδυσώπει, Παρθένε,
τῇ φοβερᾷ ἡμέρᾳ καὶ ὥρᾳ
ῥυσθῆναι κολάσεως
αἰωνίου τοὺς ὑμνοῦντάς σε.

**Ἡ**μῖν τοῖς ὑμνοῦσί σε
καὶ πίστει σε δοξάζουσι
καὶ τῇ θείᾳ σου σκέπῃ
ἀεὶ προστρέχουσι
δίδου οὐρανόθεν τὴν λύσιν
τῶν δυσχερῶν
καὶ τῶν τυραννούντων
παθῶν, Θεονύμφευτε,
καὶ κολάσεως καὶ κρίσεως.



**Ἀ**γάθυνον, Δέσποινα,
τὴν ταπεινὴν καρδίαν μου
ἡδονῶν κακωθεῖσαν
ταῖς ἐπιλύσεσιν
ὡς τὸν ἀγαθὸν τετοκυῖα
καὶ ἀγαθὴ
ὑπάρχουσα ὅλη
καὶ πρὸς μετανοίας με
ἀγαθὰς πύλας εἰσάγαγε.

**Ν**υκτὶ συνεχόμενον
καὶ σκότει καλυπτόμενον
ζοφερῶν ἐγκλημάτων
καὶ παραπτώσεων
ἡ ἀνατολὴ τοῦ ἡλίου
τοῦ νοητοῦ
τῆς δικαιοσύνης
φαιδροῖς ἀμαρύγμασι
μετανοίας με καταύγασον.

73

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κώδ. 370 φ. 201β
Ἐθν. Βιβλ. Παρισίων

***Ἦχος β΄. Ὠδὴ α΄. Δεῦτε λαοί.***

**Σ**ὲ τοῦ Θεοῦ
τὸ καθαρώτατον σκήνωμα
καθικετεύω, ἄχραντε,
τὴν σπιλωθεῖσάν μου
ἡδοναῖς ἀκαθάρτοις
καθάρισον καρδίαν
ταῖς ἱκεσίαις σου.

**Μ**όνη Θεόν,
εὐλογημένη, κυήσασα
τῶν ἀθλητῶν τὸ καύχημα
πάντων διάσωσμα
αἰωνίου φλογός με
ἐξάρπασον καὶ σῶσον
τῇ εὐσπλαγχνίᾳ σου.

**Ἡ** τῶν πιστῶν
καταφυγή, ἀειπάρθενε,
ἡ κραταιὰ βοήθεια
τῶν προστρεχόντων σοι
ἀπὸ πάσης ἀνάγκης
καὶ βλάβης ἐναντίας
ἡμᾶς διάσωσον.

Ὠδὴ γ΄. Τῆς πίστεως ἐν πέτρᾳ με.

**Τ**ὰ πάθη τῆς ψυχῆς ἡμῶν καὶ σωμά-
[των
ἰάτρευσον, πανάμωμε, καὶ βαδίζειν
τὰς τρίβους κατεύθυνον τὰς φερού-
[σας
πρὸς τὴν ἀπόλαυσιν τὴν αἰωνίζουσαν
καὶ τρυφὴν τὴν ἄρρευστον καὶ ἀνώ-
[λεθρον.

**Ν**υσταγμῷ με ῥαθυμίας κεκρατημένον
πρὸς ὄρθρον μετανοίας διέγειρόν με
καὶ ἴασαι νοσοῦσάν μου τὴν καρδίαν
καὶ αἰωνίου με πυρὸς ἐξάρπασον
καὶ δεινῆς, πανάχραντε, κατακρίσεως.

**Δ**οξάζει σε τὴν μόνην εὐλογημένην
τὸ γένος τῶν ἀνθρώπων, Παρθενομῆτορ,
διὸ μελλούσης δόξης με κληρονόμον,
ἄχραντε, ποίησον τῇ μεσιτείᾳ σου
τὸν πιστῶς ὑμνοῦντά σε, Θεοδόξαστε.

**Σ**ὺ μόνη προστασία καὶ βοηθός μου
γενοῦ, Θεογεννῆτορ εὐλογημένη,
καὶ ῥῦσαί με δαιμόνων τῆς ἐπηρείας
καὶ τῶν θλιβόντων με παθῶν καὶ κρίσεως
καὶ πυρὸς φλογίζοντος καὶ κολάσεως.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε τὴν ἀκοήν.

**Κ**αταλάμπρυνον, ἄχραντε,
τὴν ζοφερὰν ψυχήν μου τῷ φωτί σου
ἡ τὸ φῶς τεκοῦσα τὸ ἐνυπόστατον.

**Ε**ὐλογημένη πάναγνε,
τοὺς λογισμοὺς πρὸς εὔδιον λιμένα
ἀπαθείας ἴθυνον καὶ καθαρότητος.

**Ὡ**ς προστάτιν σε, Δέσποινα,
καὶ τῆς ἐμῆς ἐλπίδος προσδοκίαν
κεκτημένος πέποιθα τῇ πρεσβείᾳ σου.

Ὠδὴ ε΄. Ὁ τοῦ φωτὸς χορηγός.

**Ἐ**παγωγῆς πονηρᾶς
καὶ προνομῆς, μήτηρ Θεοῦ, λύτρωσαι
τὸν σὸν υἱὸν ἱλεωσαμένη
καὶ χειραγωγοῦσα
αὐτοῦ θελημάτων
πρὸς θείαν ἐκπλήρωσιν.

**Σ**ὲ προστασίαν, ἁγνή,
καὶ τῆς ἐλπίδος ἀσφαλῆ ἄγκυραν
καὶ συνοχὴν καὶ σκέπην καὶ τεῖχος
κεκτήμεθα πάντες
καὶ πρὸς βασιλείαν
εἰσάγουσαν γέφυραν.

**Τ**ὴν πληγωθεῖσάν μου
ταῖς προσβολαῖς τοῦ δυσμενοῦς, ἄχραντε,
ὡς συμπαθὴς ἴασαι καρδίαν
καὶ ῥῦσαί με χειρὸς
δαιμόνων ἀγρίων
φρικτῆς τε κολάσεως.

Ὠδὴ ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

**Ἐ**πὶ σοὶ τὰς ἐλπίδας ἀνέθηκα,
μῆτερ ἀειπάρθενε, τῆς σωτηρίας μου
καὶ σὲ προστάτην τίθημι
τῆς ζωῆς ἀσφαλῆ τε καὶ ἄσειστον.

**Τ**ὰ ποικίλα μου πάθη θεράπευσον
μόνη ἀειπάρθενε νύμφη ἀνύμφευτε,
σὺ γὰρ λιμὴν ἀχείμαστος
ἀνεδείχθης ἡμῖν τοῖς ὑμνοῦσί σε.

**Ἀ**γκαλῶν με τῶν σῶν μακρυνόμενον
χώραις ἀλλοτρίαις, Χριστέ, τε κολλώμενον
οἷα πολίταις πάθεσι
τῆς μητρός σου λιταῖς ἀνακάλεσαι.

Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

**Ε**ἰς σὲ τὴν ἐμὴν
ἀνεθέμην ἐκ ψυχῆς ἐλπίδα πᾶσαν
καὶ ἀτενίζω προσδεχόμενος
τὴν θείαν ὄντως παράκλησιν
πρόφθασον, ἁγνὴ Θεοτόκε,
καὶ χαρίτωσον τρίβον τε
ὑποδεικνῦσα πρὸς Θεὸν
διαβιβάζουσαν.

**Ἀ**νθρώπων δεινῶν
καὶ δαιμόνων πονηρῶν καὶ πάσης ἄλλης
κακοπραγίας καὶ συμπτώσεως
καὶ ἀλογίστου συμβάσεως
ῥῦσαί με, ἁγία Παρθένε,
καὶ συντήρησον ψάλλοντα
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

**Ἡ** μόνη ἐλπὶς
καὶ βοήθεια πιστῶν, Θεογεννήτρια,
σπεῦσον βοήθησον τοῖς οἰκέταις σου
βυθιζομένοις τοῖς πάθεσι
καὶ ταῖς τῶν δαιμόνων ἀπάταις
καὶ τρικυμίαις τῶν θλίψεων
τοῖς καταφεύγουσιν εἰς σὲ
ἐν πεποιθήσει ψυχῆς.

Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

**Ζ**ῶσα ὑπάρχουσα πηγὴ
ὡς τὸ ὕδωρ τῆς ζωῆς ἀποτεκοῦσα
τὴν ψυχήν μου τακεῖσαν
τῆς ἁμαρτίας φλογμῷ,
Παρθένε Θεοτόκε, πότισον
καὶ τῆς αἰωνίου
ἐξάρπασον φλογός με.

**Ν**ηγεὶς τῷ βέλει τοῦ ἐχθροῦ
τὴν ψυχὴν ὁλοτελῶς ἐτραυματίσθην
καὶ ἀνίατα πάσχω·
ἡ τὸν σωτῆρα Χριστὸν
ἀρρήτως τεκοῦσα, πανάμωμε,
ἴασαί με σῶσον
ἐλπίς μου ἡ βεβαία.

**Ἐ**παγωγῆς με πονηρᾶς
καὶ ἀκαίρων λογισμῶν καὶ πάσης ἄλλης
ψυχοφθόρου ἀπάτης,
Θεογεννῆτορ ἁγνή,
ῥυσθῆναι ἀπαύστως ἱκέτευε
ὅπως ἀνυμνῶ σε
ὡς σκέπην μου καὶ τεῖχος.



Ὠδὴ θ΄. Ἀνάρχου γεννήτορος.

**Ἁ**γία πανάμωμε,
ἁγίασον τοὺς δούλους σου
ὑπεράγιον Λόγον
σαρκὶ κυήσασα
λύτρωσαι ἡμᾶς τῶν παγίδων
τοῦ πονηροῦ, σῶσον ἡμᾶς πάντας
τοὺς σὲ Θεομήτορα
ὀρθοδόξως μεγαλύνοντας.

**Φ**ιλάγαθε Δέσποινα
πολλαῖς κεκακωμένην μου
[τὴν] ψυχὴν ἁμαρτίαις
ἤδη ἀγάθυνον
σῶσόν με πελάγει τοῦ βίου
πολυειδῶς, ἁγνὴ Θεοτόκε,
ἀεὶ χειμαζόμενον
καὶ δεινῶς κλυδωνιζόμενον.

**Φ**ωτί με καταύγασον
τὸν ἐν τῷ σκότει κείμενον
τῆς δεινῆς ἀθυμίας,
Θεοχαρίτωτε,
καὶ μὴ προαιρούμενον ὅλως
τοὺς τοῦ Θεοῦ νόμους συντηρῆσαι
ὅπως ὡς προστάτην μου
κατὰ χρέος μακαρίζω σε.

## 74

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κώδ. 370 φ. 35 β
Ἐθν. Βιβλ. Παρισίων

***Ἦχος β΄. Ὠδὴ α΄. Δεῦτε λαοί.***

**Π**ροφητικαὶ
σάλπιγγες σὲ προηγόρευσαν
τὸ ἐπὶ σοὶ μυστήριον
μυσταγωγούμεναι,
Θεοτόκε Παρθένε,
καὶ πόρρωθεν ὁρῶσαι
τὰ σὰ θαυμάσια.

**Π**οῖός σοι νοῦς
ἢ ποία γλῶσσα δυνήσεται,
Παρθενομῆτορ ἄχραντε,
ὕμνον ἐπάξιον
προσκομίζειν ἐμφρόνως;
τὰ σὰ γὰρ ὑπεραίρει
θεῖα θαυμάσια.

**Σ**ὲ ἡ σκηνὴ
τοῦ μαρτυρίου προέγραφε
πολυειδῶς τυπούμενον
ὑποδεικνύουσα
τὸν ἐκ σοῦ σαρκωθέντα
ἀτρέπτως, Θεομῆτορ
πάναγνε Δέσποινα.

Ὠδὴ γ΄. Στερέωσον ἡμᾶς.

**Ὁ** μόνος ὡς Θεὸς τὸ πᾶν πηξάμενος
καὶ πλάσας τὸν ἄνθρωπον, Θεομῆτορ,
ὑπὸ [σοῦ] σάρκα δανείζεται
τὴν ἡμῶν σωτηρίαν προμηθούμενος.

**Σ**υνέλαβες, ἁγνή, Θεὸν καὶ ἔτεκες
τὸν Λόγον ἀφράστως σεσαρκωμένον
ἐν προφήταις τὸν λαλήσαντα
καὶ τελέσαντα τούτων τὰ κηρύγματα.

**Ν**αόν σε γηγενεῖς καὶ ἐνδιαίτημα
τοῦ Λόγου ὑμνοῦμεν, Θεογεννῆτορ,
ἐπελεύσει θείου Πνεύματος
καὶ πατρὸς εὐδοκίᾳ προελθόντος ἐκ σοῦ.

**Ἡ**νώθη σοφῶς διὰ τοῦ τόκου σου
τοῦ θείου, Παρθένε, ἡ ἀνθρωπότης
ἑνωθεῖσα καθ' ὑπόστασιν
τῷ Δεσπότῃ τῶν ὅλων, Θεονύμφευτε.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

**Ν**ενεκρωμένον πάθεσι
καὶ λογισμοῖς καὶ βίου τρικυμίαις
ἀνάστησον μόνη
πύλη τῆς ὄντως ζωῆς.

**Δ**ελυτρωμένοι, πάναγνε,
τῶν ζοφερῶν τοῦ ᾅδου κευθμώνων
τῷ θείῳ σου τόκῳ
σὲ μακαρίζομεν.

**Ὡ**ς λιμένα σε ἔχοντες
καὶ ἀσφαλῆ τοῦ κόσμου σωτηρίαν,
Θεοτόκε ἄχραντε,
νῦν [διὰ]σωζόμεθα.

**Ὑ**μνολογοῦντες, ἄχραντε,
τὸν ἐν γαστρὶ τῇ σῇ σωματωθέντα
σὲ δοξολογοῦμεν
ὡς Θεομήτορα.

Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

[**Μ**ό]νη ἐφάνης, σεμνή,
καὶ μετὰ τόκον ὥσπερ ἧς ἄφθορος·
Θεὸς γὰρ ἦν ὁ σάρκα φορέσας
ἐκ σοῦ καὶ φυλάξας
τὴν σὴν παρθενίαν
ἀλώβητον, ἄχραντε.

**Ἐ**πεληθεύουσαν
τῷ σεβασμίῳ καὶ φρικτῷ τόκῳ σου
καὶ τὴν φωνὴν καρδίᾳ καὶ γλώσσῃ
προσάπτοντες τρανῶς
σὲ νῦν Θεοτόκον,
ἁγνή, ὀνομάζομεν.

**Υ**ἱὸν τὸν ἄναρχον
καὶ συναΐδιον πατρὶ τέτοκας
ὑπερφυῶς ἐκ σοῦ σαρκωθέντα,
πανάμωμε κόρη,
διὸ Θεοτόκον
ἁγνήν σε κηρύττομεν.

**Ὥ**σπερ κρηπῖδα τὴν σὴν
ἐπιστασίαν οἱ πιστοὶ ἔχοντες
καὶ συμφοραῖς πικρῶν νοσημάτων
κυκλούμενοι πρὸς σὲ
προθύμως, Παρθένε,
προσφεύγομεν, Δέσποινα.

Ὠδὴ ϛ'. Ἐν ἀβύσσῳ πταισμάτων.

**Μ**υστικῶς οἱ προφῆται θεάμενοι,
Δέσποινα πανάμωμε, τὰ σὰ μυστήρια
συμβολικαῖς ἐμφάσεσιν
οἱ θεῖοι τοῖς πᾶσι προηγγείλαν.

**Ν**ῦν πρὸς σὲ καταφεύγω, πανάχραντε,
σῶσόν με πρεσβείαις σου καὶ διατήρησον·
ὅσα γὰρ θέλεις δύνασαι
οἷα μήτηρ τοῦ πάντα ἰσχύοντος.

**Φ**ωτεινὸν μοι τὸν βίον ἀπέργασαι
ἡ φῶς τὸ ἀπρόσιτον μόνη κυήσασα
καὶ πρὸς λιμένα εὔδιον
καθοδήγησον, μῆτερ ἀπείρανδρε.

## ΚΑΘΙΣΜΑ

*Ἦχος β'. Τὴν ἐν πρεσβείαις.*

**Ἡ** ἐν ἀνάγκαις ὡς ἔμψυχος κυβερνήτις
καὶ ἐν κινδύνοις ἀκαταίσχυντος προστασία
μόνη μητρόθεε καὶ ἀπάκουστε
τῇ προσευχῇ μου νεῦσον
ὀδυνηρῶς βοῶντος σοι
τὴν λύπην τῆς ψυχῆς μου διασκέδασον.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

**Θ**εὸν ἀληθῶς
συλλαβοῦσα ἐν γαστρὶ διὰ τοῦ Πνεύματος
τίκτεις ἀφράστως διαμείνασα
ὡς πρὶν παρθένος, πανάμωμε,
ὅθεν σοι τὸ χαῖρε βοῶμεν
Γαβριὴλ συμφθεγγόμενοι
εὐλογημένη ἡ Θεὸν
σαρκὶ κυήσασα.

**Ἀ**δύτου φωτὸς
καὶ λαμπάδος θείκῆς καὶ ἀπαυγάσματος
ὤφθης λυχνία χρυσαυγίζουσα
καὶ κόσμον ὅλον αὐγάζουσα
αἴγλῃ τῆς σεπτῆς παρθενίας
καὶ τοὺς ψάλλοντας σώζουσα
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

**Ν**εκροῦται Ἀδὰμ
παραβὰς τὴν ἐντολὴν τοῦ παντοκράτορος
σὺ δὲ τεκοῦσα τὴν αἰώνιον
ζωήν, Παρθένε πανάμωμε,
τοῦτον ἐλυτρώσω θανάτου
τῷ υἱῷ σου κραυγάζοντα
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

**Ὑ**πάρχων τὸ πρὶν
ἀπερίγραπτος Θεὸς φύσει τοῦ σώματος
περιεγράφη ὃ προσείληφε
κατασκηνώσας σοι, πάναγνε,
τὴν ἡγιασμένην γαστέρα·
διὸ πίστει κραυγάζομεν
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.



Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

**Ὄ**ρος Θεοῦ τὸ ἐμφανὲς
τὸ ἐπάνω τῶν βουνῶν ὑπερηρμένον,
Θεοτόκε Παρθένε,
σὺ καθοράθης, σεμνή,
ἐκ σοῦ γὰρ ἥλιος ἐπέλαμψε
τῆς δικαιοσύνης
Χριστὸς κόσμον φωτίζων.

**Τ**ὸν βασιλέα τοῦ παντὸς
ἡ γεννήσασα, σεμνή, τῆς τυραννίδος
τῶν παθῶν λυτρουμένη
τοὺς εὐσεβεῖ λογισμῷ
μητέρα Θεοῦ σε γινώσκοντας
τῆς ἐν παραδείσῳ
τρυφῆς τυχεῖν δεσπόζει.

**Μ**ύρον κενούμενον ἐκ σοῦ,
Θεοτόκε, τὸν Χριστὸν κυοφοροῦσα
εὐωδίασας κόσμον
ἐν θεοπνεύστοις ὀδμαῖς·
διό σε τὸ χαῖρε κραυγάζομεν
καὶ ὑπερυψοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

**Φ**ωτοειδὴς στῦλος πυρὸς
καὶ νεφέλη φωτεινὴ προηγουμένη
πρὸς οὐράνιον κλῆρον,
Θεογεννῆτορ ἁγνή,
γενοῦ μοι, Παρθένε πανάμωμε,
τῷ ἐν τῇ ἐρήμῳ
τοῦ βίου πλανωμένῳ.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

**Ὡ**ς τὸν Θεὸν συλλαβοῦσαν
καὶ Θεοῦ γενομένην
μητέρα κατ' ἀλήθειαν, ἁγνή,
σὲ Θεοτόκον δοξάζομεν
τῶν πραγμάτων τὴν φύσιν
τῇ κλήσει προσαρμόζοντες τρανῶς
καὶ προσφόρως τὴν θείαν
φωνήν σοι προσκομίζομεν.

**Σ**εσαρκωμένον τὸν Λόγον
τὸν πρὶν ἄναρχον ὄντα
καθ' ὃ Θεὸς ὑπάρχων ἐκ Θεοῦ
τέτοκας μόνη, πανύμνητε,
ἐπὶ ἀνακαινίσει
καὶ σωτηρίᾳ πάντων γηγενῶν·
διὸ πίστει σε πάντες
ἐν ὕμνοις μεγαλύνομεν.

**Σ**ωματωθεὶς ἀπορρήτως
ἐξ ἁγνῶν σου αἱμάτων
ὡς ἥλιος ἐπέφανεν ἡμῖν,
πάναγνε μῆτερ ἀνύμφευτε,
τῶν αἰώνων ἁπάντων
ὁ πρὶν πατρὶ συνάναρχος υἱὸς
καὶ τὸ σκότος διώξας
ἐφώτισε τὰ σύμπαντα.

**Ὑ**πὲρ ἡμῶν δυσωποῦσα
τὸν υἱόν σου μὴ παύσῃ,
Παρθένε, τὸν φιλάνθρωπον Θεόν·
σὲ γὰρ ἐλπίδα κεκτήμεθα
καὶ τῇ σῇ προστασίᾳ
λυτρούμεθα κινδύνων καὶ παθῶν
καὶ πταισμάτων καὶ νόσων
οἱ πίστει σε δοξάζοντες.

# 75

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κώδ. 370 φ. 39α
Ἐθν. Βιβλ. Παρισίων

***Ἦχος β΄. Ὠδὴ α΄. Δεῦτε λαοί.***

***Ὅ**λος ἐν σοὶ
κατασκηνώσας ἐν μήτρᾳ σου
ὅλον ἐμὲ τὸν ἄνθρωπον
ἀνεμορφώσατο
ἐκ πατρὸς ἀναλάμψας
πρὸ πάντων τῶν αἰώνων
Λόγος ὁ ἄναρχος.

**Θ**εὸν ἐκ σοῦ
σωματωθέντα γινώσκομεν
ἄνευ σαρκὸς θελήματος
τὸν πρὸ τῆς κτίσεως
καὶ πρὸ πάντων αἰώνων
κυρίως Θεοτόκον
ὁμολογοῦμέν σε.

**Ὑ**περφυῶς
τὸν ὑπὲρ πάντα γεγέννηκας
δημιουργὸν καὶ Κύριον
σάρκα γενόμενον
δι᾿ ἡμᾶς τοὺς ἀνθρώπους,
Παρθένε Θεοτόκε
μῆτερ ἀπείρανδρε.

**Σ**ὲ στηριγμὸν
καὶ προστασίαν πλουτήσαντες
οἱ Θεοτόκον πάναγνον
ὁμολογοῦντές σε
τρικυμίας τοῦ βίου,
πανάμωμε Παρθένε,
διασωζόμεθα.

Ὠδὴ γ΄. Στερέωσον ἡμᾶς.

**Σ**τερέωμα γενοῦ καὶ καταφύγιον
καὶ σκέπη, Παρθένε Θεογεννῆτορ,
τοῖς ἐν πίστει σοι προστρέχουσι
καὶ Θεοῦ σε μητέρα καταγγέλλουσι.

**Ν**εκρώσεως ἡμῶν τὸν χοῦν ἐτίναξας
τεκοῦσα τὴν ὄντως ἀθανασίαν
καὶ στολὴν ἡμῖν ἐξύφανας
ἀφθαρσίας, Παρθένε, τῇ γεννήσει σου.

**Ἁ**γίαν κιβωτὸν καὶ ἱερώτατον
δοχεῖον, Παρθένε, γεγενημένην
τοῦ Κυρίου παντοκράτορος
ὁμοφρόνως εἰδότες σε δοξάζομεν.

**Θ**εόνυμφε σεμνή, Θεὸν ὃν ἔτεκες
δυσώπει ῥυσθῆναι τοὺς σὲ ὑμνοῦντας
πειρασμῶν καὶ περιστάσεων
καὶ παθῶν καὶ κινδύνων, Μητροπάρθενε.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

**Ὑ**μνολογοῦντες, ἄχραντε,
τὸν ἐν γαστρὶ τῇ σῇ σωματωθέντα
σὲ δοξολογοῦμεν ὡς Θεομήτορα.

**Κ**υβέρνησόν μου, πάναγνε,
τὸν λογισμὸν πρὸς εὔδιον λιμένα
τῆς σῆς ἀπαθείας καὶ καθαρότητος.

**Κ**αταλάμπρυνον, ἄχραντε,
τὴν ζοφερὰν ψυχήν μου τῷ φωτί σου
ἡ τὸ φῶς τεκοῦσα τὸ ἐνυπόστατον.

**Ε**ὐλογημένη πάναγνε
ταῖς σαῖς λιταῖς τὸν πόνον τῆς ψυχῆς μου
ἡ Θεὸν τεκοῦσα μόνη θεράπευσον.

Ὠδὴ ε΄. Ὁ τοῦ φωτὸς χορηγός.

**Ὁ** παλαιὸς ἡμερῶν
ὡς ἐπὶ πόκον ὑετός, πάναγνε,
ἐπὶ τὴν σὴν γαστέρα κατῆλθε
τὴν ἡγιασμένην
καὶ νέος ἐφάνη
Ἀδὰμ ὁ φιλάνθρωπος.

**Ὑ**πὸ τὴν σκέπην τὴν σὴν
καὶ προστασίαν οἱ πιστοί, πάναγνε,



διὰ παντὸς προσφεύγοντες πίστει
λυτρούμεθα πάσης
διὰ σοῦ, Παρθένε,
δεινῆς περιστάσεως.

**Ὡ**ς ἀκατάληπτον
καὶ δυσθεώρητον πᾶσι, Δέσποινα,
τὸ ὑπὲρ νοῦν μυστήριον, κόρη,
τοῦ θείου σου τόκου·
τὸν ὄντως γὰρ ὄντα
Θεὸν ἡμῖν τέτοκας.

**Τ**ὸ καθαρώτατον
τῆς παρθενίας καὶ σεπτὸν σκήνωμα
τὴν τὸν Θεὸν ἀπόρως τεκοῦσαν
ὑμνήσωμεν πιστοί·
ἡμῖν γὰρ ἐκ ταύτης
Θεὸς ἀνατέταλκεν.

Ὠδὴ ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

**Ὁ** κατέχων τὸν γῦρον τῆς γῆς ὡς Θεὸς
ἐν ταῖς σαῖς ἀγκάλαις, ἁγνή, περιέχεται
περιγραφῇ τοῦ σώματος
ὁ τὴν θείαν μορφὴν ἀπερίγραπτος.

**Ἐ**ν ἀβύσσῳ πταισμάτων κυκλούμενος
σὲ τὴν ἀειπάρθενον καὶ Θεομήτορα
ἐπικαλοῦμαι, Δέσποινα,
κυβερνήτην ψυχῆς μου γενέσθαι σε.

**Τ**ὰς αἰτήσεις ἡμῶν, ἀπειρόγαμε,
πρόσδεξαι καὶ ῥῦσαι κινδύνων καὶ θλίψεων
τοὺς ἐπὶ σοί, πανύμνητε,
τὰς ἐλπίδας θεμένους τοῦ σώζεσθαι.

Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

**Σ**ὺ μόνη Θεοῦ
τοῦ τὰ σύμπαντα σοφῶς δημιουργήσαντος
μήτηρ ἐδείχθης ἀπειρόγαμος,
Παρθενομῆτορ πανάχραντε,
ὅθεν εὐσεβῶς σοι, Παρθένε,
ἀνακράζοντες λέγομεν·
εὐλογημένη ἡ Θεὸν
σαρκὶ γεννήσασα.

**Λ**υχνία φωτὸς
καὶ νεφέλη φωτεινὴ καὶ ἁγιάσματος
τόπος ἐδείχθης, ἀπειρόγαμε,
τὸν γὰρ ἁγίων τὸν ἅγιον
Λόγον ὑπεδέξω ἀρρήστως
ὃν ὑμνοῦντες κραυγάζομεν·
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

**Ρ**ομφαία ἡ πρὶν
ἡ τοῦ ξύλου τῆς ζωῆς ἡμᾶς χωρήσασα
νῦν στρεφομένη ὑποδέχεται
τοὺς σημανθέντας τῷ αἵματι
τῷ ἐκ τῆς πλευρᾶς τοῦ υἱοῦ σου
προσελθόντι, πανάμωμε,
εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Οἰκτείρας, Χριστέ,
τὸ ἀνθρώπινον ἐρρύσω τῆς ἀρχαίας ἀρᾶς
ἐκ τῆς Παρθένου σὰρξ γενόμενος
ἀναλλοιώτως ὡς εὔσπλαγχνος·
διὸ καὶ ἡμᾶς ἀπογνώσει
τῶν κινδύνων διάσωσον
κακουμένους, ἀγαθέ,
ὁ τῶν πατέρων Θεός.

Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

**Ν**ενεκρωμένους καὶ πρὸς χοῦν
τοῦ θανάτου καὶ φθορᾶς κατενεχθέντας
ἐξανάστησον μόνη
τὸν ἀρχηγὸν τῆς ζωῆς
τεκοῦσα Χριστὸν τὸν Θεὸν ἡμῶν,
Δέσποινα Παρθένε,
ἁγνὴ Θεομῆτορ.

**Ὁ** τῆς κοιλίας σου καρπὸς
τῆς ἀφθάρτου μοι ζωῆς αἴτιος ὤφθη
καὶ τρυφῆς ἀϊδίου,
Θεογεννῆτορ ἁγνή,
διό σοι κραυγάζω γηθόμενος
τὴν τοῦ ἀρχαγγέλου
φωνὴν χαῖρε Παρθένε.

**Ἱ**ερουργὸν ὑπερφυῶς
ἐξ Ἰούδα τὸν Χριστὸν κυοφοροῦσα
τὸν τῆς χάριτος νόμον
ἀντεισκομίζεις ἡμῖν
τοῦ πρώτου, πανάμωμε Δέσποινα,
ὅθεν σε ὑμνοῦμεν,
ἁγνή, εἰς τοὺς αἰῶνας.

*Ἰ*σβολοῦσαν καθ' ἡμῶν
τὴν ἀπάτην τοῦ ἐχθροῦ ποικιλοτρόπως
ἡ τεκοῦσα τὸν κτίστην
ἀποτεφρώσασα,
Μαρία Παρθένε, συντήρησον
τοὺς σὲ Θεοτόκον
ἀεὶ ὁμολογοῦντας.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

*Ὡ*ς Θεοτόκον σε, κόρη,
καὶ μητέρα τοῦ Λόγου
καὶ πρόξενον ὑπάρχουσαν ἡμῖν
τῆς ἀϊδίου καὶ θείας ζωῆς
ὡς τῆς δικαιοσύνης
τὸν ἥλιον ἐκλάμψασα ἡμῖν
οἱ πιστοὶ ὁμοφρόνως
σὲ ὕμνοις μεγαλύνομεν.

*Σ*εσαρκωμένον τὸν Λόγον
τὸν πρὶν ἄυλον ὄντα
τῇ φύσει τῆς θεότητος ἡμῖν
ἔτεκες ὅμοιον, πάναγνε,
μετὰ τόκον παρθένος
ὡς πρὸ τοῦ τόκου μείνασα, ἁγνή,
διὸ πάντες σε ὕμνοις
ἀπαύστως μεγαλύνομεν.

*Ὡ*ς τοῦ Θεοῦ Θεὸν Λόγον
ὑπὲρ φύσιν τεκοῦσα
ἀσπόρως συλλαβοῦσα ἐν γαστρὶ
πάντων κτισμάτων δεσπόζεις, ἁγνή,
τοῦ υἱοῦ σου τὴν δόξαν
ὡς χρέος σοι προσνέμομεν ἀεὶ
ὃν ἱκέτευε σῶσαι
τοὺς πίστει ἀνυμνοῦντάς σε.

*Ἡ* ταῖς φωναῖς καμπτομένη
τῶν θερμῶς σε αἰτούντων
ἡ μόνη τῶν πιστῶν καταφυγὴ
σῶσον οἰκτείρησον, Δέσποινα,
διατήρησον βλάβης
ἐκ πάσης τῶν ἐχθρῶν ἐπιβουλῆς
τοὺς ἐν πίστει καὶ πόθῳ
ἀεί σε μεγαλύνοντας.

ΤΕΛΟΣ ΤΟΥ Β' ΗΧΟΥ

---

# ΗΧΟΣ ΤΡΙΤΟΣ

## 76
## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

« *Τρίτον μέλισμα τῇ πανυμνήτῳ πλέκω δοῦλος Ἰωάννης.* »

Κῶδ. Γ 77 Λαύρας.
52 φ. 59 β Βλατέων.

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

*Ἦχος γ'. Ὠδὴ α'. Ὁ τὰ ὕδατα πάλαι.*

*Τ*ὸν σωτῆρά μου Λόγον
ἡ διὰ λόγου
κυήσασα σαρκικῶς ὑπὲρ λόγον
λογικὸν ὄντα με
καὶ ταῖς ἀλόγοις ὁρμαῖς
ἀλόγως ὑπείκοντα
τῶν σαρκικῶν θελημάτων
λόγῳ σου σωφρόνισον
ἵνα σε λόγοις ὑμνῶ.

*Ρ*αθυμίας τῷ ὕπνῳ
τῆς διανοίας
τὰ ὄμματα βαρηθεὶς τῇ ἀγρύπνῳ
προσφυγών, Δέσποινα,
σοῦ μεσιτείᾳ βοῶ·
ἐπίβλεψον φώτισον
τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς μου
μήποτε εἰς θάνατον
ὑπνώσοι τέλεον.

*Ἰ*στουργήσας ὁ Λόγος
θεῖον ἱστόν σε,
πανύμνητε, νοητῆς ἐκ πορφύρας
σαρκικὴν ὕφανεν
ἐν σοὶ στολὴν ἑαυτῷ
δι' ἧς με ἐνέδυσε
καταστολὴν ἀφθαρσίας
καὶ δορὰν ἐξέδυσε
τὴν τῆς νεκρώσεως.

*Τ*ῶν ἁγνῶν νεανίδων
θίασος θεῖος
ὡραίαν ἐν γυναιξὶ καὶ καλήν σε
ἱεροῖς ᾄσμασι
προδιαγράφει, σεμνή,
Θεὸν γὰρ ἐκύησας
τὸν καλλωπίσαντα πάντα
καὶ καθωραΐσαντα,
ἡ καλλονὴ Ἰακώβ.

*Ὁ* περιδεδραγμένος
πάντων δρακὶ
πανοκράντῳ τῆς θεϊκῆς δυναστείας
ταῖς χερσί, πάναγνε,
καὶ ταῖς ἀγκάλαις ταῖς σαῖς
βρέφος περιέχεται
ζητῶν χειρὸς ἀφαρπάσαι
τοῦ δολίου δράκοντος
ἔργον ἰδίας χειρός.

Ὠδὴ γ'. Ὁ ἐκ μὴ ὄντων τὰ πάντα.

*Ν*υκτομαχοῦσαν τὴν ταλαιπωρόν μου ψυχὴν
νυκτὶ φαύλων πράξεων,
ζοφερῶν ἐνθυμήσεων
ἡ τεκοῦσα ἥλιον
δικαιοσύνης καταύγασον φωτί σου.

***Μ***εμολυσμένον τῷ λύθρῳ τῶν ἡδονῶν,
ἀπόλυσε, Δέσποινα,
ῥαντισμῷ τοῦ ἐλέους σου
ὡς ὑσσώπου κάθαρον
καὶ μολυσμοῦ τῶν παθῶν ἀπόπλυνόν με.

***Ἐ***ν τῇ ἐτάσει τῆς κρίσεως τῆς φρικτῆς
ἐν ᾗ παραστήσομαι
καὶ γυμνὸς καὶ κατάκριτος
τῷ ἀστέκτῳ βήματι
τῷ τοῦ υἱοῦ σου, σεμνή, πυρός με ῥῦσαι.

***Δ***ιαλαμπρυσμένη θεότητος καλλοναῖς
ὡς νύμφη πανέμορφος
ὡς ὡραία βασίλισσα
τῷ υἱῷ παρίστασαι
τῷ ἀληθεῖ βασιλεῖ, ἄφθορε κόρη.

***Ἴ***δε ἡ κλίνη ἣν ἔγραψε Σολομὼν
καὶ θρόνος ὁ πύρινος
Ἡσαΐας ὃν ἔβλεψεν·
ἐπὶ σοὶ γάρ, Δέσποινα,
ὁ βασιλεύς μου Χριστὸς ἐπανεπαύθη.

Ὠδὴ δʹ. Ἔθου πρὸς ἡμᾶς.

***Σ***τένω ἐννοῶν
τὴν αἰσχύνην, οἰκτρῷ, τῶν ἔργων μου
ὧν περ ἐν κρυφῇ καὶ φανερῶς
ἐξ ἀφοβίας πάσης ἐτέλεσα·
ἀλλά μοι συγχώρησον ταῖς τῆς μητρός σου,
Δέσποτα, δεήσεσι.

***Μ***όνος ἐν βροτοῖς
τὰ σεπτά σου σπλάγχνα παρώργισα
μόνος παρεπίκρανα, Χριστέ,
τὴν ὑπερβάλλουσάν σου χρηστότητα
δι᾿ ἣν με ἐλέησον ταῖς ἱκεσίαις,
Λόγε, τῆς τεκούσης σε.

***Ἅ***ρματι φρικτῷ
χερουβὶμ Θεὸν τὸν ὀχούμενον,
ὄχημα θεότευκτον, σεμνή,
σωματικῶς ὡς βρέφος ἐβάστασας
καὶ γάλακτι ἔθρεψας· ὢ μυστηρίου!
ὢ φρικτοῦ ἀκούσματος!

***Τ***όξα τῶν ἐχθρῶν
τὴν ἐμὴν ψυχὴν τὰ συντρίβοντα
σύντριψον καὶ σύνθλασον, ἁγνή,
τὰ τὴν ἐμὴν καρδίαν συνθλάττοντα
βέλη καὶ κατάκαυσον τοὺς ψυχοφθόρους
τούτων θυρεοὺς ἐν πυρί.

***Ἡ*** περικαλλὴς
καὶ ὡραία νύμφη καὶ ἄσπιλος
ἡ ἐκλελεγμένη τῷ Θεῷ
ἐκ γενεῶν πασῶν εἰς ἐνοίκησιν
οἰκῆσαι μεσίτευσον ἐν τῇ ψυχῇ μου,
κόρη, τὸν Παράκλητον.

Ὠδὴ εʹ. Ὡς εἶδεν Ἡσαΐας.

***Π***υρὸς τοῦ αἰωνίου ἡ συλλαβοῦσα
πῦρ τὸ θεῖον ῥῦσαί με
τὸν προποληθέντα τῶν ἡδονῶν τῷ πυρὶ
καὶ δός μοι τὸ ἀνάψαι πῦρ
ἐν καρδίᾳ ὅπερ ἦλθε τοῦ βαλεῖν
ἐν γῇ ὁ υἱός σου,
Θεοτόκε πανύμνητε.

***Ἀ***κάνθας καὶ τριβόλους ἁμαρτιῶν
ἡ γῆ ἐξανατείλασα
τῆς ἐμῆς καρδίας τὸν σπόρον ἔπνιξε
τὸν θεῖον, ἀνήροτε γῆ,
ἡ βλαστήσασα τὸν στάχυν τῆς ζωῆς
στάχυν με βλαστῆσαι
ἀρετῶν καταξίωσον.

***Ν***εώσασα, Παρθένε, τῷ τοῦ σταυροῦ
ἀρότρῳ τὴν καρδίαν μου
τὴν κεχερσωμένην τοῖς πλημμελήμασι
ἐν ταύτῃ τὸν φόβον Θεοῦ
οἷα σπόρον ἐγκατάθου εὐγενῆ
παθῶν μου τὴν βλάστην
ῥιζόθεν ἀνασπάσασα.

***Ὑ***πέραγνε Μαρία, τὸ τῆς ἐμῆς
καρδίας ἀγαλλίαμα
καὶ ἡ θυμηδία καὶ ἡ παράκλησις
ἐν ὥρᾳ τῆς ἐκδημίας
παραστάτις καὶ προστάτις μου γενοῦ
ὁδὸν εἰς εὐθεῖαν
τὴν ψυχήν μου εὐθύνουσα.



***Μ***υεῖταί σου τὸν τόκον ὁ Μωσῆς
τῇ φλογοφόρῳ βάτῳ
ἐν Σιναίῳ ὄρει, Θεογεννήτρια,
λαβὶς δὲ ἠνθρακωμένη
Ἡσαΐᾳ τῷ προφήτῃ προφανῶς
τοῦτον προμηνύει
τῷ καθαίροντι ἄνθρακι.

Ὠδὴ ςʹ. Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων.

***Ν***ενεκρωμένην περιφέρων
ὡς ἐν σήματι τῷ σώματι
τὴν πανάθλιόν μου ψυχὴν
τὴν ζωὴν τὴν ἐνυπόστατον
βοῶ σοι τῇ τεκούσῃ
σπεῦσον, ἁγνή, ζωῶσαί με
καὶ φωτίσαι καὶ σῶσαι.

***Ἡ*** ταπεινὴν βροτείαν φύσιν
ἀνυψώσασα καὶ πένητας
ἡ ἀνιστῶσα ἀπὸ γῆς
καὶ πτωχοὺς ἡ ἐξεγείρουσα
παθῶν ἀπὸ κοπρίας
ἐκ τοῦ χοός, παναμώμε,
τῶν κακῶν ἔγειρόν με.

***Τ***ὸν εἰς κατώτατον κακίας
πεπτωκότα, κόρη, βάραθρον
τῇ συμπαθεῖ σου δεξιᾷ
φιλανθρώπως με ἀνάγαγε
φιλάνθρωπον Δεσπότην
καὶ δεξιὰν ἡ τέξασα
τοῦ Θεοῦ τοῦ ὑψίστου.

***Ὡ***ς τὸν ὑψαύχενα ζηλώσας
Φαρισαῖον καὶ μεγάλαυχον
τῇ διανοίᾳ ἐπαρθεὶς
κατηνέχθην εἰς ἀπόνοιαν·
κἀμοὶ τὴν τοῦ Τελώνου
ἱεροποιὸν ταπείνωσιν,
Θεοτόκε, παράσχου.

***Π***αλαιωθέντα με παντοίαις
ἁμαρτίαις καινοποίησον
ἡ τετοκυῖα καινουργὸν
τῆς ἀνθρώπων παλαιότητος
καὶ ἀνακαινισθήτω
ὡς ἀετοῦ ἡ νεότης
ἡ τῆς ψυχῆς μου, Παρθένε.

## ΚΑΘΙΣΜΑ

***Ἦχος γʹ. Τὴν ὡραιότητα.***

***Ἡ*** ἀγεώργητος
γῆ καὶ ἀνήροτος
ἡ γεωργήσασα
τὸν γεωργὸν τοῦ παντὸς
γεωργηθέντα γεωργίᾳ Πνεύματος τοῦ ἁγίου
τὴν ὑλομανήσασαν
καὶ ἀκανθοφορήσασαν
γῆν τῆς διανοίας μου
θολεραῖς ἐπομβρίαις παθῶν
γεώργησον ἀρότρῳ μετανοίας
ὄμβροις ἀρδεύουσα δακρύων.

Ὠδὴ ζʹ. Ὡς πάλαι τοὺς εὐσεβεῖς.

***Λ***ῃστεύων ὁ δυσμενὴς
καὶ παρακαθήμενος
τὰς ἀτραποὺς τὰς βιωτικὰς
ἔνδον τῶν ἀρκύων αἰχμάλωτον αὐτοῦ
δολερῶς συνέσχε με,
Θεογεννῆτορ, ῥῦσαί με
τῆς δολίας δουλείας αὐτοῦ.

***Ἐ***πίβλεψον ἐπ᾿ ἐμέ,
Παρθένε, καὶ ῥῦσαί με
ἐκ τῆς χειρὸς τῆς τυραννικῆς
τῶν ἐπεμβαινόντων ἐχθρῶν μοι δυσμενῶς
καὶ ἐπικρατείας με
τῆς τῶν παθῶν ἐξάρπασον
τῶν κακῶς συμφυέντων μοι.

***Κ***οιλάδων τῶν κοσμικῶν
ὡς κρίνον ἐν μέσῳ σε
καὶ ἀκανθῶν τῶν βιωτικῶν
ὡς κοκκοβαφὲς ῥόδον εὔοσμον ἀνθοῦν
ὁ Θεὸς εὑράμενος
ἐν σοί, σεμνή, ἐσκήνωσε
καὶ ἡμᾶς εὐωδίασεν.

***Ὡ***ραῖος ἦν ὁ καρπὸς
τοῦ ξύλου τῆς γνώσεως
τοῦ ἐν Ἐδὲμ οὗπερ ὁ Ἀδὰμ
θάνατον πικρὸν ἀπετρύγησε φαγὼν
τῆς ζωῆς δὲ πρόξενος

τῆς ἀληθοῦς γνωρίζεται
  τοῖς πιστοῖς ὁ καρπός σου, ἁγνή.

  **Δ**ουλεύει τῷ ἐκ τῆς σῆς
νηδύος ἐκλάμψαντι
  ἥλιος πῦρ ἄστρα καὶ τὸ φῶς
ὡς πρὸ ἑωσφόρου ἡλίῳ νοητῷ
  οὗ ταῖς αὐγαῖς καταύγασον
τὴν ζοφώδη καρδίαν μου,
  [Θεοτόκε πανύμνητε].

Ὠδὴ η'. Ἀστέκτῳ πυρί

  **Ὁ** λόγος ἁγνὸς τοῦ Κυρίου
καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος διαμένει
  ὃν ὁ λάγνος ἐγὼ μισήσας
ἄναγνος γεγένημαι·
  ἐναγῶς γὰρ πάσῃ λαγνείᾳ συνέζησα·
δεῖξον οὖν ἁγνόν με, ὑπέραγνε Μαρία.

  **Υ**ἱὸν τοῦ Θεοῦ ἡ τεκοῦσα
καὶ υἱὸν ἀνθρώπου εὐδοκήσαντα γενέσθαι
  διὰ ἄπειρον εὐσπλαγχνίαν
υἱόν γεγονότα με
  ἀπωλείας τέκνον οὐρανίου ποίησον
πατρὸς καὶ ἡμέρας υἱὸν τῆς ἀνεσπέρου.

  **Λ**υχνία φωτὸς τοῦ ἀΰλου
πάγχρυσε παστὰς ἠγλαϊσμένη θεία κλίνη
  καὶ πυρίμορφε θρόνε δόξης
ἔμψυχον παλάτιον
  καὶ ταμεῖον πλῆρες πάσης καθαρότητος
καὶ ἁγιωσύνης ἁγίασον τὸν νοῦν μου.

  **Ὁ** πεποικιλμένος κακίᾳ
περιβεβλημένος ἀσωτίᾳ δυσωπῶ σε
  τὴν ἐν δόξῃ πεποικιλμένην
περιβεβλημένην τε
  διαχρύσῳ, κόρη, ἐσθῆτι θεότητος
στολὴν ἀπαθείας λαμπρὰν περιβαλεῖν με.

  **Σ**κληρᾶς ὡς ἐκ πέτρας ἀνίκμου
τῆς πεπωρωμένης μου καρδίας καὶ ἀγόνου
  κατανύξεως ὕδωρ βλῦσον
ὅλον ἀποπλυνόν με
  ἡ τεκοῦσα Λόγον τὸν μέλι χορτάσαντα
τὸν Ἰσραηλίτην λαὸν σκληρᾶς ἐκ πέτρας.

Ὠδὴ θ'. Ἐν Σινάϊῳ τῷ ὄρει.

  **Ἵ**να τί εἶ, ψυχή μου, περίλυπος
καὶ κατώδυνος ἀεί;
  ἵνα τί συνταράσσῃ πάντοτε
ἀπογνώσει παντελεῖ;
ἵνα τί σκυθρωπάζεις
  γέμουσα στυγνότητος;
τί δὲ στενάζουσα
  καὶ κατηφιῶσα
πενθεῖς ἀπαράκλητα;

  **Ὡ**ς ἀνάλγητος εἶ καὶ ἀναίσθητος
καὶ ὡς ἄνους παντελῶς
  ὡς λιθώδης τὴν φύσιν καὶ ἄτεγκτος
ὡς ἐκ πέτρας ἀνδριάς
  ὡς χαλκοῦ καὶ σιδήρου,
ἄθλιε, σκληρότερος
  τί προσποιούμενος
ἄγνοιαν ὧν πράττεις κακῶν
  ἐρωτᾷς τί πενθῶ;

  **Ἀ**λλὰ δεῦρο κοινῇ καὶ προσπέσωμεν
τῇ μητρὶ τῇ τοῦ Θεοῦ
  καὶ πρὸ τέλους στενάξωμεν κλαύσωμεν
καὶ θρηνήσωμεν πικρῶς
  ἐν θερμῇ κατανύξει
ταύτης κατενώπιον,
  Δέσποινα, κράζοντες·
σπεῦσον μὴ ἐάσῃς ἡμᾶς
  ἀπολέσθαι πυρί.

  **Ν**οσερῶς παρίσταμαι τῷ βήματι
τῷ ἀστέκτῳ καὶ φρικτῷ
  τοῦ ἀχράντου σου τόκου, πανάχραντε,
ὁ κατάκριτος δοκῶν
  περιηγκωνισμένος
ἔντρομος περίφοβος
  ἀναπολόγητος
καὶ γεγυμνωμένος
  καλῶ σε βοήθειαν.

  **Ν**οητῷ σου φωτὶ καταλάμπουσα
τὰς αἰσθήσεις μου, ἁγνή,
  ἰσαρίθμους δυνάμεις φωτίσασα
τῆς ζοφώδους μου ψυχῆς
  ἵν' ὡς ἐν δεκαχόρδῳ
ψαλτηρίῳ ψάλλω σοι



  εὐχαριστήριον
αἶνον μετ' ᾠδῆς ἐν κιθάρᾳ,
  πανύμνητε.

  **Ἡ** παστὰς ἡ χρυσῆ καὶ θεόπλοκος
φαιδρυνόν μου τὴν ψυχὴν
  ἡ οὐράνιος πύλη τὴν εἴσοδον
ἄνοιξόν μοι τῆς ζωῆς·
  ἡ ἁγία ἁγίων
τὸν νοῦν μου ἁγίασον
  γῆ ἡ ἀνήροτος
δεῖξόν με τῆς γῆς τῶν πραέων
  κληρονόμον.

  **Σ**κοτεινὸν διωχεῖν με ἀξίωσον
γνόφον τῶν ἁμαρτιῶν
  καὶ νεφέλην εἰσδύναι εὐδόκησον
φωτεινὴν τῶν ἀρετῶν
  φαεινὴ ὡς νεφέλη
φωτὸς θείου, Δέσποινα,
  καὶ ἐλλαμφθῆναί μου
ταύτης τῷ φωτὶ καὶ ψυχὴν
  καὶ διάνοιαν.

## 77

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

« *Τρίτον γεραίρω τὴν Θεοτόκον κόρην ὁ πένης Ἰωάννης.* »

Κῶδ. Γ 77
Λαύρας.
52 φ. 68 Βεισέου.

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

***Ἦχος γ'. Ὠδὴ α'. Χέρσον ἀβυσσοτόκον.***

  **Τ**ὴν κεχαριτωμένην μόνην Δέσποιναν
τὴν καλὴν ἐν γυναιξὶ
  τὴν ἀπτάφωτον λυχνίαν
τὴν πολύφωτον χάριν
  τὸ ἔμψυχον Θεοῦ σκήνωμα
τὴν κιβωτὸν τὴν πάγχρυσον
  ἅπαντες τὴν ἁγίαν
Παρθένον μακαρίσωμεν.

  **Ρ**εύσασαν τὴν βροτείαν φύσιν ἄνωθεν
τῆς ἀμείνονος ζωῆς
  καὶ χωρίου χλοηφόρου,
ζωηροῦ παραδείσου
  ἀτίμως ἐκβληθεῖσαν, κόρη,
καὶ ἐκπεσοῦσαν δόξης Θεοῦ
  μείζονα ἐπὶ δόξαν
ἀνήγαγες καὶ πλείω τιμήν.

  **Ἱ**λαστήριον θεῖον ζῶσα τράπεζα
καὶ χρυσόπλοκε παστὰς
  πορφυρόμορφε νεφέλη
οὐρανῶν πλατυτέρα
  ὑπέρτατε Θεοῦ θρόνε
πυριφλεγὲς παλάτιον
  ἔμψυχε Χριστοῦ πόλις
ἐλέησόν με, Δέσποινα.

  **Τ**έμενος τοῦ Δεσπότου ὄρος ἅγιον
καὶ σκηνὴ ὑπερνεφὴς
  ἡ νεᾶνις καὶ Παρθένος
ἡ καλὴ καὶ ὡραία
  ἡ μόνη εὐλογημένη
ἡ καλλονὴ ἡ τοῦ Ἰακώβ,
  ἄφθορε τοῦ Θεοῦ μῆτερ,
ἐλέησόν με, Δέσποινα.

  **Ὅ**ρπηξ ἐκ βασιλίδος ῥίζης ἤνθησας
καὶ φυλῆς βασιλικῆς
  ἡ Χριστὸν τὸν βασιλέα
τὸ ἀμάραντον ἄνθος

ἀνθήσασα περιβεβλημένον
βασιλικὴν πορφύραν λαμπράν,
Δέσποινα, βεβαμμένην
ἐξ ἁλουργῶν αἱμάτων σου.

Ὠδὴ γ'. Στεῖρα ψυχὴ καὶ ἄγονε.

**Ν**έκρωσον τὰ νεκροῦντά με
σύμφυτα πάθη, σεμνή,
ἡ οὐσιώδη τέξασα
καὶ ἐνυπόστατον ζωὴν τὸν Χριστὸν
νεκρώσει ζωώσαντα
τοὺς βρώσει τεθνήξαντας
πρὶν προπάτορας.

**Γ**ρήγορον δός μοι, Δέσποινα,
καὶ ἄγρυπνον λογισμὸν
διηνεκῆ τε μέριμναν
τῆς ἐν τῇ κρίσει ἐξετάσεως
ἐν ᾗ ἀκατάκριτον
τὸν αὐτοκατάκριτον
ὄντα δεῖξόν με.

**Ε**ὕροιμέ σε βοήθειαν
ἐν ὥρᾳ τῇ φοβερᾷ
τοῦ ἐξωτέρου σκότους με
καὶ τῆς γεέννης ἁρπάζουσαν
βρυγμοῦ καὶ τοῦ σκώληκος
καὶ πάσης κολάσεως,
κόρη Δέσποινα.

**Ρ**υπτήριόν μοι δάκρυον
δίδου σαρκὸς μολυσμῶν
καὶ τοῦ πυρὸς σβεστήριον
καὶ τῶν πταισμάτων μου λυτήριον
ψυχῆς καθαρτήριον
νοὸς φυλακτήριον,
πάντων Δέσποινα.

**Ἅ**γιον οὖσαν τέμενος
ᾤκησέ σε Θεός,
ὑπεραγία Δέσποινα,
ἁγιασμὸν ἡμῖν δωρούμενος·
διό μου ἁγίασον
καὶ νοῦν καὶ διάνοιαν,
ὄρος ἅγιον.

Ὠδὴ δ'. Ἐκάλυψεν οὐρανούς.

**Ἰ**άσεων πᾶσι δρόσον ἀποστάζεις, ἁγνή,
τῶν ἰαμάτων ὡς πηγὴ
καὶ σωτηρίας πηγὴ
καὶ Θεοῦ ποταμὸς
πεπληρωμένος θείων
ὑδάτων ἄλλων
ψυχοτρόφων ζωοποιῶν·
ἡ παρὰ σοῦ καὶ γὰρ δρόσος
ἴαμά ἐστιν ἡμῖν.

**Ρ**ομφαία με ἡδονῆς κατεβάλεν φθο-
[νερῶς
ἐπιζήμιοῦσιν οἱ ἐχθροί·
ἔτειναν γάρ μοι τόξον
ψυχοφθόρον αὐτῶν
καὶ ἐν αὐτῷ ἡτοίμασαν
σκεύη θανάτου·
ἐν σιδηρᾷ ῥάβδῳ σου
οὓς κεραμέως ὡς σκεύη
σύντριψον, Δέσποινα.

**Ὡ**ς ἔμψυχος καὶ ζῶσα λογικὴ κιβωτὸς
εὐλογημένη γυναικῶν
τὸν νομοδότην Λόγον
ὥσπερ Νῶε χωρεῖς
κατακλυσμοῦ λυτρούμενον
πλάνης τὸν κόσμον
καὶ ἀρχηγὸν δεικνύμενον
ἑτέρου κόσμου δευτέρου
καὶ βίου κρείττονος.

**Τ**ιμῶμέν σε τὸ χρυσοῦν θυμιατήριον
ἐν ᾧ ὁ Λόγος τοῦ πατρὸς
τὴν ἑαυτοῦ ἀνάψας
παναγίαν σάρκα
τὴν οἰκουμένην ἔπλησε
θείας εὐώδους
ὀσμῆς καὶ καθηγίασε
τὸν μολυνθέντα ἀέρα
κνίσσῃ σπονδῶν ἐναγῶν.

**Ἡ** πάναγνος ἀληθῶς καὶ πάντων
[Δέσποινα
ἡ τὸν Δεσπότην τοῦ παντὸς
ἀνερμηνεύτῳ λόγῳ
συλλαβοῦσα Χριστὸν
τῆς δεσποτείας τοῦ τυραννοῦντος
δραπέτου
δεσπότου κοσμοκράτορος
λυτρουμένη με δεῖξον
δοῦλόν σου γνήσιον.



Ὠδὴ ε'. Ὡς εἶδεν Ἡσαΐας.

**Ν**οΐ καὶ διανοίᾳ καὶ τῇ ψυχῇ
καὶ γνώμῃ καὶ καρδίᾳ μου
ἐλευθέρᾳ γλώσσῃ καὶ πλατεῖ στόματι
κυρίως σε Θεοτόκον
ὡς κυρίως τὸν Θεὸν καὶ ἀληθῶς
τετοκυῖαν, κόρη,
δοξάζω καὶ φρονῶ καὶ ὑμνῶ.

**Θ**ανάτωσον, Παρθένε, τὴν ἐνεργῆ
καὶ ζῶσαν ἁμαρτίαν ἐμοῦ
ἡ ζωῆς αἰτίαν ζωὴν κυήσασα
θανάτῳ τῷ ζωηφόρῳ
θανατώσασαν θανάτου τὴν ἰσχὺν
καὶ τοὺς τεθνεῶτας
ὑπ' ἐκείνου ζωώσασαν.

**Ἐ**ν σοὶ Θεὸς οἰκήσας τὴν ἐν ἡμῖν
οἰκήσασαν ἐξῴκισεν
ἁμαρτίαν δεῖξας Ἐδὲμ οἰκήτορας
τοὺς ταύτης ἐξοικισθέντας,
ὑπεράμωμε Μαρία, καὶ τοὺς πρὶν
ἀποίκους κατοίκους
παραδείσου εἰργάσατο.

**Ὁ** πάλαι ἐν ἐρήμῳ τῷ παλαιῷ
θηλάσαι παρασχὼν Ἰσραὴλ
στερεᾶς ἐκ πέτρας μέλι καὶ ἔλαιον·
ὢ θαῦμα! μαζὸν κατέχει
οἷα βρέφος ὑπομάζιον μητρὸς
καὶ θηλὴν Παρθένου
θηλάζει γάλα βρύουσαν.

**Τ**ὴν θείαν μυροθήκην τοῦ ἀθανάτου
μύρου τὴν ἁγίαν πηγὴν
τοῦ ζωοποιοῦντος καὶ ζῶντος ὕδατος,
τὴν πύλην τῆς σωτηρίας,
τὸν παράδεισον Θεοῦ τὸν λογικόν,
τὴν ἔμψυχον πόλιν
Χριστοῦ τοῦ βασιλέως ὑμνῶ.

Ὠδὴ στ'. Τοὺς εἰς τὰ τέλη.

**Ὁ** θαυμαστὸς ἐν τοῖς ἁγίοις
ἐθαυμάστωσέ σε, Δέσποινα,
τὸ θαυμαστὸν ὡς ἀληθῶς
οὐρανοῦ καὶ γῆν μυστήριον·
διό σου τὰ ἐλέη
νῦν ἐπ' ἐμοὶ θαυμάστωσον
δεομένῳ ἐλέους.

**Κ**υριοτόκε Θεοτόκε
ἡ κυρία πάσης κτίσεως
κυριευόντων μου παθῶν
κυριεῦσαί με ἀξίωσον
καὶ κατακυριεύειν
μέσον ἐχθρῶν παράσχου μοι,
ἀγαθή μου Κυρία.

**Ὁ** φέρων σύμπαντα τῷ λόγῳ
τοῖς χερσί σου, κόρη, φέρεται
ὁ ὢν ἐν κόλποις τοῦ πατρὸς
ἐν τοῖς κόλποις σου σαλεύεται
τεράστιον φρικῶδες,
ἄϋλον πῦρ μὴ φλέξαν σου
τὴν ὑλώδη γαστέρα.

**Ν**αὸς καὶ πύλη καὶ λυχνία
κιβωτὸς καὶ καταπέτασμα
στάμνος καὶ ῥάβδος καὶ σκηνὴ
γῆ ἁγία θεία τράπεζα
καὶ γέφυρα καὶ κλίμαξ
θρόνος παστὰς παλάτιον
τοῦ Θεοῦ ὤφθης, κόρη.

**Κ**αλήν σε, κόρη, καὶ ὡραίαν
ὁ ὡραῖος κάλλει Κύριος
ὑπὲρ υἱοὺς τῶν γηγενῶν
εὑρηκώς, ἁγνή, ἀνέτειλεν
ὡς ἥλιος ὡραῖος
καὶ ἐκ παστοῦ νυμφίος
τῆς σῆς ἀφθάρου νηδύος.

## ΚΑΘΙΣΜΑ

**Ἦχος γ'. Τὴν ὡραιότητα.**

**Ἄ**ϋλος, ἄψυχος
κλίμαξ ἐτύπου σε
τὴν ζῶσαν κλίμακα
Θεοῦ καὶ ἔμψυχον
δι' ἧς ὁ Λόγος καταβὰς
ἀνθρώποις συνανεστράφη
θρόνον πρὸς οὐράνιον
ἀναφέρων τὸ πρόσλημμα
καὶ πρὸς τὸν παράδεισον

ἐπανάγων τὸν ἄνθρωπον·
διὸ ὡς σωτηρίας αἰτίαν
πάντες ὑμνοῦμέν σε, Θεοτόκε.

Ὠδὴ ζ'. Σὲ τὸν ἐν πυρὶ δροσίσαντα.

**Ὄ**ρος ἀρεταῖς κατάσκιον
καὶ χάρισι δασύτατον
Ἀββακοὺμ ὁ θεηγόρος προκατεῖδέ σε·
Δανιὴλ δὲ ὁ μέγας
ἀλατόμητον ὄρος·
τετυρωμένον ὁ Δαυὶδ
καὶ πῖον ὄρος, ἁγνή.

**Ῥ**έουσι κρουνοὶ χρηστότητος
ἐκ σοῦ, Θεοχαρίτωτε,
τὴν πηγὴν τῶν ἀγαθῶν γὰρ ἀπεκύησας,
ἐξ ἧς βλύζουσι κόσμῳ
τῆς ἀφέσεως ῥεῖθρα
καὶ συμπαθείας ὀχετοὶ
ἀφθόνως ῥέουσιν.

**Ἤ**νεγκας, ἁγνή, ὡς ἄμπελος
βότρυν ζωῆς πεπαίζοντα
τὸν τὴν μέθην τῆς ἀπάτης ἀναστείλαντα
καὶ πηγάσαντα κόσμῳ
ἐπιγνώσεως οἶνον
οὗπερ πιόντες οἱ πιστοὶ
σωφρονιζόμεθα.

**Ν**ὺξ ἁμαρτιῶν συνέχει με
νέφος παθῶν καλύπτει με
καὶ ζοφώδης ἐγκλημάτων κυκλοῖ θύελλα
καὶ βαθύτατος γνόφος
ἀπογνώσεως κρύπτει·
τῆς μετανοίας με φωτὶ
φώτισον, Δέσποινα.

**Ὄ**ντως ἐπὶ σοὶ τῆς φύσεως
οἱ νόμοι καταλέλυνται·
τὸν Δεσπότην γὰρ τῆς φύσεως συνέλαβες
ὑπὲρ φύσιν, Παρθένε,
διὰ σπλάγχνα ἐλέους
ἄνευ σπορᾶς ὑπερφυῶς
ἐκ σοῦ γεννώμενον.

Ὠδὴ η'. Ἀστέκτῳ πυρί.

**Π**υρὸς τοῦ ἀσβέστου με ῥῦσαι
ἡ συνειληφυῖα πῦρ τὸ ἄϋλον, Παρθένε,
καὶ πυρὶ τῷ τοῦ θείου φόβου
ὅλον ἀποκάθαρον
τῆς ψυχῆς μου ἔνδον τὸ πῦρ ὑποκάτασον
ὃ βαλεῖν ἐν κόσμῳ κατῆλθεν ὁ υἱός σου.

**Ἐ**πλήσθη κακῶν ἡ ψυχή μου
ἤγγισε τῷ ᾅδῃ ἡ ζωή μου· ἐλογίσθην
ὡσεὶ ἄνθρωπος τοῖς ἐχθροῖς μου
κόνις ἀβοήθητος·
ἀλλὰ δεῖξον, κόσμου κραταιὰ βοήθεια,
ὡς ἀβοηθήτων βοήθεια ὑπάρχεις.

**Ν**εφῶν ἀντιτύπων ἀλλήλοις
βίᾳ συρραγέντων πῦρ ἐκθρώσκει
καὶ φρικώδης βροντῆς πέμπεται
θροῦς ἀθρόον· ποῖος φόβος
ἔσται δὲ τότε ὅτε ὅλος ὁ οὐρανὸς
αἴρεται καὶ γῆ κατασεῖται καὶ λύονται στοιχεῖα.

**Ἡ** προωραμένη νεφέλη
ἧς ὁ ἐποχούμενος νεφέλαις Θεὸς Λόγος
ἐπιβὰς ὡς ἐπὶ νεφέλης
κούφης καθεζόμενος
τὰ Αἰγύπτου πάλαι κατέβαλε ξόανα,
σύντριψον, Παρθένε, τὰς στήλας τῶν παθῶν μου.

**Σ**οῦ ὡς ὑετὸς ἐπὶ πόκον
καὶ ὡσεὶ σταγὼν ἡ ἐν γῇ στάζουσα
κατέβη ἐν νηδύϊ ὁ θεῖος ὄμβρος·
ὄμβροις οὖν δακρύων με
ἐν ἡμέρᾳ, κόρη, καὶ νυκτὶ ἀξίωσον
λούειν τε καὶ βρέχειν τὴν κλίνην τῆς στρωμνῆς μου.

Ὠδὴ θ'. Ἐν νόμῳ σκιᾷ καὶ γράμματι.

**Ἰ**δοὺ ἡ ἐμὴ ἀντίληψις
ἰδοὺ ἡ σωτηρία μου
ἰδοὺ ἡ σωτηρία τῆς ψυχῆς μου
ἰδοὺ ἡ ἐμὴ
μετὰ Θεὸν ἀντιλήπτωρ
ἰδοὺ ἡ σκέπη μου
καὶ ἡ βεβαία μου ἐλπὶς
ἡ Παρθένος κόρη Δέσποινα.



**Ὡ**ς ὄντως αὐτοαλήθεια,
κόρη, γεννήσασα τὸν Χριστὸν
ἠλήθευσας· ἰδοὺ γὰρ ὡς προεῖπας
πᾶσαι γενεαὶ
τὴν ἀληθῶς μακαρίαν
σὲ μακαρίζομεν
τὴν ἐν παρθένοις μητέρα
καὶ παρθένον ἐν μητράσιν ἁγνήν.

**Ἀ**νθ' ὧν μετ' ἐμοῦ ἐποίησας
μεγάλα ἀγαθά, ἀγαθή,
ἐν πάσῃ τῇ ζωῇ μου εὐλογήσω σε
καὶ ἐν παντὶ καιρῷ
δοξάσω τὴν δόξαν σου
καὶ διὰ παντὸς ἔσται
ἡ αἴνεσις ἡ σὴ
ἐν τῷ στόματί μου, Δέσποινα.

**Ν**αός μου τὴν ὕλην σύμφλεξον
πυρὶ ἀΰλου ἄνθρακος·
ὃν φέρεις ἐν χερσί σου, πανάγια,
ὡσεὶ πυρλαβὶς
ἀνθρακοφόρος φλογώδης,
πυρίνη, σεραφική,
ῥύπον χειλέων δὲ ψυχῆς
τῇ αὐτοῦ προσψαύσει κάθαρον.

**Ν**εκρὸς τὴν ψυχὴν γεγένημαι
θανατωθεὶς τοῖς πάθεσι
οἱ ζῶντες δὲ ἐχθροί μου κεκραταίωνται
ὑπὲρ ἐμὲ
καὶ οἱ μισοῦντες ἀδίκως με
ἐπληθύνθησαν·
ἡ κραταιοῦ Θεοῦ μήτηρ
κατ' ἐκείνων με κραταίωσον.

**Ἡ** πύλη ἡ ἀδιόδευτος
ἥν περ διώδευσεν Ἰησοῦς
ὁ Κύριος τῆς δόξης
μετανοίας πύλην τὴν στενὴν
ἐν πλατυσμῷ διοδεύειν
καρδίας δίδου μοι
ὅπως ἡ πύλη τῆς Ἐδὲμ
ἀνοιγεῖσά με εἰσδέξηται.

**Σ**τενάζων καὶ ὀδυρόμενος,
κόρη, προσπίπτω σοι ἐν κλαυθμῷ·
ἐλέησον καὶ σῶσον τὴν ψυχήν μου
τὴν ἐλεεινὴν
τὴν τὸν θελητὴν τοῦ ἐλέους
Θεὸν ἡ τέξασα
καὶ ἐν ἡμέρᾳ τῆς δίκης
καταδίκης πάσης ῥῦσαί με.

---

## 78

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

« ***Ψυχῆς ἐμῆς φώτισον, ἁγνή, τὰς κόρας μοναχοῦ Ἰωάννου.*** »

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ

ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

Κώδ. 177 Διόφος. 52 φ. 71 Βλατέων.

***Ἦχος γ'. Ὠδὴ α'. Χέρσον ἀβυσσοτόκον.***

**Ψ**άλλων παναρμονίως ᾄδει, Δέσποινα,
ὁ προπάτωρ σου Δαυὶδ
δεκαχόρδῳ ψαλτηρίῳ
μετ' ᾠδῆς ἐν κιθάρᾳ
τρανῶς ἀπαγγέλλει δὲ τὸ ἔλεος
ὃ διὰ σοῦ πεποίηκε,
πάναγνε, ὁ υἱός σου
καὶ Κύριος ἡμῶν μεθ' ἡμῶν.

Ὕψους ἀπολισθήσας βίου κρείττονος
καὶ ἀμείνονος ζωῆς
εἰς κατώτατον τοῦ ᾅδου
κατηνέχθην χωρίον·
ἀρχῆς δὲ πάσης καὶ ἐξουσίας
διὰ σοῦ πάλιν γέγονα,
Δέσποινα, ὑπεράνω
τεκούσης τὸν σωτῆρά μου.

Χαίρει τὰ τῶν ἀγγέλων πλήθη, Δέσποινα,
καὶ σκιρτᾷ ἐν οὐρανοῖς
ἐφ᾽ ἑνὶ μετανοοῦντι
καθαρῶς καὶ γνησίως
ἀνθρώπῳ ἁμαρτωλῷ ὡς ἔφη
ὁ σὸς υἱὸς ὁ Κύριος·
ὅθεν μετανοεῖν με
ἐνίσχυσον ἐξ ὅλης ψυχῆς.

Ἤνοιξεν ἡ κλεισθεῖσα πύλη, Δέσποινα,
παραδείσου τῆς Ἐδὲμ
διὰ σοῦ τῆς θείας πύλης
τῆς ἐμψύχου καὶ ζώσης
ἣν μόνος ὁ Θεὸς διῆλθε
καὶ κεκλεισμένην ἔλιπεν·
ὅθεν ἐκδυσωπῶ σε
πύλην ζωῆς μοι ἄνοιξον.

Σκήνωμα θείας δόξης
ἅγιον ὄρος καὶ νεφέλη φωτεινή
οὐρανῶν ὑψηλοτέρα
καὶ τῆς γῆς πλατυτέρα
ἁγίων ἀγγέλων ὑπερτέρα
τιμιωτέρα, Δέσποινα,
πάντων τῶν ποιημάτων
ἐλέησον καὶ σῶσόν με.

Ὠδὴ γ΄. Τὸ στερέωμα τῶν ἐπὶ σοί.

Εὐλογοῦμέν σε
δι᾽ ἧς ἡ πρώην κατάρα
ἐλύθη καὶ ἤνθησεν ἡ εὐλογία
ἡ ἐπάρατός τε φύσις εὐλόγηται.

Μεγαλύνομεν
τὸν μεγαλεῖα πολλά σοι
ποιήσαντα, Δέσποινα, καθὼς προεῖπας
καὶ τὸ ὄνομα αὐτοῦ ἁγιάζομεν.

Ἡ ἀντίληψις
τῶν ἐπὶ σοὶ πεποιθότων
ἀντίληψις, Δέσποινα, καὶ προστασία
καὶ βοηθός μοι γενοῦ τῷ δούλῳ σου.

Σύ μου πρόστηθι
ἐν τῇ ἡμέρᾳ τῆς δίκης
καὶ ῥῦσαί με, Δέσποινα, τῆς καταδίκης
σύ μοι καὶ ψυχορραγοῦντι παράστηθι.

Φωταγώγησον
ἐσκοτισμένας τὰς κόρας,
πανάμωμε Δέσποινα, τὰς τῆς ψυχῆς μου
καὶ φωτί με μετανοίας καταύγασον.

Ὠδὴ δ΄. Ἦλθε πρὸς ἡμᾶς.

Ὥσπερ οὐρανὸς
λογικὸς καὶ ἔμψυχος στερέωμα
τῆς δικαιοσύνης ἀληθῶς
τὸν νοητὸν ἀνέτειλας ἥλιον·
αὐτοῦ με καταύγασον ταῖς φρυκτωρίαις,
κόρη ἀειπάρθενε.

Τρέμω ἐννοῶν
τῶν ἁμαρτημάτων μου τὸ πέλαγος
αὖθις δὲ θαρρῶ κατανοῶν
τῶν οἰκτιρμῶν σου, κόρη, τὴν ἄβυσσον
ἐν ᾗ με κατάδυσον καὶ σωτηρίας
ὅρμῳ με προσόρμισον.

Ἴαμα ἐμοὶ
ἡ σὴ δρόσος γένοιτο, Δέσποινα,
ἄνθραξι παθῶν ἐρημικοῖς
φλογιζομένῳ καὶ πυρουμένῳ σφοδρῶς
ἐν οἷς ἐπιστάξασα τὸ ἔλεός σου
σβέσον αὐτοὺς δέομαι.

Σπλάγχνα οἰκτιρμῶν
καὶ φιλανθρωπίαν ἀνείκαστον
ἔχουσα συνήθως ἐπ᾽ ἐμοὶ
τὰ σὰ ἐλέη, κόρη, θαυμάστωσον
θείας ἀξιοῦσά με φιλανθρωπίας,
μῆτερ φιλανθρώπου Θεοῦ.

Ὅλον ἐμαυτὸν
ὁλικῶς προσάγω σοι, Δέσποινα,
σῶμά τε καὶ πνεῦμα καὶ ψυχὴν



καὶ λογισμὸν καὶ νοῦν καὶ προαίρεσιν
σοὶ προσανατιθέμενος καὶ δυσωπῶ σε,
σώτειρά μου, σῶσόν με.

Ὠδὴ ε΄. Ὡς εἶδεν Ἠσαΐας.

Νεκρώσεως χιτῶνα ἡ ἁμαρτία
πάλαι με ἐνέδυσε
διὰ παραβάσεως τοῦ προπάτορος
αὐτὴ δέ, Θεογεννήτρια,
τὸν σωτῆρά μου γεννήσασα Χριστὸν
ζωῆς αἰωνίου
ἠμφίεσάς με ἄμφιον.

Ἀξίως σε γεραίρειν οὐδὲ ἀγγέλων
γλῶσσαι ἐξισχύουσι·
ποῖον γὰρ ἐγκώμιόν σοι κατάλληλον,
Παρθένε, τῇ γεννησάσῃ
τὸν ἀγγέλων καὶ ἀνθρώπων ποιητήν·
ὅθεν τοὺς ἐν πίστει
τιμῶντάς σε ἐλέησον.

Γνησίας μετανοίας ἐνδιαθέτου
πένθους κατανύξεως
κεχαριτωμένης χάριν παράσχου μοι·
ἰδοὺ γὰρ ἀπεγνωσμένος
ἐπὶ πλήθους τῶν ἐμῶν ἁμαρτιῶν,
ἁγία Παρθένε,
προστρέχω τῷ ἐλέει σου.

Νοῒ κεκαθαρμένῳ διὰ παντὸς
ὁρᾶν καὶ ἐνοπτρίζεσθαι
σὲ τὸ ἀγαλλίαμα τῆς καρδίας μου,
Παρθένε, ἰσχύν μοι δίδου
καὶ τῷ σῷ περιαυγάζεσθαι φωτὶ
καὶ τῆς εὐδίας
τῆς σῆς ἀντιλαμβάνεσθαι.

Ἡ δάμαλις ἡ θεία ἡ τετοκυῖα
μόσχον σιτευτὸν ἐκλεκτὸν
ἡ ἀμνὰς τὸν ἄρνα Χριστὸν ἡ τέξασα
προβάτοις τοῖς δεξιοῖς με
συναρίθμησον καὶ μάνδρας οὐρανῶν
καὶ τοῦ παραδείσου
τῆς χλόης καταξίωσον.

Ὠδὴ στ΄. Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων.

Τὴν ἐν παρθένοις παιδοτόκον
καὶ παρθένον ἐν μητράσιν ἁγνὴν
τὸ θαυμάσιον ἐν οὐρανῷ
καὶ φρικτὸν ἐν γῇ μυστήριον
τὴν ὄντως Θεοτόκον
καὶ ἀληθῶς χριστοτόκον
ὑμνῶ σε, Παρθένε.

Ἀνεπιστρόφως με ἀξίωσον
τὴν ὁδὸν τῆς μετανοίας ἀεὶ
περιπατεῖν καὶ μεριμνᾶν
ὑπὲρ ἁμαρτιῶν τῶν ἐμῶν
καὶ δάκρυσι καὶ θρήνοις
καὶ στεναγμοῖς ἐξιλεοῦσθαι,
ἁγνή, τὸν υἱόν σου.

Σὲ ζωγραφοῦσα, Θεοτόκε,
ἡ παμφλέγουσα πρὶν κάμινος
εἰς γαληνὴν καὶ δροσερὰν
λεπτὴν αὔραν ἀναψύχουσα
ἠμείφθη παραδόξως·
ἀλλὰ κἀμοῦ τὴν ἄστεκτον
τῶν παθῶν σβέσον φλόγα.

Κατωφερὴς οἷά τις λίθος
πρὸς τὰ πάθη κυλιόμενος
ἀνεπιστρόφῳ λογισμῷ
εἰς ἀπώλειαν χωρῶ παντελῆ·
ἐπίσχες, ὦ Παρθένε,
τὴν ἀφετῆ φορὰν
καὶ ὁρμὴν τῆς κακίας.

Ὁ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι
μόνῳ νεύματι τὰ σύμπαντα
παραγαγὼν υἱὸς Θεοῦ
ἑαυτὸν ἐκ σοῦ παρήγαγε,
Παρθένε Θεοτόκε,
ὅλην ἁγνὴν φυλάξας σε
ὥσπερ ἦς πρὸ τοῦ τόκου.

## ΚΑΘΙΣΜΑ

**Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Σύλληψιν ἄσπορον
καὶ τόκον ἄφθορον
σὺ μόνη ἔσχηκας
ἐκ τοῦ αἰῶνος, ἁγνή,
φύσεως πάσης λογικῆς
φανεῖσα τιμιωτέρα·
ὅρμα πολυώνυμον

χερουβὶμ ὑψηλότερον
ὄχημα περίμορφον
σεραφὶμ ἁγιώτερον·
διὸ ὡς τοῦ Κυρίου μου μήτηρ
σῶσόν με, Δέσποινα Θεοτόκε.

Ὠδὴ ζʹ. Σὲ τὸν ἐν πυρὶ δροσίσαντα.

**Ρ**ίζης Ἰεσσαὶ βλαστήσασα
στέλεχος ἱερώτατον
ἀφθαρσίαν τοῖς πιστοῖς ἐκαρποφόρησας
καὶ ζωῆς θείας ἄνθος
εὐλογίαν ἀνθῆσαν
ἀποξηράναν τε σαφῶς
τὸ τῆς κατάρας φυτόν.

**Ἄ**στρον διὰ σοῦ ἀνέτειλεν,
ἁγνή, ἐξ Ἰακὼβ ὁ Χριστὸς
ὁ ποιήσας τὴν σελήνην καὶ τὸν ἥλιον
εἰς ἀρχὰς καὶ εἰς φαῦσιν
τῆς νυκτὸς καὶ ἡμέρας·
ὃν ἐκδυσώπει τὴν ἐμὴν
καταφωτίσαι ψυχήν.

**Σ**ῶσόν με, ἁγία Δέσποινα,
σῶσόν με προστασίᾳ σου·
ἵνα πάντες αἰσχυνθῶσιν οἱ μισοῦντές με
καὶ καυχήσονται πάντες
ἐπὶ σοί, Θεοτόκε,
οἱ ἀγαπῶντες τὸ σεπτὸν
καὶ θεῖον ὄνομά σου.

**Μ**όνη παρθενίαν ἄφθορον
καὶ τόκον ἔσχες ἄσπορον·
μόνη μένεις ὡς πρὸ τόκου μετὰ γέννησιν
παρθενεύουσα μήτηρ
γαλουχοῦσα παρθένος·
ὄντως φρικτὰ καὶ θαυμαστά,
Παρθένε, πάντα τὰ σά.

**Ὅ**τι ἐπεκαλεσάμην σε
μὴ δὴ καταισχυνθείην, ἁγνή,
αἰσχυνθείησαν ὁμοῦ καὶ καταχθείησαν
οἱ ἐχθροί μου εἰς ᾅδου·
ὁ δὲ δοῦλός σου, κόρη,
τὴν αἰωνίαν διὰ σοῦ
αἰσχύνην φύγοιμι.

Ὠδὴ ηʹ. Ἀστέκτῳ πυρί.

**Ν**αὸν λογικὸν οἶκον ζῶντα
ἔμψυχον χωρίον ἐξ ἀχράντων σου αἱμάτων
ἑαυτῇ ἡ Θεοῦ σοφία,
κόρη, ᾠκοδόμησε
καὶ ἡνώθη τούτῳ καθ' ἕνωσιν ἄρρητον·
ὅθεν Θεοτόκον κυρίως σε φρονοῦμεν.

**Ἀ**στέκτου πυρὸς καὶ θείου
ἄνθρακα δροσίζοντα τὴν ἄχραντον νηδύν σου
συλλαβοῦσα, Θεογεννῆτορ,
ἄνθρακας κατάσβεσον
τῶν παθῶν μου δρόσῳ τῆς σῆς ἀγαθότητος
καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασόν με.

**Χ**ριστοῦ καθαρώτατον τόμον
καὶ ἐσφραγισμένην καὶ θεόγραφόν σε βίβλον
ἐπιστάμενος ἱκετεύω
βίβλῳ καταγράψαι με
σῳζομένων, κόρη, καὶ τὰ τῶν πταισμάτων μου
ῥῆξαι γραμματεῖα τῇ λόγχῃ τοῦ υἱοῦ σου.

**Ο**ὐ χεῖρας καὶ ὄμματα μόνον
ἀλλὰ καὶ νοῦν καὶ τὴν ψυχὴν καὶ τὴν καρδίαν
ἀνατείνω πρὸς σέ, Παρθένε,
ὅλον με καταύγασον
τῷ φωτί σου ὅλον ἀπόπλυνον διάρρυσιν
ὅλον κατανύξει θερμῇ ἀπόλουσόν με.

**Ὑ**φάνας τῶν σῶν ἐξ αἱμάτων
ἁλουργοβαφῆ ἠρυθρωμένην πορφυρίδα
ὁ Θεός μου καὶ βασιλεύς μου
ταύτην ἐνεδύσατο, Θεοτόκε,
ὅπως τὸν γεγυμνωμένον με καταστολὴν
δόξης ἐνδύσῃ φιλανθρώπως.

Ὠδὴ θʹ. Ἐν νόμῳ σκιᾷ καὶ γράμματι.

**Ἰ**σχύς μου ἐλπὶς καὶ ὕμνησις
κράτος καὶ σωτηρία μου,
Παρθένε Θεοτόκε, ὁρατῶν με
λύτρωσαι ἐχθρῶν



καὶ δυσμενῶν ἀοράτων
ἐπιζητούντων με
θηριωδῶς διασπάσαι
καὶ εἰς τέλος ἀπολέσαι με.

**Ὡ**ρῶν καὶ καιρῶν τὸν αἴτιον
Λόγον Θεοῦ γεννήσασα
ἐν ὥρᾳ τῆς ἐξόδου ἐν καιρῷ
φοβερῷ τοῦ χωρισμοῦ
τῆς ταπεινῆς καὶ ἀθλίας
ψυχῆς μου, Δέσποινα,
καὶ βοηθὸς καὶ ὁδηγὸς
καὶ προστάτις μοι καὶ ῥύστις γενοῦ.

**Ἁ**γνὴ πανυμνία Δέσποινα,
ἡ τέξασα Χριστὸν ἐν σαρκὶ
τὸν ἕνα τῆς Τριάδος, τὸν γυμνὸν
ἁπάσης ἀρετῆς
τῶν ἀρετῶν τῇ τριάδι
ταύτῃ με πλούτισον
φόβῳ Θεοῦ, κατανύξει,
ταπεινώσει τε καὶ φρούρησόν με.

**Ν**εκρὸν ἡδοναῖς γενόμενον
ζώωσον, κόρη, ἡ τὴν ζωὴν
τῶν ζώντων συλλαβοῦσα καὶ νεκρῶν
ἐξ ἔργων με ἀεὶ
διατηροῦσα μὴ λίαις
καὶ βλαβερῶν λογισμῶν
τὰ πρὸς ζωὴν τὴν ἀγήρω
ὁδηγοῦντά με διδοῦσα ποιεῖν.

**Ν**υκτὶ τῶν παθῶν σκοτούμενον
καταύγασόν με, Δέσποινα,
ἡμέρᾳ ἀπαθείας· ἐκ νυκτὸς
ὀρθρίζει γὰρ πρὸς σὲ
ἐν συντριβῇ τῆς καρδίας,
ἁγνή, τὸ πνεῦμά μου
διότι φῶς ἐπὶ τῆς γῆς
ἐξανέτειλας Χριστὸν τὸν Θεόν.

**Ὀ**δόντων βρυγμοῦ με λύτρωσαι
καὶ ἰοβόλου σκώληκος
ταρτάρου πικροτάτου ἐξωτέρου
σκότους καὶ πυρὸς
καὶ τῶν λοιπῶν ἀνωνύμων
ποινῶν κολάσεων,
Θεογεννήτρια κόρη,
προσφυγόντα τῷ ἐλέει σου.

**Υ**ἱὸν τοῦ Θεοῦ γεννήσασα
καὶ πάντων οὖσα Δέσποινα,
Παρθένε πανανία, τὴν ἐμὴν
ἐλέησον ψυχὴν
καὶ ἐν ἡμέρᾳ τῆς δίκης
ῥῦσαι αὐτὴν
καὶ μὴ ἐάσῃς βασάνοις
ὑπαχθῆναι χαλεποῖς καὶ πικραῖς.

---

# 79
# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

« *Πυρὸς γεέννης ἐξέλοῦ με, Παρθένε, Ἰωάννην μοναχόν.* »

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

Κῶδ. Ι 77 Λαύρας.
52 φ. 73β Βλατέων.

***Ἦχος γʹ. Ὠδὴ αʹ. Χέρσον ἀβυσσοτόκον.***

**Π**νεύματος παναγίου σκεῦος ἅγιον
καὶ δοχεῖον ἱερόν,
Θεοτόκε, τὴν ψυχήν μου
πονηρῶν γεγονυῖαν
πνευμάτων κατοικητήριον,
ἁγία, καθαγίασον
πνεῦμά μου τοῖς ἐγκάτοις
εὐθὲς νῦν ἐγκαινίσασα.

***Υ***λης ὑπεραρθῆναι πάσης δίδου μοι
καὶ φιλίας ὑλικῆς
ἡ τὸν ἄϋλον τεκοῦσα
καὶ ἀσύνθετον Λόγον
ἀΰλων ἀγγέλων τε ἐργάτην
ἐν ὑλικῷ σώματι
σύνθετον τοῖς ἐνύλοις
ἡμῖν ἴσον γενόμενον.

***Ρ***εύσαντες τῆς κακίας δεινοὶ χείμαρροι
καὶ τὰ πάθη ὡς βροχὴ
καταβάντα καὶ ῥαγδαίως
τῇ ψυχῇ προσβαλόντα,
ὡς οἶκον τεθεμελιωμένον
ἐν ψάμμῳ, ταύτην ἔπτωσαν
ῥίψαντα σφοδροτάτων
ἀνέμων δι' ἀντίπνοιαν.

***Ὄ***ρθρῳ τῆς μετανοίας σκότος λύσασα
καὶ τὴν νύκτα τῶν παθῶν
τὴν ἐν ζόφῳ τῆς ἀγνοίας
κοιμωμένην ψυχήν μου
ὀρθρίσαι καὶ φωταγωγηθῆναι
φωτὶ τῆς θείας γνώσεως
ἔγειρον, Θεοτόκε,
τῇ φωταυγεῖ πρεσβείᾳ σου.

***Σ***ύνθημα σωτηρίας καὶ πυρσὸς ἄδυτος
καὶ ἀχείμαστος λιμὴν
ἐν πελάγει τῷ τοῦ βίου
θαλαττεύοντι, κόρη,
γενοῦ μοι· πνευμάτων καταιγίδα,
τρικυμίαν παθῶν, κυμάτων
κλύδωνα λύουσα
καὶ τὸ σκάφος τῆς ψυχῆς περισώζουσα.

Ὠδὴ γ'. Τὸ στερέωμα τῶν ἐπὶ σοί.

***Γ***ένος γήϊνον
διὰ τῆς σῆς μεσιτείας
οὐράνιον γέγονε, Θεογεννῆτορ,
διὸ γῆς καὶ τῶν γηΐνων με λύτρωσαι.

***Ἐ***πληθύνθησαν
ὑπὲρ τὰς τῆς κεφαλῆς μου,
πανάχραντε Δέσποινα, τρίχας τὰ πλήθη
τῶν ἀπείρων μου κακῶν· ἀλλὰ σῶσόν με.

***Ἐ***κ νεότητος
καταφρονήσας τῶν θείων
τοῦ τόκου σου, Δέσποινα, παραγγελμάτων
ἀτιμίως εἰς τὰ πάθη ὠλίσθησα.

***Ν***ῦν εἰσάκουσον
τοῦ στεναγμοῦ τῆς ψυχῆς μου
καὶ δόρησαι πνεῦμά μοι συντετριμμένον
καὶ καρδίαν ταπεινήν, ἀπειρόγαμε.

***Ν***έος πέφηνας
ἐπὶ τῆς γῆς, ἁγνή, πόλος·
τὸν ἥλιον γὰρ τὸν τῆς δικαιοσύνης
ἐκ λαγόνων σου ἁγίων ἀνέτειλας.

Ὠδὴ δ'. Ἐκάλυψεν οὐρανούς.

***Ἡ***νίκα σου τὸ φρικῶδες βῆμα, Λόγε Θεοῦ,
καὶ τὴν δικαίαν ἀπειλὴν
τῆς ἀδεκάστου
ψήφου τε τὸ ἔμφοβον
ἐν τῷ νοΐ προσλήψομαι
ὅλος ἐκπλήξεως
καὶ θορύβου γίνομαι·
ταῖς τῆς μητρός σου πρεσβείαις
σῶσόν με, Κύριε.

***Σ***υνήθεια φαυλοτάτη συλλαβοῦσά με
καὶ διαστήματι πολλοῦ
παγιωθεῖσα χρόνου
καὶ εἰς ἕξιν τινὰ
καὶ φυσικὴν ἐγγύτητα
ἤδη ἐλθοῦσα
τυραννικῶς βιάζει με·
τῆς τυραννίδος με ταύτης
ἐξελοῦ, Δέσποινα.

***Ἐ***ν ὥρᾳ μοι καὶ ἡμέρᾳ τῆς ἐτάσεως
εἰσπραττομένῳ τῶν ἐμῶν
πλημμελημάτων δίκας
καὶ εὐθύνας πικρὰς
σὺ ἀρωγὸς παράστηθι,
κόρη, καὶ ῥῦσαι
δικαίας καταδίκης με
καὶ τοῦ πυρὸς τῆς γεέννης,
ἁγνή, ἐξάρπασον.

***Ξ***ενώσασα τοῦ Θεοῦ ἡ ἁμαρτία με
καὶ ἀπορρίψαι τὸν αὐτοῦ



ἀπὸ καρδίας φόβον
σαρκικαῖς ἡδοναῖς [illegible]
ἐπιθυμίαν πᾶσαν
τελέσαι καὶ ἄθεσμον
ἡδονὴν ἠνάγκασε·
διὸ πρὸ δίκης ὑπάρχω
αὐτοκατάκριτος.

***Ἑ***ώρακεν Ἀββακοὺμ ἐν πνεύματί σε ἁγνὴ
ὄρος κατάσκιον, ἁγνή,
ταῖς ἀρεταῖς καὶ χάρισι
δασύτατον· διὸ
παθῶν τὸ καῦσον ὅλον
ἀπέτρεψας με
καταυχματούμενον
ἐπισκιάσασα δρόσῳ
τῇ σῇ ἀνάψυξον.

Ὠδὴ ε'. Ὡς εἶδεν Ἡσαΐας.

***Λ***ουτρῷ τῆς μετανοίας καὶ τῶν δακρύων
ὕδασι λουθῆναι θερμοῖς
καὶ ἐκκαθαρθῆναι, ψυχή μου, σπούδασον
ὡς ἔχεις καιρόν, ἀθλία,
τὰς κηλῖδας ἀποσμήξασθαι τὰς σὰς
ἐν κλαυθμῷ καὶ πένθει
καὶ θρήνων ἐπιδόσεσιν.

***Ὀ***δύρομαι καὶ στένω καὶ ὀδυνῶν
ἀεὶ περιπείρομαι
τὴν ἀποκειμένην τοῖς ἁμαρτάνουσιν
αἰσχύνην καὶ ἀτιμίαν
ἐνθυμούμενος καὶ κόλασιν φρικτήν·
σῶσον, Θεοτόκε,
διό με προσφυγόντα σοι.

***Ὑ***πέκκαυμα γεέννης καὶ τοῦ πυρὸς
ἐκείνου παρανάλωμα, τοῦ μὴ
σβεννυμένου μὴ δείξῃς, Δέσποινα,
μηδέ με σκωλήκων σμῆνος
ἰοβόλων ἐκδέξηται βοράν
μὴ βρυγμὸς ὀδόντων
μὴ τάρταρος συλλάβοι με.

***Μ***ετάνοιαν γνησίαν ἐπιστροφὴν
ἀξίαν οὐκ ἐνδείκνυμαι
τῶν πλημμελημάτων ὧν ἐπλημμέλησα·
διό σε καθικετεύω
ἐπιστρέψαι με πρὸ τέλους, ἀγαθή,
καὶ προσκαταλλάξαι
τῷ Θεῷ καὶ Δεσπότῃ μου.

***Ἐ***ν χρόνῳ τὸν ἀχρόνως ἐκ τοῦ πατρὸς
πρὸ χρόνων γεννηθέντα Θεὸν
ὑπὲρ νοῦν καὶ λόγον σαρκὶ γεγέννηκας,
Παρθένε, καιρῶν καὶ χρόνων
καὶ αἰώνων τὸν σοφὸν δημιουργὸν
λύοντα τῷ λόγῳ
τὰ χρόνιά μου πταίσματα.

Ὠδὴ ϛ'. Ἐβόησέ σοι.

***Π***αγίδας, βρόχους
καὶ τὰς ἐνέδρας
τῶν θηρευόντων δαιμόνων με
ὡς ἀράχνης μίτους,
παναμώμητε κόρη, ῥῆξον.

***Ἀ***φ' οὗ προῆλθον
ἀπὸ κοιλίας
μητρὸς ταλαίνης ὁ δείλαιος
βοηθὸν ἐν πᾶσι
καὶ φρουρὸν πλουτῶ σε, Παρθένε.

***Ρ***υθμίζουσά με
καὶ ὁδηγοῦσα
πρὸς θειοτέραν κατάστασιν
συνετίζουσά τε
καὶ φωτίζουσα μὴ ἐλλίπῃς.

***Θ***ανάτου μνήμην
ἐν τῇ ψυχῇ μου
καὶ ἀνεξάλειπτον μέριμναν
τῆς ἐξόδου δίδου
δι' αὐτῶν συστέλλουσα ταύτην.

***Ἐ***ν πνεύματί σε
ὁ Ἡσαΐας,
τόμον, ἁγνή, ἐθεάσατο·
ἐν σοὶ γὰρ ἐγράφη
τῶν βροτῶν ἡ ἐλευθερία.

## ΚΑΘΙΣΜΑ

***Ἦχος γ'. Τὴν ὡραιότητα.***

***Χ***αῖρε εὐρύχωρον
Χριστοῦ παλάτιον·
χαῖρε πολύφωτον
Θεοῦ ἀνάκτορον·

χαῖρε χρυσόπλοκε παστὰς
καὶ κλίνη πορφυρόστρωτε·
θάλαμε πυρίμορφε
οὐρανὲ ὑψηλότατε
ἔμψυχε παράδεισε
λογικὸν ἐνδιαίτημα
περίδοξε τοῦ Δεσπότου θρόνε
χαῖρε πυράγρα θείου ἄνθρακος.

Ὠδὴ ζ'. Σὲ τὸν ἐν πυρὶ δροσίσαντα.

**Ν**εύματι τὸν συστησάμενον
τὰ πάντα καὶ βουλήματι
καὶ τὴν φύσιν τῶν ἀνθρώπων καινουργήσαντα
διὰ σοῦ, Θεοτόκε,
ἐπ' ἐμὲ ἐπιβλέψαι
ἱλέῳ ὄμματι αὐτοῦ
ὡς υἱόν σου δυσώπησον.

**Ἔ**μφοβος ὁμοῦ καὶ ἔντρομος
γίνομαι ἐνθυμούμενος
τὴν ἡμέραν καὶ τὴν ὥραν τῆς ἐτάσεως
βοηθὸς καὶ προστάτις
ἀντιλήπτωρ καὶ ῥύστις
γενοῦ μοι τότε, ἀγαθή,
τῷ ἀναξίῳ δούλῳ σου.

**Ἱ**μᾶσι παθῶν πεδούμενος
καὶ σειραῖς συσφιγγόμενος
τῶν ἐμῶν ἁμαρτημάτων σοὶ προσέρχομαι
τῇ τεκούσῃ δυνάστην
τὸν τῶν πεπεδημένων
τοὺς υἱοὺς λύσαντα Θεὸν
λυθῆναι τούτων αἰτῶ.

**Ὡ**ρῶν καὶ καιρῶν τὸν αἴτιον
καὶ χρόνων καὶ αἰώνων Θεὸν
ἡ τεκοῦσα, Θεοτόκε, μοι παράστηθι
ἐν καιρῷ τῆς ἐξόδου,
συμμαχία ὀξεῖα
καὶ ἀκαταίσχυντος ἐλπὶς
καὶ κραταιὰ προσφυγή.

**Ἄ**νανδρον μητέρα πάντες σε,
Θεόνυμφε, γινώσκομεν
καὶ παρθένον βρεφοτόκον ὀνομάζομεν·
ἐπὶ σοὶ γὰρ ἀρρήτως
παρθενία καὶ τόκος
τὰ διεστῶτα φυσικῶς
εἰς ἓν συνέδραμον.

Ὠδὴ η'. Ἀστέκτῳ πυρί.

**Ν**εκρὰν ἡδοναῖς γεγονυῖαν
καὶ ὥσπερ ἐν σήματι τῷ σώματι παρεῖσαν
τὴν ψυχήν μου καὶ ὀδωδυῖαν
καὶ τετηρταίζουσαν
ὡς τὴν πᾶσαν ζήσασαν τῶν κατασαρκώσεων
τετρακτὺν ἀσώτως ἀνάστησον, Παρθένε.

**Ν**υκτὶ τῶν παθῶν συσχεθέντα
καὶ τῆς ἁμαρτίας ἐγκαθήμενον τῷ σκότει,
Θεογεννῆτορ, καταύγασόν με·
διὰ σοῦ γὰρ ἥλιος
θείας δόξης πάντας τοὺς πρὶν κατεφώτισεν
ἐν σκιᾷ καὶ χώρᾳ θανάτου καθημένους.

**Ἤ**γγικεν ἰδοὺ πλησιάζει
ἡ τῶν οὐρανῶν ἡτοιμασμένη βασιλεία
τοῖς δικαίοις πρὸ τοῦ αἰῶνος,
ψυχή, μετανόησον
ὅπως φύγῃς κόλασιν ἀποκειμένην σοι
καὶ τῆς ἀκηράτου μετάσχῃς βασιλείας.

**Ν**υμφῶνος τερπνοῦ τῶν ἁγίων
καὶ οὐρανοπλόκου με ἀξίωσον παστάδος
ὁ νυμφὼν ὁ τῆς θείας δόξης
ἔνδυμα λάμπρυνόν με
τῆς ἀπαθείας, μῆτερ τοῦ Θεοῦ, ἐνδύσασα
καὶ τῆς ἀφθαρσίας στολὴν περιβαλοῦσα.

**Μ**ένει με δεινὴ καταδίκη·
μέλλω κατακρίνεσθαι ἐνώπιον ἀγγέλων
καὶ θεάτρου μυριανθρώπου
μεγάλης ἀνάγκης με
ῥῦσαι τότε· μέγα καὶ πλούσιον ἔλεος
ἔχεις γὰρ τεκοῦσα τὸν μέγαν βασιλέα.

Ὠδὴ θ'. Ἐν νόμῳ σκιᾷ καὶ γράμματι.

**Ὀ**νείρου δίκην ἐξέλιπον
ἀτμίδος καὶ σκιᾶς καὶ καπνοῦ
αἱ πᾶσαί μου ἡμέραι καὶ τὰ ἔτη μου
μετὰ σπουδῆς



καὶ ἡ ἀξίνη πρὸς ῥίζαν
τοῦ δένδρου κεῖται λοιπὸν
καὶ ἑτοιμάζει τὴν τομὴν
ὁ θερίζων πάντας θάνατος.

**Ν**ῦν πρὸς ἐμαυτὸν τετάρακται,
Παρθένε, ἡ ψυχή μου δεινῶς·
διό σε ἱκετεύω καὶ ἡμέρας,
κόρη, καὶ νυκτὸς
βρῶσιν γενέσθαι καὶ πόσιν
κἀμοὶ τὰ δάκρυα
ἵν' ἐμαυτὸν ἀποκλαύσω
καὶ θρηνήσω τὴν ψυχήν μου πικρῶς.

**Ἀ**έρος δυνάστην τύραννον
καὶ τούτου φορολόγους πικροὺς
πλουτοῦντας ἐν κακίᾳ ἐξαπόστειλον
κενούς, ἁγνή,
μανιωδῶς ἐκζητοῦντας
διὰ πολὺν στερρεὸν
καὶ φορτὸν ἁμαρτιῶν
συλλαβεῖν με τὸν ταλαίπωρον.

**Χ**ωρίον χαρᾶς εὐρύχωρον
ἐν τόπῳ με σκηνῆς θαυμαστῆς
γλυκὺς ἑορταζόντων ὅπου
ἦχος ἐν φωνῇ
ἀγαλλιάσεώς τε
καὶ ἐξομολογήσεως
ἕως τοῦ οἴκου τοῦ Θεοῦ,
παναμώμητε, εἰσάγαγε.

**Ο**ἴμοι πολυαμάρτητε
καὶ πολυπαθεστάτη ψυχὴ
κακοῖς βεβυθισμένη ἵνα τί
περίλυπος εἶ
καὶ ἵνα τί ἀπογνώσει με
συνταράσσεις ἀεί;
ἔλπισον ἐπὶ τοῦ Θεοῦ
τὴν μητέρα καὶ σωθήσῃ κακῶν.

**Ν**όμου σε προχαράγματα
καὶ τὰ κηρύγματα προφητῶν,
Παρθένε, ἀριδήλως προκατήγγελλον
διὰ πολλῶν
ἀναμφιλέκτων συμβόλων
προϋπογράψαντά σου
τὴν θεοδόχον γαστέρα
τὴν χωρήσασαν Χριστὸν τὸν Θεόν.

**Ἐ**ν ᾗ ἂν ἡμέρᾳ θλίβομαι,
Παρθένε, χωριζόμενος
τοῦ σκήνους τοῦ ῥυπαροῦ καὶ ὀδυνωμένης
ἐκ ψυχῆς
συναρωγὸν καὶ προστάτιν
ἐπικαλέσομαί σε·
κλῖνόν μοι τότε τὸ οὖς σου·
τάχυνον τοῦ ἐξελέσθαι με.

# 80

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

« *Ἅρπασον, ἁγνή, ταρτάρου με πυθμένος Ἰωάννην δοῦλον.* »

---

Κώδ. Ι 77 Λαύρας.
52 φ. 77 β Βλατέων.

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

---

### *Ἦχος γ'. Ὠδὴ α'. Ὁ τὰ ὕδατα πάλαι.*

**Ἁ**γιάσματος οἶκε
σκήνωμα δόξης
Κυρίου θυμιατήριον θεῖον
τοῦ σεπτοῦ, ἄχραντε,
ἀΰλου ἄνθρακος
πᾶσαν εὐωδίασον
ψυχῆς ἐμῆς δυσωδίαν
καὶ τὸν νοῦν ἁγίασον
καὶ τὴν καρδίαν μου.

**Ρ**ήξασα τὸ τῆς ἔχθρας
τῆς παλαιγόνου
θριγγίον τὸ διαιροῦν τοὺς ἀνθρώπους
τοῦ Θεοῦ, πάναγνε,
τῶν διεστώτων τὸ πρὶν
γέγονας συνάφεια
καὶ ἀδιάρρηκτος ὄντως
σύνδεσμος καὶ ἕνωσις
ἀμίκτων φύσεων.

**Π**ορνικαῖς ἀσελγείαις
καὶ μυσαραῖς
ἐργασίαις καταμιάνας τὴν σάρκα
καὶ ναὸν ἔφθειρα
τοῦ σώματός μου αἰσχρῶς,
ναὲ καθαρώτατε,
θείας οὐσίας τὸν νοῦν μου
ῥαντισμῷ καθάρισον
ὑσσώπου κρείττονος.

**Ἀ**πηνὴς ἀδδηφάγος,
πλούσιος νέος
πορφύραν ἐνδεδυμένος καὶ βύσσον
ἐρυθρῷ χρώματι
πεφοινιγμένην παθῶν
στολὴν ἐγὼ κέκτημαι
τὴν δὲ ψυχὴν παρορῶ μου
Λάζαρον ὡς πένητα
λιμῷ παλαίουσαν.

**Σ**ωματώσεως θείας
ὑπερουσίου
οὐσίας ὄργανον ἐσκευασμένον
παντουργῷ Πνεύματι
καὶ ἐργαστήριον
φρικτοῦ συναλλάγματος,
Θεογεννῆτορ, ἐδείχθης
ὄχημα λαμπρότερον
ἁρμάτων χερουβικῶν.

Ὠδὴ γ'. Ὁ ἐκ μὴ ὄντων.

**Ὁ** τὰ μὴ ὄντα εἰς ὄντα μετενεγκὼν
καὶ τούτοις ἐνθέμενος
τοῦ εἶναι φύσιν ὑπερφυῶς,
παναγία Δέσποινα,
ἐκ σοῦ λαμβάνει ἀρχὴν σαρκὶ τοῦ εἶναι.

**Ν**ομὴν θανάτου τὴν ἄσχετον καὶ φορὰν
ὡς ἔστησας τέξασα
ζωὴν τὴν ἐνυπόστατον
τὴν νομὴν ἀνάστειλον
τῶν ἑλκοβρύτων τραυμάτων τῆς ψυ-
[χῆς μου.

**Ἀ**πεγνωσμένος ἐκ πλήθους ἁμαρτιῶν
πρὸς τὴν ἀκαταίσχυντον



προστάτιν καταφεύγω
ἐναρέτου βίου μοι
χειραγωγία γενοῦ καὶ ὁδηγία.

**Γ**εγυμνωμένος τῆς θείας περιβολῆς
ἔρημος παρέρριμμαι
βοηθείας ὁ δείλαιος,
Θεοτόκε, σκέπασον
τὴν γύμνωσίν μου τῇ σῇ ἁγίᾳ σκέπῃ.

**Ν**ενοηκότες σε πόρρωθεν οἱ πιστοὶ
προφῆται προήγγειλαν
ἐσομένην λοχεύτριαν
ἐξ ἁγίου Πνεύματος
τοῦ τῶν πνευμάτων ἁγίου βασιλέως.

Ὠδὴ δ'. Ἔθου πρὸς ἡμᾶς.

**Ἥ**λιον Χριστὸν
τῆς δικαιοσύνης τὸν ἄδυτον
κούφη ὡς νεφέλη φωτεινὴ
ἡ ἀνατείλασα, Δέσποινα, σκέδασον
τὴν τῆς διανοίας μου δεινὴν ὁμίχλην
καὶ τὴν ἀχλὺν ἔλασον.

**Τ**ρόμος ἐπ' ἐμὲ
καὶ παλμὸς καὶ κλόνος ἐλήλυθε·
τοῦ μονογενοῦς γάρ σου υἱοῦ
τῆς φοβερᾶς δευτέρας ἐλεύσεως
ἐμνήσθην, πανάχραντε, καὶ τῶν ἀξίων
τῆς συναπαντήσεως.

**Ἆ**ρα, ὦ ψυχή,
ταχινάς τότε τὰς πτέρυγας
ἀεροβατούσης καθαρᾶς
περιστερᾶς σοι δώσει, ταλαίπωρε,
δι' ὧν πετασθήσῃ τε καὶ καταπαύσεις
θείαν εἰς κατάπαυσιν.

**Ρ**ῆμα γοερὸν
ἐν κλαυθμῷ καὶ πένθει καὶ δάκρυσι
τεταπεινωμένης ἐκ ψυχῆς
ὥσπερ εὐῶδες θῦμα, πανάμωμε,
τὸ σοὶ προσφερόμενον προσδεδεγμένη
ῥῦσαί με κολάσεως.

**Τ**ὸν ἐκ τοῦ πατρὸς
γεννηθέντα πρὶν ἀμήτορα
ὕστερον ἀπάτορα σαρκὶ
φιλανθρωπίας πλούτῳ πτωχεύσαντα,
Θεοτόκε, τέτοκας ὑπὲρ αἰτίαν
καὶ ὑπὲρ κατάληψιν.

Ὠδὴ ε'. Πρὸς σὲ ὀρθρίζω.

**Ἀ**σώτου δίκην
ἀποσκιρτήσας ἐκ Θεοῦ
διὰ φαυλότητα γνώμης ἀκολάστου
φρενοβλαβῶς πονηροῖς ποικίλοις
αἰσχροῖς δουλεύω πάθεσι.

**Ρ**αδίως πᾶσαν
ἐπιθυμίαν σαρκικὴν
τὴν ἐπαυξάνουσαν τῆς γεέννης τὴν
[πυρὰν
ἐπὶ κακῷ τῆς ἐμῆς ἀθλίας
ψυχῆς ὁ τάλας ἔπραξα.

**Ὀ**δύνην πόνον
καὶ τὴν ἐσχάτην συνοχὴν
πρὸ ὀφθαλμῶν, ψυχή, τοῦ βιαίου
[χωρισμοῦ
διὰ παντὸς κεκτημένη θρήνει
σαυτὴν πρὸ τῆς ἐξόδου σου.

**Ὑ**πὸ εὐθύνην
τελῶν πολλῶν ἁμαρτιῶν
πῶς παραστήσομαι ἐν τῷ βήματι
[Χριστοῦ
τῷ φοβερῷ; τί δὲ πράξω τότε
ἢ τί ἀπολογήσομαι.

**Μ**ὴ ἐπιλάθῃ
τοῦ πένητός σου, ἀγαθή,
ἀλλά μου πρόστηθι ἐν ἐκείνῳ τῷ
[καιρῷ
καὶ τῶν χρεῶν τῶν πολλῶν παράσχου
βεβαίαν μοι ἀθώωσιν.

Ὠδὴ στ'. Ἄβυσσος ἐσχάτη.

**Ἔ**μφοβος τὸν πάντα χρόνον, ψυχή,
τὸν τῆς παροικίας σου ἐν τῇ γῇ ἀνα-
[στράφηθι·
ἠγοράσθης πλάνης γὰρ
οὐ χρυσῷ καὶ ἀργύρῳ φθαρτοῖς
παναχράντῳ δὲ
Χριστοῦ τιμίῳ αἵματι.

**Π**ᾶσα σὰρξ ὡς χόρτος ἐστὶ τῆς γῆς
καὶ πᾶσα δόξα ἀνθρωπίνη ὡς χόρτος ἀγροῦ·
διὸ καὶ μαραίνεται
ὥσπερ ῥόδον ὠκύμορον
καὶ παρέρχεται
ὡς ὄναρ ἀνυπόστατον.

**Ὕ**περθεν ἀνήλθοσαν ἀληθῶς
τῆς κεφαλῆς μου αἱ πολλαὶ ἀνομίαι μου
ὡς βαρὺ φορτίον δὲ
ἐπ' ἐμὲ ἐβαρύνθησαν·
ἀλλ' ἐλάφρυνον
τὸν κλοιόν μου, πανύμνητε.

**Θ**έλημα οὐκ ἔστιν ἄλλο Θεοῦ
ὡς τὸ μηδένα ἀπολέσθαι ἔμπροσθεν
οὐδὲ περισπούδαστον
ὡς τὸ σωθῆναι ἄνθρωπον·
διὸ θέλησον,
Θεοτόκε, καὶ σώσεις με.

**Μ**όνην σε πασῶν ἀπὸ γενεῶν
Θεὸς ὁ μόνος εἰς μονὴν ἐξελέξατο·
Θεομῆτορ, μόνη γὰρ
τὴν πασῶν ὑπερέχουσαν
ἁγιότητα
πλουτεῖς καὶ καθαρότητα.

# ΚΑΘΙΣΜΑ

***Ἦχος γ'. Τὴν ὡραιότητα.***

**Χ**αῖρε ὁλόφωτε
λαμπὰς τῆς χάριτος·
χαῖρε ὑπέρτιμε
παστὰς θεότητος·
χαῖρε ἀμίαντε ἀμνὰς
ἀμνὸν Θεοῦ ἡ τεκοῦσα·
χαῖρε πολυτίμητε
ἀπειρόγαμε δάμαλις
μόσχον ἡ γεννήσασα
σιτευτὸν τὸν θυόμενον
καὶ τρέφοντα τροφῇ ἀμβροσίᾳ
πάντα κόσμον, Θεοτόκε.

Ὠδὴ ζ'. Ὡς πάλαι τοὺς εὐσεβεῖς.

**Ἐ**ν ὅσῳ εἶ ἐν ὁδῷ
τοῦ βίου καταλλάξαι
τὸ σπευδὸς τὸ ἀντιδικοῦν
μή σε παραδῷ τῷ κολάζοντι κριτῇ,
ψυχή, καὶ ἐμβάλλῃ σε
εἰς φυλακὴν αἰώνιον
σκοτεινὴν ἀνεξόδευτον.

**Ν**αμάτων ζωοποιῶν
διψῶντά με κόρεσον
ζωαρχικοῦ ὕδατος πηγὴ
ὡς μὴ δειχθῶ τοῦ πυρὸς ἐν τῇ φλογὶ
δακτύλου δροσίζοντος
ἀκροβαφοῦς ἐν ὕδατι
καιομένην μου τὴν γλῶσσαν.

**Ὁ** βίος μου πονηρὸς
γεέννης ὑπόδικος
καὶ ποταμοῦ τοῦ πυριφλεγοῦς
ἡ δὲ ῥυπαρὰ καὶ ἀθλία μου ψυχὴ
σαρκικῆς ἀνάπλεως
ἀκαθαρσίας, Δέσποινα,
ἣν καθάρισον ἐν τάχει.

**Σ**αλεύει με λογισμῶν
ἀτάκτων κλυδώνιον
καὶ καταιγὶς διαβολικὴ
τῶν φθοροποιῶν συνταράσσει ἐννοιῶν
εἰς βυθὸν καθέλκουσα
τῆς ἁμαρτίας· σῶσόν με,
κυβερνήτου Θεοῦ μῆτερ.

**Ἱ**στίον θείου σταυροῦ
τοῦ υἱοῦ σου, Δέσποινα,
διαπετάσασα τοῦ βυθοῦ
τῆς πολυμερίμνου θαλάσσης κοσμικῆς
τὸν νοῦν μου διάσωσον
πεζοπορεῖν διδάσκουσα
ἐν τοῖς κύμασιν ἀβλαβῶς.

Ὠδὴ η'. Τὸν ἐπ' ἀγγέλων ἀσιγήτως.

**Ὢ** πόσα μέλλεις ἀνονήτως
ἐν ὑστέρῳ σαυτὴν μέμφεσθαι, ψυχή,
πῶς ταλανίζειν ἀκερδῶς
καὶ ἀθλίως μεταμέλεσθαι
ἐφ' οἷς νῦν οὐκ αἰσθάνῃ
δρῶσα κακῶς ἀκαίρως,
ἐν οὐ καιρῷ λυπουμένη.



**Ἄ**γγελος ἥξει γὰρ βίαιος
κατηφῆ καὶ σκυθρωπάζουσαν δεινῶς
σύρων ἀπάγων σε σειραῖς
δεδεμένην ἅς περ ἔπλεξας
ἰδίαις σοι δακτύλοις
ὅτε οὐδὲν συμφέρον
μεταβουλεύεσθαι σχοίης.

**Ν**υκτομαχοῦντά με τοῦ βίου
τῇ νυκτὶ νυκτερινῆς ἐκ σκιᾶς
ὡς ἐξ ἐνέδρας ἀφανοῦς
ὁ νυκτίμορφος τοξεύει ἐχθρὸς
καὶ δέδοικα μὴ τέλος
ἀπὸ νυκτὸς εἰς νύκτα με
τὴν μακρὰν ἀφαιρέσῃ.

**Ν**υμφῶνος θείου τὴν θύραν
νύμφη πάναγνε, τῆς δόξης Θεοῦ
μὴ ἀποκλείσῃς ἀλλὰ δὸς
τῶν δικαίων τῆς φαιδρότητος
κἀμὲ παραπολαῦσαι
ἁμαρτωλὸν τῆς σκυθρωπῆς
κατηφείας ῥυσθέντα.

**Ἡ** κοσμοσώστειρα Θεοῦ μήτηρ
καὶ τοῦ κόσμου ἡ ἀντίληψις
τῶν κοσμικῶν με ἡδονῶν,
κοσμοσώστειρα, διάσωσον
ᾄδειν σε παγκοσμίως
ἵνα ὑμνῶ τὴν ῥύσασαν
τοῖς ἄθλοις τὸν κόσμον.

Ὠδὴ θ'. Καινὸν τὸ θαῦμα.

**Ν**ηχόμενόν με βάθει συμφορῶν
καὶ κλυδωνιζόμενον ἀβύσσῳ ἁμαρτιῶν,
Θεοτόκε Δέσποινα,
λιμὴν τῶν ἐν ζάλῃ
πρὸς σωτηρίας ὅρμον τὸν ἀκύμαντον
ὁδήγησον ἴθυνον καὶ στῆσον
ἐπὶ τὴν πέτραν
τῆς ἀληθοῦς μετανοίας με ἄσειστον.

**Δ**ακρύω στένω καὶ θρηνῶ
καὶ τῶν ἀθερμῶν πόρον ὅλως οὐ θέλω λαβεῖν
ἀγωνιζόμενος
τὴν θλῖψιν ἐκείνην
τὴν ἀθυμίαν τὴν ἀπαραμύθητον
τῶν φίλων ὁμοῦ καὶ βοηθούντων
τὴν ἐρημίαν
καὶ ἀπορίαν τὴν ἀπαράκλητον.

**Ὀ**ργὴν Κυρίου σαυτῇ, ψυχή,
θησαυρίζεις καὶ στενοχωρίαν θλῖψιν
θυμὸν ἐν ἀποκαλύψεως
ἡμέρᾳ φρικώδει
καὶ δικαιοκρισίας καὶ ὀργῆς τοῦ Θεοῦ
τῆς τούτου ἀεὶ μακροθυμίας
καταφρονοῦσα
καὶ ἀνοχῆς πολλῆς καὶ χρηστότητος.

**Ὑ**γίωσόν με, μῆτερ τοῦ Θεοῦ,
ὥσπερ τὸν παράλυτον ὁ σὸς υἱὸς
τὸν πολλοῖς χρόνοις κατακείμενον
ἐν κλίνῃ κακίας
καὶ ὥσπερ κράββατον τὸ σῶμα ἆραι κἀμὲ
μετέωρον ἔργοις ἐναρέτοις
καὶ πορευθῆναι
εἰς οὐρανῶν κατοικίαν ἐπίταξον.

**Λ**υτῆρα νόσων τέξασα Θεὸν
ἰατῆρα πόνων τε καὶ ἀλεξῆρα
παθῶν πονηρῶν πνευμάτων δὲ
σφοδρὸν ἐλατῆρα
καὶ τῶν ψυχῶν σωτῆρα καὶ πατέρα κοινόν,
Παρθένε, τὸ ἄλγος τῆς ψυχῆς μου
καὶ τὴν ὀδύνην
καὶ τὴν ταλαιπωρίαν θεράπευσον.

**Ὁ**δῷ τοῦ βίου περιπεπτωκὼς
ψυχοφθόροις θηρσὶ δαίμοσι λῃσταῖς
ὠμησταῖς, ὑπ' αὐτῶν ἐκδέδυμαι
τὸν θεῖον χιτῶνα
καὶ ἀτιμίας πάθεσι τὸν νοῦν μαστιχθεὶς
γυμνὸς ἀτημέλητος ἡμίθανος
ἐγκατελείφθην·
ἀλλ' ἡ ἐλπίς μου μὴ ἐγκαταλίπῃς με.

**Ν**αοῦ νεφέλη ἡ τοῦ νομικοῦ
τὴν νεφέλην σε τοῦ νοητοῦ καὶ θείου
φωτὸς πάλαι προεμήνυσε·
διὸ δυσωπῶ σε
δεινῶν δαιμόνων νέφη σκοτεινὰ
ἐξ ἐμοῦ ἀπέλασον πόρρω,
Θεοτόκε, καὶ μηδαμῶς
ἀποστήσῃς τὸ ἔλεός σου ἀπ' ἐμοῦ.

## 81

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς·

« *Σύ μοι γενοῦ, Δέσποινα, τεῖχος καὶ σκέπη· ᾠδὴ Ἰωάννου.* »

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΕΥΧΑΪΤΩΝ
ΤΟΥ ΜΑΥΡΟΠΟΔΟΣ

Κώδ. Ι 77 Λαύρας
52 φ. 65 Βλατέων.

### *Ἦχος γ'. Ὠδὴ α'. Ὁ τὰ ὕδατα πάλαι.*

**Σ**τόματι θεοφόρῳ
πνευματοφόρος τις ἔφη
ὡς οὐχ ὡραῖος ὁ αἶνος
ῥυπαρῷ τῷ στόματι
ἁμαρτωλοῦ κατ' ἐμέ·
ὅμως, ὑπεράμωμε,
διὰ τὴν σὴν εὐσπλαγχνίαν
κἂν ἁμαρτωλός εἰμι
δέξαι τὸν αἶνον ἐμοῦ.

**Ὑ**πὲρ φύσιν τεκοῦσα
τὸν κατὰ φύσιν Δεσπότην
φύσει βροτὸν γεγονότα
ὡς τὸ πρὶν ἔμεινας
φύσει παρθένος ἁγνή·
ὅθεν κατὰ φύσιν με
καὶ παρὰ φύσιν πεσόντα
ὡς φύσει φιλάγαθος
ἔγειρον, Δέσποινα.

**Μ**ὴ κενώσας τοὺς κόλπους
τοὺς πατρικοὺς ὁ τὰ πάντα
πληρῶν θεότητι Λόγος
ἐν τοῖς σοῖς, Δέσποινα,
κόλποις ηὐλίσθη σαρκί·
αὐτὸν οὖν δυσώπησον
τοῦ Ἀβραὰμ ἐν τοῖς κόλποις
τῷ Λαζάρῳ πένητι
συγκατατάξαι με.

**Ὁ** βρυγμὸς τῶν ὀδόντων
καὶ ὁ κρυγμὸς τῶν ταρτάρων
καὶ φλογμὸς τῆς γεέννης
τὴν ἐμὴν τρύχουσι
καὶ δαπανῶσι ψυχὴν
κλάειν με καὶ κόπτεσθαι
καὶ ὀδυνᾶσθαι καὶ στένειν
καὶ πρὸ πείρας πείθοντες
ἐξ ὧν με ῥῦσαι, ἁγνή.

**Ἰ**οβόλων σκωλήκων
δεσμῶν ἀλύτων
τοῦ ᾅδου καὶ πικροτάτων μαστίγων
σκοτεινοῦ χάσματος
καὶ ἐξωτέρου πυρὸς
τῶν ἀνομημένων τε
καὶ ἀνονήτων πασῶν με
κολάσεων λύτρωσαι,
Θεογεννήτρια.

Ὠδὴ γ'. Στεῖρα ψυχὴ καὶ ἄγονε.

**Γ**έλως αἰσχρὸς καὶ ἄτακτος
πικρὸν συλλέγει δάκρυον·
οἱ γὰρ γελῶντες κλαύσουσιν
ὡς ὁ Δεσπότης πάντων ἔφη, ψυχή,
τὸν γέλων οὖν μίσησον
ὡς ἄξιον γέλωτος
κτῆσαι πένθος δέ.

**Ἔ**λυσας τὸ κατάκριμα
τῶν προπατόρων, ἁγνή,
ἤνοιξας τὸν παράδεισον
ὃν ἡ παράβασις ἀπέκλεισε·
διὸ παραδείσου με
πολίτην ἀνάδειξον,
κόρη πάναγνε.

**Ν**οῦς ἀπαθὴς καὶ ἄνοσος
ἅλας ἐστὶν ἀληθῶς



ῥῶσιν ἰατῶν αἰσθήσεων
καὶ ἀναστέλλον σηπεδόνας παθῶν·
τὸ ἅλας δὲ ἄναλον
ὁ νοῦς ἐμοὶ γέγονεν·
ὅθεν ὤζεσεν.

**Ὁ**μαλῶς ἀνυπόστατον
καὶ ὡς καπνὸς καὶ σκιὰ
ὡς ὕδωρ διερχόμενον
τῆς γῆς ὡς χόρτος καὶ ὡς ἄνθος ἀγροῦ
τὰ παρόντα παρέρχεται,
ψυχή, μετανόησον
ἵνα σχῇς Θεόν.

**Ὕ**δωρ γλυκὺ καὶ πότιμον
θείας ζωῆς, ὑετὸν
τρυφῆς χειμάρρου βλύσασα
πηγὴ χρυσόρρειθρε πανάμωμε,
ῥανίσιν ἐλέους σου
τὰ ῥεύματα ξήρανον
τῶν ἐμῶν παθῶν.

Ὠδὴ δ'. Ἔδωκα πρὸς ἡμᾶς.

**Δ**έλεαρ πικρὸν
τὴν γλυκεῖαν βρῶσιν εὑρὼν ἐν Ἐδὲμ
θάνατον, διάλυσιν, φθορὰν
τοῦ γνωστικοῦ φυτοῦ ἀπετρύγησα·
ἐκ σοῦ ζωῆς ξύλον δὲ φυέν, Παρθένε,
πάλιν με ἐζώωσεν.

**Ἔ**χουσα καιρὸν
μετανοίας καὶ διορθώσεως
λάβε λογισμὸν ἐπιστροφῆς
καὶ σεαυτήν, ψυχή μου, βελτίωσον
μήπως καταλάβῃ σε ὀργὴ Κυρίου
ὡς ἀμετανόητον.

**Σ**άρκα καὶ ψυχὴν
ἡδοναῖς ἐκτόποις ἐμόλυνα
δαίμοσιν ὑπόσπονδος φανεὶς
καὶ θύραν πᾶσιν ἀνοίξας τοῖς πάθεσι
ἥν περ κλεῖσον, Δέσποινα, ἡ παραδείσου
θύραν διανοίξασα.

**Π**έτραν στερεὰν
ἀρραγῆ σκληρὰν καὶ ἀντίτυπον
τὴν πεπωμένην μου ψυχὴν
τῇ κατανύξει, κόρη, ἀπάλυνον
καὶ δεῖξον ἀκρότομον βλύζουσαν πέτραν
δάκρυα ὡς ὕδατα.

**Ὄ**ντως φοβερὸν
καὶ παντὸς φρικτοῦ φρικωδέστερον
ὅπως διαζεύγνυται ψυχὴ
τῶν φυσικῶν θεσμῶν τῆς συμπήξεως,
καὶ ῥήγνυνται σύνδεσμοι καὶ διασπῶνται
νεύσει τοῦ συνδήσαντος.

Ὠδὴ ε'. Ἐπὶ τῆς γῆς ὁ ἀόρατος ὤφθης.

**Ἰ**λιγγιῶ
εἰς τὸ πέλαγος βλέπων
τὸ ἀχανὲς
τῶν ἐμῶν ἐγκλημάτων,
Θεογεννήτρια,
διὸ πρὸς τὴν ἄβυσσον
καταφεύγω τοῦ ἐλέους σου.

**Ν**ενηστευκὼς
ἀρετῶν πανδαισίας,
ἐμφορηθεὶς
ἡδονῶν ἀκρασίας
λιμώττω θείας τροφῆς·
ζωῆς ἄρτου τράπεζα,
ψώμισόν με σωτηρίαν ψυχῆς.

**Ἀ**νομιῶν
συνταράσσει με κλύδων
ἁμαρτιῶν
περιστρέφει με ζάλη
καὶ καταιγὶς τῶν παθῶν
πρὸς λιμένα, Δέσποινα,
μετανοίας με κυβέρνησον.

**Τ**ὸν ἐμπαθῆ
καὶ φιλήδονον βίον
τοῦ ἐγκρατοῦς
καὶ σώφρονος, ψυχή μου,
μηκέτι πρόκρινε
ἀλλ' ὡς ἐν ἡμέρᾳ νῦν
εὐσχήμως περιπάτησον.

**Ἐ**ν φωτεινοῖς
ἀναπαύσεως τόποις
ἐν χλοεροῖς
παραδείσου λειμῶσι

τὴν ἐμὴν τάξον ψυχὴν
διαδρᾶσαν, Δέσποινα,
ὡς στρουθίον ἰξευτὰς νοητούς.

Ὠδὴ στ'. Ἄβυσσος ἐσχάτη.

*Ἴ*αμα ἡ δρόσος ἡ παρὰ σοῦ
ἐπιθυμίαις φλεγομένῳ μοι γένοιτο
καὶ πεσεῖται, Δέσποινα,
τῶν ἀσεβῶν ἡ γῆ·
λογισμῶν καὶ ἱδρύματα
παθῶν καταστραφήσεται.

*Χ*άσματος φρικώδους καὶ σκοτεινοῦ
δικαίων κλῆρον τοὺς ἀδίκους διείργοντος
καὶ χοροῦ χωρίζοντος
τῶν ἐκλεκτῶν, πανάμωμε,
μὴ ἐάσῃς με κἂν
εἰς θέαν ἐλεύσεσθαι.

*Ὅ*μοιος ἀλόγοις ὁ λογικὸς
καὶ ἀνοήτοις ἀποδέδειγμαι κτήνεσι·
τὸν κτηνώδη βίον γὰρ
ἐκ νεότητος ἐπετήδευσα
καλινδούμενος
οἷα χοῖρος εἰς βόρβορον.

*Σ*πήλαιον τὸν οἶκον τῆς προσευχῆς
λῃστῶν ἀγρίων τὴν ψυχήν μου ἐτέλεσα
καὶ ναὸς γενάμενος
καὶ τάφος νεκρῶν κατέστην
παθῶν· ἀλλὰ κάθαρον
τὴν καρδίαν μου, Δέσποινα.

*Κ*άλαμον συντετριμμένον, ἁγνή,
μὴ κατεάξῃς μηδὲ λῖνον τυφόμενον
ἐμὲ σβέσῃς, μᾶλλον δὲ
τὴν συντριβήν μου ἴασαι
καὶ τῆς πίστεως
τὸν σπινθῆρά μου ἔξαψον.

## ΚΑΘΙΣΜΑ

***Ἦχος γ'. Τὴν ὡραιότητα.***

*Ἡ*νίκα τίθενται
θρόνοι οὐράνιοι
καὶ διανοίγονται
βίβλοι αἰώνιοι
ἐν αἷς ἀναγραφεῖσί εἰσι
τὰ ἔργα τὰ τῶν ἀνθρώπων·
κριτὴς δὲ καθέζεται
φοβερὸς καὶ ἀδέκαστος
καὶ ἀπαραλόγιστος
δικαστὴς καὶ ἀλάθητος
κολάζων σταμινῶν πρὸς ἀξίαν
εὕρω σε, Δέσποινα, βοήθειαν.

Ὠδὴ ζ'. Τὸ πρὶν εἰκόνι τῇ χρυσῇ.

*Αἰ*σχροὶ καὶ φαῦλοι λογισμοὶ
ἀπρεπῆ ἐνθυμία
νῦν με καταρρυπαίνουσι
κάθαρόν μου, Παρθένε, τὴν καρδίαν
καθαρώτατος ναὸς Χριστοῦ φανεῖσα.

*Ἰ*δοὺ προσώζεσαν παθῶν
τῶν ἐμῶν οἱ μώλωπες
ἔνδον καὶ κατεσάπησαν·
ἴασαί μοι, Παρθένε, τὰς ὀδύνας
ἡ γεννήσασα Χριστὸν ὠδίνων ἄνευ.

*Σ*τενὴν ὁδὸν τῆς ἀρετῆς
παραδραμὼν ὥδευσα
τῆς κακίας πλατεῖαν ὁδόν,
πλατυτέρα τῶν οὐρανῶν, Παρθένε,
λύτρωσαί με τῆς ἐκεῖ στενοχωρίας.

*Κ*λοιὸν βαρὺν ἁμαρτιῶν
καὶ ζυγὸν σιδήρεον
φέρων ἐν τῷ τραχήλῳ μου
ἀτενίσαι πρὸς οὐρανὸν οὐ σθένω·
κούφισόν μου τὸ βαρὺ φορτίον, κόρη.

*Ἐ*λθεῖν εἰς αἴσθησιν ποτὲ
καὶ βαλεῖν θεμέλιον
ἀρχήν τε βίου κρείττονος
δώρησαί μοι, Παρθένε Θεοτόκε,
ἡ ἀρχὴ πάντων ἡμῶν τῆς σωτηρίας.

Ὠδὴ η'. Τὸν ἐξ ἀνάρχου τοῦ πατρός.

*Π*ολυαμάρτητον σαφῶς
κεκτημένος ἐκ παιδὸς τὴν ψυχὴν
καὶ τὴν καρδίαν πολυπαθεστάτην
γνώμην τε φιλήδονον
καὶ φρένα φιλόκοσμον
τὸν σωτῆρά μου Χριστὸν



εἰσέτι παροργίζω
ἵν μοι σαῖς πρεσβείαις
ἱλέωσαι, Παρθένε.

*Ἡ* πολυύμνητος ἀμνὰς
τοῦ ποιμένος καὶ ἀμνοῦ τοῦ Θεοῦ
τῆς τῶν προβάτων δεξιᾶς μερίδος
μέτοχόν με ποίησον
καὶ ῥῦσαί με δέομαι
τῶν ἐρίφων τῆς πικρᾶς
καὶ εὐωνύμου μοίρας
καὶ τῆς πανωδύνου
γεέννης λύτρωσαί με.

*Ὡ*ς ἀχρηστεύουσα συκῆ
καὶ τὸν τόπον καταργοῦσα κενῶς
καὶ ἀκαρπίαν καλῶν γεωργοῦσα
φύλλοις τε τοῖς πάθεσι
κομῶσα καὶ βρύουσα
ἀρετῶν δὲ γλυκερὰν
ὀπώραν μὴ ποιοῦσα
φρῖξον μὴ κοπεῖσα
εἰς πῦρ, ψυχή, βληθήσῃ.

*Δ*ακρυρροεῖν διὰ παντὸς
καὶ στένειν ἐκ βαθέων ψυχῆς,
Θεογεννῆτορ, δώρησαί μοι χάριν
καὶ τὴν τυραννοῦσάν με
νικῆσαι συνήθειαν
καὶ βαλεῖν ἀρχὴν καλὴν
ἐμπράκτου μετανοίας
καὶ ἀλλοιωθῆναι
ἀλλοίωσιν βελτίω.

*Ἡ* καθαρὰ περιστερὰ
ἡ ὡραία καὶ καλὴ καὶ λευκὴ
ἡ ῥυομένη τῆς κατακλυζούσης
ἁμαρτίας ἅπαντας
ὡς τὸν ἐλεήμονα
καὶ φιλάνθρωπον Θεὸν
γεννήσασα, Παρθένε,
τοῦ κατακλυσμοῦ
τῶν παθῶν λύτρωσαί με.

Ὠδὴ θ'. Καινὸν τὸ θαῦμα.

*Ἰ*δοὺ τὸ τέλος ἔφθασε, ψυχή,
τῆς ἡμέρας γὰρ παραδραμούσης
ἦλθεν ἡ νὺξ καὶ ἡλίου δύναντος
κατέλαβε σκότος·
πλὴν ὁ νυμφίος ἔρχεται ἐν μέσῃ νυκτί·
φαιδρὰν διὸ ἄναψον λαμπάδα
καὶ ἀγρυπνοῦσα γρηγόρει
ὅπως εἰσέλθῃς εἰς τὸν νυμφῶνα Χριστοῦ.

*Ὡ*ς ἀγνώμων πάλαι Ἰσραὴλ
ὁ ἀχάριστος περὶ τὸν εὐεργέτην
φανεὶς τὸν ἐμὸν ἠθέτησα
κἀγὼ εὐεργέτην
τῆς ἐνοχῆς καὶ τῆς μακροθυμίας Χριστοῦ
τὸν πλοῦτον ῥαθύμως δαπανήσας
ὅν μοι, κατέμνησε
κόρη, ταῖς σαῖς πρεσβείαις ἱλέωσαι.

*Ἀ*πὸ κοπρίας ἤγειρας πτωχοὺς
καὶ ἀνέστησας ἀπὸ γῆς πένητας
γηγενεῖς ταπεινοὺς ἀνύψωσας
καθεῖλες δυνάστας
καὶ ἀγαθῶν ἐνέπλησας πεινώσας ψυχὰς
κενοὺς ἐξαπέστειλας πλουτοῦντας·
διὸ πεινῶντα
σῶν ἀγαθῶν με ἔμπλησον, Δέσποινα.

*Ν*εκρὸν μυδῶντα σήψεως μεστὸν
λόγῳ Λάζαρον τὸν τεταρταῖον ἤγειρε
πρὶν ὁ υἱός σου, Δέσποινα·
αὐτὴ δὲ τὸν νοῦν μου
οὐ τεταρταῖον, ἀλλὰ πολυήμερον
νεκρὸν δεδειγμένον ὀδωδότα
παθῶν δυσώδους
φθορᾶς καὶ σήψεως νῦν ἀπάλλαξον.

*Ν*εφελοδρόμον ὥσπερ ἀετὸν
ἁρπαγῆναί με ὑπὸ νεφέλης εἰς ὑπαντὴν
σοῦ, Χριστέ, ἀξίωσον
εἰς γῆν οὐρανόθεν
ἐν φοβερᾷ νεφέλῃ ὅταν μέλλῃς ἐλθεῖν
καὶ μή με μετὰ τῶν καταδίκων
ἐν γῇ ἐάσῃς
ταῖς ἱκεσίαις τῆς σῆς ἀχράντου μητρός.

*Ὀ*δυνωμένης καὶ περιπαθοῦς
δέξαι δέησιν ἀπὸ καρδίας, μῆτερ Θεοῦ·
ἐπὶ σοὶ γὰρ πέποιθα
καὶ σοὶ ἀνεθέμην

τὴν προσδοκίαν πᾶσαν καὶ ἐλπίδα μου
ἐλέησον σῶσον οἰκτειρόν με
καὶ ὥσπερ οἶδας
καὶ θέλεις πυρὸς γεέννης με λύτρωσαι.

Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ πατρὸς
αὐτοδύναμιν αὐτοθυσίαν αὐτοζωὴν
Ἰησοῦν τὸν Κύριον
σαρκὶ τετοκυῖα
τῶν σαρκικῶν παθῶν καὶ ψυχικῶν [μολυσμῶν
καθάρασα σῶσόν με, Παρθένε,
καὶ αἰωνίου
ζωῆς ἀξίωσον καὶ ἀλήκτου χαρᾶς.

---

## 82

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κῶδ. 354 φ. 88α καὶ 970 φ. 61β Ἐθν. Βιβλ. Παρισίων Θ 66 φ. 126α Λαύρας. Ι 67 Λαύρας.

***Ἦχος γ΄. Ὠδὴ α΄. Ὁ τὰ ὕδατα πάλαι.***

**Σ**τεναγμόν μοι παράσχου
συντετριμμένον
καὶ δάκρυον ψυχικόν, Θεοτόκε,
τὰ πολλὰ πταίσματα
ὅπως πενθήσω μου
καὶ τῆς συνειδήσεως
τὸ ἀδιόρθωτον, κόρη,
καὶ ἐξιλεώσωμαι
τὴν εὐσπλαγχνίαν σου.

**Λ**ογισμοῖς ὀλισθαίνω
καὶ καταπίπτω
εἰς ἄβυσσον ἀπωλείας, πάναγνε,
καὶ τῆς σῆς δέομαι
νῦν ἀντιλήψεως
στῆσον ἀπερίτρεπτον
τὸ ἀσθενὲς τοῦ νοός μου
πέτρᾳ στηριζόμενον
τῶν τοῦ Θεοῦ ἐντολῶν.

**Τ**ῆς συκῆς περιφέρων
τὴν ἀκαρπίαν
πτοοῦμαι τὴν ἐκτομὴν καὶ τὴν δίκην
μὴ εἰς πῦρ πέμψῃ με
ὁ πλαστουργός μου καὶ Θεός,
Δέσποινα, προφθάσασα
τῆς μετανοίας με ἔργοις
καρποφόρον ποίησον
ἵνα δοξάζω σε.

**Ὡ**ς ἀμώμητος οἶκος
τοῦ βασιλέως
τοῖς πάθεσι μαρανθεῖσαν ἀτόπως
τὴν ἐμὴν καρδίαν
κάθαρον δέομαι,
ἄχραντε, ἁγνείας τε
καὶ καθαρᾶς πολιτείας
ἔργοις καταπλούτισον,
Θεοχαρίτωτε.

**Ὡ**ς ἡ πόρνη δακρύω
ὡς ὁ Τελώνης
ἐκ βάθους τὸν στεναγμὸν ἀναπέμπω
καὶ βοῶ, Δέσποινα
Χριστέ, ἱλάσθητι
ἥμαρτον συγχώρησον
τῷ ὑπὲρ πάντας ἀνθρώπους
σὲ παραπικράναντι
τὸν ὑπεράγαθον.

Ὠδὴ γ΄. Ὁ ἐκ μὴ ὄντων.

**Ο**ἱ πολεμοῦντές καὶ θλίβοντές με [πολλοὶ
καὶ οὐκ ἔστιν ἄνεσιν
εὑρεῖν καὶ ἀπολύτρωσιν
τῶν περιπαιόντων με
μὴ ὑπερίδῃς, ἁγνή, τὴν δέησίν μου.

**Β**εβαρημένος τῷ πλήθει τῶν χαλεπῶν
καὶ πολλῶν πταισμάτων μου
πρὸς ὕψος τὸ οὐράνιον
ἀτενίσαι, πάναγνε,
οὐκ ἐξισχύω, ἀλλ' ἄφεσίν μοι δίδου.



**Δ**ιασπαράξαι τὴν ταπεινήν μου ψυχὴν
ὁ ὄφις ὁ δόλιος
καθ' ἑκάστην ἐπείγεται·
ἀλλὰ τούτου σύντριψον
τοὺς ψυχοφθόρους ὀδόντας, Θεοτόκε.

**Σ**τόματι κράζω τὸ ἥμαρτόν σοι, Χριστέ,
καρδίᾳ δέ, Κύριε,
ἐνθυμοῦμαι τὰ ἄτοπα
καὶ ζητῶ συγχώρησιν
πλέον σε μᾶλλον, σωτήρ, παροξύνων.

**Ρ**ῦσαί με πάσης τῆς συνεχούσης δεινῆς
ἁμαρτημάτων
παγίδος τὸν δοῦλόν σου
καὶ πρὸς σωτηρίας με
λιμένα ἴθυνον ταῖς σαῖς πρεσβείαις.

Ὠδὴ δ΄. Ἐθου πρὸς ἡμᾶς.

**Φ**ρίττω ἐννοῶν
τῶν ἁμαρτιῶν μου τὸ πέλαγος
καὶ τῶν ἐναντίων λογισμῶν
τὸ χαλεπὸν καὶ μέγα κλυδώνιον
ἀλλὰ σὺ κυβέρνησον καὶ πρὸς γαλήνην
ἴθυνόν με, πάναγνε.

**Δ**ός μοι λογισμὸν
μετανοίας, εὔσπλαγχνε Κύριε,
δώρησαί μοι πένθος τῇ ψυχῇ
καὶ τὴν εὐχήν μου ταύτην κατεύθυνον,
σῶτερ, ὡς θυμίαμα ἐνώπιόν σου
ἵνα μεγαλύνω σε.

**Π**ώρωσις δεινὴ
τὴν ἐμὴν ψυχὴν νῦν κατέλαβεν
ἄγνοια καὶ λήθη τῶν κακῶν
ὧν ἐν τῷ βίῳ ἔπραξα, πάναγνε,
σὺ οὖν εἰς μετάνοιαν ὧν εἰργασάμην
ἄγαγέ με πράξεων.

**Π**ῦρ τῶν ἡδονῶν
τῶν δακρύων ῥείθροις κατάσβεσον
καὶ τὰς συμπνιγούσας μου τὸν νοῦν
βιοτικὰς ἀκάνθας κατάφλεξον
τῷ πυρὶ τοῦ Πνεύματος, Θεογεννῆτορ,
σκέπη μου καὶ στήριγμα.

Ὠδὴ ε΄. Ὡς εἶδεν Ἠσαΐας.

**Τ**ῆς κρίσεως τὴν ὥραν ὅταν εἰς νοῦν
λαμβάνω ὅλως δέδοικα
καὶ θρηνῶ καὶ κλαίω καὶ ἀποδύρομαι
ὢ τάλας κραυγάζων ἐγὼ
πῶς τὰς πράξεις μου εἰς ἔλεγχον ἐμοὶ
φέρων ἐπὶ πάντων
τῷ κριτῇ παραστήσομαι.

**Ψ**υχῆς μου τὴν ὀδύνην καὶ τῆς σαρκὸς
ἐπίστασαι τὸ ἄτονον
καὶ τοῦ νοὸς τὸ ναθρὸν καὶ ἄστατον, [Παρθένε,
διὸ καταξίωσον
ἐλέους καὶ χάριτος τῆς σῆς
ἵνα σὲ δοξάζω
σωζόμενος τῇ σκέπῃ σου.

**Μ**ὴ κλείσῃς μου τὰ σπλάγχνα τῶν [οἰκτιρμῶν
σοῦ, Δέσποινα πανάμωμε,
ἀλλ' ἐν κατανύξει προσερχομένῳ σοι
παράσχου τὰ σὰ ἐλέη
καὶ δεινῶν ἀπαλλαγὴν καὶ φωτισμὸν
ὅπως εὐχαρίστως
ὑμνῶ τὰ μεγαλεῖά σου.

**Ἐ**πλήθυνον, Παρθένε, οἱ δωρεὰν
μισοῦντές με καὶ θλίβοντες
νῦν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, [ἁγνή,
ζητοῦντες διασπαράξαι
καὶ κατάβρωμα ποιῆσαι ἑαυτῶν·
τούτους οὖν αἰσχύνης
πληρώσασα ἀπόστρεψον.

Ὠδὴ ς΄. Ἄβυσσος ἐσχάτη.

**Ὕ**δατα εἰσήλθοσαν πονηρὰ
ἕως ψυχῆς μου καὶ βυθίζει με, Κύριε,
ἀλλὰ σπεῦσον σῶσόν με
τῇ δεξιᾷ σου, Δέσποτα,
καὶ γαλήνης με
τῆς ἐν σοὶ καταξίωσον.

**Ἴ**ασαι τὴν ταπεινήν μου ψυχὴν
ὅτι ἀσθενής εἰμι καὶ τὰ ὀστᾶ μου ἅπαντα
ἐταράχθη, πάναγνε,
ἕως πότε, πανάμωμε,
ἐπιλήσῃ μου
ἕως τέλους κεκράξομαι.

**Φ**ώτισον τοὺς ὀφθαλμούς μου, ἁγνή,
φωτὶ τῷ θείῳ μὴ ὑπνώσω εἰς θάνατον

καὶ ἐπιχαρείη μοι
ὁ ἐχθρός μου, πανάμωμε,
σὺ γὰρ πέφυκας
φωτισμὸς τῆς καρδίας μου.

**Χ**είμαρροι τῶν πονηρῶν λογισμῶν
ἕως ψυχῆς μου ἐπελθόντες καλύπτουσι·
διελθεῖν ἀξίωσον
ὕδωρ τὸ ἀνυπόστατον
καὶ πρὸς εὔδιον
λιμένα με ὁδήγησον.

Ὠδὴ ζ′. Τὰ πρὶν εἰκόνι τῇ χρυσῇ.

**Τ**ὸν ἀδιόρθωτόν μου νοῦν
διόρθωσαι, Κύριε,
κακοῖς περιτρεπόμενον·
τῶν παθῶν μου κατάσβεσον τὴν φλόγα
καὶ τοῦ μέλλοντος πυρὸς ἐξάρπασόν
[με.

**Π**ρὸς σὲ ἐκέκραξα, ἁγνή,
ἐκ βαθέων λύτρωσαι
χειλέων ἐξ ἀδίκων με
καὶ γλώσσης δολίας μελῳδοῦντα
τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.

**Ἦ**ρα πρὸς σὲ τοὺς ὀφθαλμούς,
ἁγνή, τῆς καρδίας μου
ἐπίβλεψον καὶ ἴδε μου
τὴν ὀδύνην καὶ σῶσον μελῳδοῦντα
τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.

**Ἐ**ξουδενώσεως πολλῆς
ἡ ψυχή μου πέπλησται·
ἐλέησον οὖν, Δέσποινα,
καὶ βοῶντα τῷ σῷ υἱῷ με σῶσον
τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η′. Ἀστέκτῳ πυρί.

**Χ**ερσὶ λῃστρικαῖς κατεσχέθην
βίου τὰς ὁδοὺς νῦν παροδεύων
καὶ πληγάς μοι ἐπιθέντες θανατη-
[φόρους
στένοντα κατέλιπον·
ἀλλὰ σύ με μόνε ἰατρὲ θεράπευσον
ὅπως τὴν πολλήν σου δοξάζω εὐσπλαγ-
[χνίαν.

**Ῥ**υσθήτω, ἁγνή, ὡς στρουθίον
τῆς τῶν θηρευόντων με παγίδος ἡ ψυχή
[μου·
ἡ παγὶς δὲ τούτων ἐν τάχει
συντριβήτω, μελῳδοῦσα·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Ἐ**κ νεότητός μου τὰ ἔργα πράττων
τῆς αἰσχύνης μέχρι γήρως, τῆς ψυχῆς μου
ἀπημαύρωσα τὸ ὡραῖον
καὶ πτοοῦμαι, πάναγνε,
τοῦ υἱοῦ σου ὄντως τὴν φρικτὴν ἐξέ-
[τασιν·
ἀλλὰ σύ με ῥῦσαι ἐκ πάσης τιμωρίας.

**Κ**ύνες νοητοὶ ψυχοφθόροι
νῦν περικυκλώσαντές με, κόρη,
ἐκζητοῦσι τὴν ἀπώλειαν τῆς ψυχῆς μου·
ἀλλὰ τούτων πλήρωσον,
Θεοτόκε, πάσης αἰσχύνης τὰ πρόσωπα
ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ′. Ἐν νόμῳ σκιᾷ.

**Σ**ὺ τὸ ἀσθενὲς ἐπίστασαι
τοῦ ταπεινοῦ μου σώματος
τὸ ἄλγος τῆς ψυχῆς μου τῆς καρδίας
[μου
τὸν στεναγμὸν
καὶ τοῦ νοός μου τὴν πλάνην
καὶ τὰ ἰνδάλματα·
διὸ τῇ σῇ συμπαθείᾳ
ἑκατέρων δὸς τὴν ἴασιν.

**Τ**ὸν βίον ἐν ἀσωτίᾳ
ἐκτελέσας ὁ ταλαίπωρος
προσήγγισα τῷ τέλει τῆς ζωῆς μου
καὶ τοὺς ἐλεγμοὺς
τῶν ἀκαθάρτων δαιμόνων
δέδοικα, Παρθένε,
ἀλλὰ τῆς τούτων κακίας
τὴν ψυχήν μου ἐλευθέρωσον.

**Δ**αιμόνων τὰς πανουργίας
καὶ ψυχῆς μου τὴν ἀσθένειαν
γινώσκεις, Θεοτόκε, καὶ τὰς καθ' ἑκά-
[στην
παρ' αὐτῶν
ἐπαγομένας μοι θλίψεις



καὶ ἀθυμίας, ἁγνή,
ἀλλὰ τῆς τούτων ἐν τάχει
τυραννίδος με ἀπάλλαξον.

**Ὦ** Δέσποινα θεόνυμφε,
ἐπίβλεψον καὶ δέξαι μου
τὴν δέησιν ἐκ πόθου καὶ προσάγαγε
τῷ σῷ υἱῷ
τῷ λυτρωτῇ καὶ εὐσπλάγχνῳ
καὶ πανοικτίρμονι
ὅπως πολλῶν ἐγκλημάτων
λυτρώσῃ με, πανάχραντε.

---

# 83

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

« ***Μητροφάνης μέλπω σε, Δέσποινα, τρίτον.*** »

Κώδ. Θ 66 φ. 139
Λαύρας
354 φ. 72 α
Ἐθν. Βιβλ. Παρισίων

ΠΟΙΗΜΑ ΜΗΤΡΟΦΑΝΟΥΣ

***Ἦχος γ′. Ὠδὴ α′. Ὁ τὰ ὕδατα πάλαι.***

**Μ**εγαλώνυμε κόρη
παναγία κόρη Μαρία
τῶν χερουβὶμ ὑπερτέρα
τοῦ Δαυὶδ θυγάτηρ
καὶ καλλονὴ Ἰακὼβ
μήτηρ τοῦ Θεοῦ ἡμῶν
ἐμεγαλύνθη σου σφόδρα
τὸ κλέος καὶ πάντες σε
πίστει δοξάζομεν.

**Ἡ** πρὸ πάντων αἰώνων
προορισθεῖσα, Παρθένε,
τοῦ βασιλέως τῆς δόξης
ἁλουργίς, ἄχραντε,
ἣν ἐπ' ἐσχάτοις καιροῖς
φορέσας ἐκάλυψε
τοὺς δερματίνους χιτῶνας
Ἀδὰμ τοῦ προπάτορος
κἀμὲ νῦν σκέπασον.

**Τ**ὸν ἐκτείναντα λόγῳ
καθάπερ δέρριν τὸν πόλον
περιγραπτὸν ταῖς ἀγκάλαις
ὡς βροτὸν ἤνεγκας
ἀναλλοιώτως, ἁγνή,
τοῦτον οὖν δυσώπησον
τῆς τῶν παθῶν ἀλογίας
ψυχὴν ἐμὴν ῥύσασθαι
καὶ πάσης θλίψεως.

**Ῥ**ευματίζουσαν πάλαι
τὴν ἁμαρτίαν τὸ γένος
τὸ τῶν ἀνθρώπων, Παρθένε,
τὸν Χριστὸν τέξασα
τὸ δραστικώτατον πῦρ
ταύτην ἀπεξήρανας·
διὰ παθῶν τοὺς χειμάρρους
ψυχῆς ἐμῆς ξήρανον
ταῖς σαῖς δεήσεσιν.

Ὠδὴ γ′. Ὁ ἐκ μὴ ὄντων.

**Ὁ** τῶν πυρίνων κυριοτήτων, ἁγνή,
Δεσπότης καὶ Κύριος
σὸς υἱὸς ἐχρημάτισε
δι' οὗ ῥῦσαι, Δέσποινα,
τῶν παθῶν με δουλείας ταῖς πρε-
[σβείαις.

**Φ**ωτὸς ἀδύτου λυχνία χρυσολαμπὴς
ἐγένου, πανάχραντε,

καὶ τὸν κόσμον ἐφώτισας·
διὸ ταῖς ἀκτῖσί σου
τὸν τῆς ψυχῆς μου διασκέδασον γνόφον.

**Ἀ**πὸ ζάλης τῶν σαρκικῶν μου παθῶν,
πανάχραντε, λύτρωσαι
τὸν οἰκέτην σου τάχιον
ἡ γαλήνην τέξασα
τῆς σωτηρίας καὶ πηγὴν ἀπαθείας.

**Ν**ενεκρωμένον ὑπάρχοντα τὴν ψυχὴν
ἐκ πλήθους κακώσεως
τῶν παθῶν ζωοποίησον
ἡ τεκοῦσα, Δέσποινα,
τὸν ζωοδότην Χριστὸν ἀνερμηνεύτως.

Ὠδὴ δ'. Ἐλθὼν πρὸς ἡμᾶς.

**Ἦ**λθεν ἐπ' ἐμοὶ
σαρκικοῦ φρονήματος πόλεμος
καὶ πολιορκεῖ μου τὴν ψυχήν·
ἀλλ' ἡ τὴν πάντα νοῦν ὑπερέχουσαν
εἰρήνην κυήσασα τὴν σὴν εἰρήνην,
Δέσποινα, μοι βράβευσον.

**Σ**τάμνον σε χρυσῆν
τῆς ζωῆς τὸ μάννα βαστάζουσαν
τὸν θεανδρικώτατον Χριστὸν
σαφῶς εἰδὼς λιτάζω διάθρεψον
ψυχήν μου λιμώττουσαν καὶ τὸν χειμάρρουν
πότισον τοῦ Πνεύματος.

**Μ**ύρον νοητὸν
ἐκ γαστρὸς τῷ κόσμῳ ἐπήγασας·
διὸ τοῦ βορβόρου τῶν παθῶν
καὶ τὴν ἐμὴν ψυχὴν ἐλευθέρωσον·
καὶ δός μοι, πανάχραντε, τῆς ἀπαθείας
μύρον σαῖς δεήσεσιν.

**Ε**ὔα μὲν τὸ πρὶν
ἀκρατῶς εἰσήγαγε θάνατον·
σὺ δὲ παρθενίᾳ καθαρᾷ
τὴν ἀληθῆ ζωὴν ἀντεισήγαγες·
διὸ τοῦ θανάτου με τῆς ἁμαρτίας
ῥῦσαι σαῖς δεήσεσιν.

Ὠδὴ ε'. Ἐπὶ τῆς γῆς.

**Λ**ύτρον ἡμῖν
γεγονὼς ὁ υἱός σου
πάντας φθορᾶς
ἐρρύσατο, Παρθένε,
διό με λύτρωσαι
σαρκικοῦ φρονήματος
καὶ παθῶν ἐπαναστάσεως.

**Π**υρὶ τῶν σῶν
πρεσβειῶν, Θεοτόκε,
τῶν ἐμπαθῶν
λογισμῶν τὰς ἀκάνθας
πάσας κατάφλεξον
ἡ λαβὶς τοῦ ἄνθρακος
τοῦ τὸν ἄνθρωπον καθάραντος.

**Ὡ**ραίαν πρὶν
ἐκεκτήμην, Παρθένε,
τῶν ἀρετῶν
στολὴν ἣν ἐξεδύθην
ἐκ ῥαθυμίας μου·
σὺ δὲ νῦν με ἔνδυσον
λαμπροτέραν σαῖς δεήσεσιν.

**Σ**ὺ τοῦ Θεοῦ
γεγέννηκας τὸν μόσχον
ὑπὲρ ἡμῶν
τυθέντα φιλανθρώπως
ἡ θεία δάμαλις
οὗ τῷ θείῳ αἵματι
τὴν καρδίαν μου καθάρισον.

Ὠδὴ ϛ'. Ἄβυσσος ἐσχάτη.

**Ἔ**σεισαν τὸν οἶκόν μου τῆς ψυχῆς
τὰ τῆς κακίας χαλεπὰ μηχανήματα
ἀλλ' ὡς τὸν ἑδράσαντα
Χριστὸν τὴν γῆν ἐν ὕδασι
ἀποτέξασα
σαῖς πρεσβείαις στερέωσον.

**Δ**έδωκε πιστοῖς σε καταφυγὴν
καὶ θείαν σκέπην ὁ τεχθεὶς ἐκ τῆς μήτρας σου
Θεὸς ὑπεράγαθος
διὸ κἀμέ, πανάχραντε,
περισκέπασον
σαῖς παλάμαις καὶ φρούρησον.



**Ἔ**λυσας τὸ χρέος τῶν γηγενῶν
τὸν μαργαρίτην τὸν ἐντίμιον τέξασα
δι' οὗ λῦσον τάχιον
καὶ τὰς σειράς, πανάχραντε,
τῶν πταισμάτων μου
καὶ παθῶν καὶ τῶν θλίψεων.

**Κ**ύμασι τοῦ βίου φρενοβλαβῶς
ἐγὼ ὁ τάλας συνεχῶς βυθιζόμενος
καὶ ταῖς αὔραις πάντοτε
τοῦ ἐχθροῦ ῥιπιζόμενος
νῦν κραυγάζω σοι·
Θεοτόκε, βοήθει μοι.

Ὠδὴ ζ'. Ὡς πάλαι τοὺς εὐσεβεῖς.

**Σ**υστήματα πονηρὰ
δαιμόνων ἐκύκλωσαν
καὶ σαρκικῶν στίφη με παθῶν·
ἀλλ' ὡς κραταιὸν ἐν πολέμοις τὸν Χριστὸν
τετοκυῖα λύτρωσαι
τῆς συνεχούσης θλίψεως
καὶ δεινῶν περιστάσεων.

**Π**αράδεισος λογικός,
Παρθένε, σὺ πέφηνας
βεβλαστηκὼς ξύλον τῆς ζωῆς
οὗ μεταλαβὼν τοῦ θανάτου τὸν καρπὸν
ὁ Ἀδὰμ ἐξήμεσε·
διὸ κἀμὲ νῦν γλύκανον
καὶ παθῶν ῥῦσαι τῆς γεύσεως.

**Ὁ** μόνος χερουβικαῖς
οὐσίαις ἀπρόσιτος
καὶ φοβερὸς ταῖς ἀγγελικαῖς
τάξεσιν, ἁγνή, κατεσκήνωσεν ἐν σοὶ
καὶ ἡμᾶς ἀνέπλασε·
δι' οὗ με δεῖξον, Δέσποινα,
φοβερὸν τοῖς ἀοράτοις ἐχθροῖς.

**Ἰ**λύος με τῶν παθῶν
τοῦ σώματος λύτρωσαι
καὶ πειρασμῶν τῶν δαιμονικῶν
ἡ τὸν λυτρωτὴν τεκοῦσα τῶν βροτῶν
τοῦ ὑψίστου σκήνωμα
καὶ τέμενος ἁγιώτατον
τοῦ Θεοῦ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'. Ἀστέκτῳ πυρί.

**Ν**εφέλη φωτὸς τοῦ φωστῆρας
τάξαντος ἐν κόσμῳ τοὺς μεγάλους
τῆς ἡμέρας καὶ τῆς νυκτὸς δὲ κατάρχειν
ζόφον διασκέδασον
πάντων παθῶν καὶ πταισμάτων μου
καὶ δεῖξον υἱόν με φωτός, Θεοκυῆτορ.

**Ἀ**ρρήτως, ἁγνή, τὴν σοφίαν
τοῦ Θεοῦ τὴν πᾶσαν ἐκ μὴ ὄντων οὐρανίαν
καὶ χοϊκὴν παραγαγοῦσαν
φύσιν σὺ γεγέννηκας·
δι' ἧς λόγον δός μοι σοφίαν καὶ σύνεσιν
ὅπως ἀνυμνῶ σου σοφῶς τὸν θεῖον τόκον.

**Τ**ὸν ἐξ οὐρανοῦ καταβάντα
ὑετὸν ἐν πόκῳ ἐχώρησας τῇ γαστρί σου
τὴν ψυχήν μου καὶ τὴν καρδίαν
φώτισον καὶ δρόσισον
καὶ τὴν φλόγα σβέσον παθῶν καὶ τῶν θλίψεων
ἵνα σε δοξάζω θερμῶς εἰς τοὺς αἰῶνας.

**Ρ**ωσθῆναι ταῖς σαῖς ἱκεσίαις,
Δέσποινα τοῦ κόσμου, τὴν ψυχήν μου καὶ τὸ σῶμα
καὶ τῶν νόσων τῆς ἁμαρτίας
καὶ παθῶν κακώσεως
λυτρωθῆναι τάχει λιτάζω καὶ δέομαι·
σὺ γὰρ εἶ τῶν πάντων βροτῶν τὸ ἰατρεῖον.

Ὠδὴ θ'. Οἱ τῷ γλυκεῖ.

**Ἱ**στὸς Χριστοῦ θεοϋφαντος ὤφθης
ἐξ οὗ στολὴν τῆς σαρκὸς
τὸ θεαρχικώτατον πνεῦμα ἐξύφανεν·
ἔνδυσον οὖν με στολὴν τὴν ἀκόλαστον
σωφροσύνης, ἁγνή, σαῖς δεήσεσι.

**Τ**ὴν καθαρὰν καὶ ἁγίαν παστάδα
δι' ἧς ὁ φύσει Θεὸς
βροτῶν ἐνυμφεύσατο φύσιν λιτάζω σε
σύναψόν με σῷ υἱῷ καὶ οἰκείωσον
διὰ θείας ζωῆς σαῖς δεήσεσιν.

*Ὁ* νοητὸς ἀμπελὼν ὁ βλαστήσας
βότρυν τὸν θεῖον ἡμῖν
ἐξ οὗ ποτιζόμεθα νᾶμα τὸ ἄφθαρτον
πήγασόν μοι τῇ ψυχῇ κατανύξεως
οἶνον καθαρτικὸν ταῖς δεήσεσι.

*Ν*ομὴν φθορᾶς τῶν βροτῶν τῆς οὐσίας
τῆς ἀφθαρσίας πηγὴν
τὸν Χριστὸν τεκοῦσα, Παρθένε, ἀνέτρεψας
νέκρωσον τῶν μου παθῶν τὴν φλεγμαίνουσαν
καὶ βιαίαν ὁρμὴν ταῖς δεήσεσι.

---

# 84

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς κατ' ἀβ.

Κοδ. Θ 66 φ. 149α Λαύρας. 354 φ. 77β καὶ 370 φ. 53α Ἐθν. Βιβλ. Παρισίων

### Ἦχος γ'. Ὠδὴ α'. Ὁ τὰ ὕδατα πάλαι.

*Ἀ*μελείᾳ τὸν βίον
διατελέσας
προσήγγισα τῆς ζωῆς μου τῷ τέλει·
ἀλλ' αὐτὴ δέομαι
κἂν ἐν ἐσχάτῳ καιρῷ
δίδου μοι κατάνυξιν
ὅπως πενθήσω συντόνως
ἐπὶ τοῖς ἀμέτροις μου
σφάλμασιν, ἄχραντε.

*Β*εβηλώσας ἀφρόνως
τὸ κατ' εἰκόνα
τοῖς πάθεσι τῆς σαρκός μου, Παρθένε,
τοῦ Θεοῦ δέδοικα
τὴν ἀγανάκτησιν
καὶ τὸ φρικωδέστατον
τῆς τοῦ πυρὸς τιμωρίας·
ἀλλ' αὐτὴ ἐλέησον
τὸν προσφυγόντα σοι.

*Γ*όνυ κάμπτων ὁ τάλας
τὴν σὴν αἰτοῦμαι
βοήθειαν, παναγία Παρθένε·
ἀλλὰ σὺ ἄκουσον
ὀδυνωμένης ψυχῆς
καὶ τὸ ἐπικείμενον
τῆς ἀθυμίας μου νέφος
φέγγει διασκέδασον
τῶν σῶν δεήσεων.

*Ἡ* σωτήριος πύλη
τοῦ βασιλέως
τῆς δόξης, Θεογεννῆτορ Μαρία,
πρὸς ζωῆς, πάναγνε,
πύλας εἰσάγαγε
σοῦ ταῖς παρακλήσεσι
τοὺς εἰσιόντας ἐν πύλαις
τοῦ ναοῦ σου πάντοτε
καὶ σὲ δοξάζοντας.

Ὠδὴ γ'. Ὁ ἐκ μὴ ὄντων.

*Δ*ακρύων ὄμβρους παράσχου μοι, ἀγαθή,
καὶ τούτοις κατάσβεσον
τὴν τῶν παθῶν μου κάμινον
καὶ πάσας ἀποσμῆξον
τὰς ψυχικάς μου κηλῖδας, Θεοτόκε.

*Ἐν* ἀναιμίαις τὸ εὐγενὲς τῆς ψυχῆς
ἐμόλυνα, πάναγνε,
καὶ φρίττω τὴν ἐξέτασιν
ὅτι ἀπαιτήσει με
τὸ τῆς εἰκόνος ἀξίωμα ὁ Λόγος.

*Ζ*άλη πταισμάτων καταλαβοῦσά με νῦν
εἰς βυθὸν κατήγαγεν,
ἁγνή, τῆς ἀπογνώσεως·



ἀλλὰ δίδου χεῖρά μοι
καὶ μετανοίας εἰσάγαγε πρὸς δρόμον.

*Ἡ* ἀδιαπέραστος τοῦ μέγα τοῦ [illegible]
τὸ ὄρος τὸ ἅγιον
ἡ Θεὸν σαρκώσασα,
Θεοτόκε, φύλαξον
τὴν ταπεινήν μου ψυχὴν παρακαλῶ σε.

Ὠδὴ δ'. Ἔσω πρὸς ἡμᾶς.

*Ἤ*λθοσαν, ἁγνή,
τῶν ἀτόπων πράξεων ὕδατα
ἕως τῆς ἀθλίας μου ψυχῆς
καὶ λογισμῶν ἰλὺϊ κρατούμενος
βοῶ δυσωπῶν σε μή με παρίδῃς,
Δέσποινα, τὸν δοῦλόν σου.

*Θ*ῆρες νοητοὶ
νῦν ἀγρίως με ἐκύκλωσαν
σπεύδοντες ἁρπάσαι ἀφειδῶς
τὴν ταπεινήν ψυχήν μου, πανάμωμε,
ἀλλὰ τούτων σύντριψον τὰς ψυχοφθόρους
μύλας, πανακήρατε.

*Ἵ*λεως γενοῦ
τῷ σῷ δούλῳ, Δέσποινα, δέομαι
καὶ προσδοκωμένης ἀπειλῆς
τὸν σὸν λαὸν ἐξάρπασον, πάναγνε,
ἵνα σοι κραυγάζωμεν εὐχαριστοῦντες
δόξα σοι, παντάνασσα.

*Τ*ράπεζα χρυσῆ
ἡ τὸν θεῖον ἄρτον βαστάσασα
ἐμπλῆσον πεινῶντά με τροφῆς
σωτηριώδους καὶ χειμαζόμενον
καὶ καταφθειρόμενον καὶ ἀπορίᾳ,
πάναγνε, σκοτούμενον.

Ὠδὴ ε'. Ἐκ τῆς γῆς.

*Κ*ύνες πολλοὶ
περιέσχον με ὄντως
συναγωγὴ
πονηρῶν με πνευμάτων
περιεκύκλωσεν·
ἀλλὰ τούτων, ἄχραντε,
τὰς βουλὰς νῦν διασκέδασον.

*Λ*άκκον μοι νῦν
ὁ Βελίαρ ὤρυξε
καταβαλεῖν
ἐν αὐτῷ με πειρᾶται·
ἀλλὰ τῇ σῇ δεξιᾷ
ἐμβληθήτω, Δέσποινα,
εἰς τὸν βόθρον ὃν εἰργάσατο.

*Μ*ὴ τῷ θυμῷ
ἐλεγχθῶ τοῦ υἱοῦ σου
ἐν τῷ καιρῷ
τῆς αὐτοῦ παρουσίας·
μὴ τῇ ὀργῇ αὐτοῦ
παιδευθῶ, πανύμνητε,
ἀλλὰ σῶσόν με πρεσβείαις σου.

*Ἴ*δε, ἁγνή,
τὴν ἀσθένειαν ἴδε
τῆς ταπεινῆς
καὶ ἀθλίας ψυχῆς μου
καὶ τῶν ἀοράτων ἐχθρῶν
τῆς ἐπαναστάσεως
καὶ τῆς τούτων βλάβης ῥῦσαί με.

Ὠδὴ ς'. Ἄβυσσος ἐσχάτη.

*Ν*εῦμα τοῦ πάντων δημιουργοῦ
ἡνίκα μέλλει ἡ ψυχή μου χωρίζεσθαι
τῆς σαρκός, πανάμωμε,
χειρός με ἐλευθέρωσον
τῶν μισούντων με,
Θεοτόκε πανύμνητε.

*Ξ*ήρανον τοὺς θολεροὺς ποταμούς,
Θεογεννῆτορ, τῶν πονηρῶν μου πράξεων
ῥείθροις κατανύξεως
καὶ πρὸς τὸ ὕδωρ ἴθυνον
τῆς ἀνέσεως
ἐν ἡμέρᾳ τῆς κρίσεως.

*Ο*ἶδάς μου τὸ ἀσθενὲς τῆς ψυχῆς
καὶ τοῦ νοός μου τὸ ἀνίσχυρον, ἄχραντε,
καὶ σαρκὸς τὸ ἄτονον·
διὸ σῶσον τὸν δοῦλόν σου·
σὲ γὰρ κέκτημαι
προστασίαν ἀήττητον.

*Γ*έμωσιν ὑπέστην φρενοβλαβῶς
καθυποτάξας τὴν ψυχήν μου τοῖς πάθεσι,
παναγία Δέσποινα,

*Ὁ* νοητὸς ἄμπελων ὁ βλαστήσας
βότρυν τὸν θεῖον ἡμῖν
ἐξ οὗ ποτιζόμεθα νᾶμα τὸ ἄφθαρτον
πήγασόν μοι τῇ ψυχῇ κατανύξεως
οἶνον καθαρτικὸν σαῖς δεήσεσι.

*Ν*ομὴν φθορᾶς τῶν βροτῶν τῆς οὐσίας
τῆς ἀφθαρσίας πηγὴν
τὸν Χριστὸν τεκοῦσα, Παρθένε, ἀνέτρεψας
νέκρωσον οὖν μου παθῶν τὴν φλεγμαίνουσαν
καὶ βιαίαν ὁρμὴν σαῖς δεήσεσι.

84

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς κατ' ἀβ.

Κώδ. Θ 66 φ. 149α Λαύρας. 354 φ. 77β καὶ 370 φ. 53α Ἐθν. Βιβλ. Παρισίων

**Ἦχος γ'. Ὠδὴ α'. Ὁ τὰ ὕδατα πάλαι.**

*Ἀ*μελείᾳ τὸν βίον
διατελέσας
προσήγγισα τῆς ζωῆς μου τῷ τέλει·
ἀλλ' αὐτή δέομαι
κἂν ἐν ἐσχάτῳ καιρῷ
δίδου μοι κατάνυξιν
ὅπως πενθήσω συντόνως
ἐπὶ τοῖς ἀμέτροις μου
σφάλμασιν, ἄχραντε.

*Β*εβηλώσας ἀφρόνως
τὸ κατ' εἰκόνα
τοῖς πάθεσι τῆς σαρκός μου, Παρθένε,
τοῦ Θεοῦ δέδοικα
τὴν ἀγανάκτησιν
καὶ τὸ φρικωδέστατον
τῆς τοῦ πυρὸς τιμωρίας·
ἀλλ' αὐτή ἐλέησον
τὸν προσφυγόντα σοι.

*Γ*όνυ κάμπτων ὁ τάλας
τὴν σὴν αἰτοῦμαι
βοήθειαν, παναγία Παρθένε·
ἀλλὰ σὺ ἄκουσον
ὀδυνωμένης ψυχῆς
καὶ τὸ ἐπικείμενον
τῆς ἀθυμίας μου νέφος
φέγγει διασκέδασον
τῶν σῶν δεήσεων.

*Ἡ* σωτήριος πύλη
τοῦ βασιλέως
τῆς δόξης, Θεογεννῆτορ Μαρία,
πρὸς ζωῆς, πάναγνε,
πύλας εἰσάγαγε
σοῦ ταῖς παρακλήσεσι
τοὺς εἰσιόντας ἐν αὐλαῖς
τοῦ ναοῦ σου πάντοτε
καὶ σὲ δοξάζοντας.

Ὠδὴ γ'. Ὁ ἐκ μὴ ὄντων.

*Δ*ακρύων ὄμβρους παράσχου μοι, ἀγαθή,
καὶ τούτοις κατάσβεσον
τὴν τῶν παθῶν μου κάμινον
καὶ πάσας ἀπόσμηξον
τὰς ψυχικάς μου κηλῖδας, Θεοτόκε.

*Ἐ*ν ἀνομίαις τὸ εὐγενὲς τῆς ψυχῆς
ἐμόλυνα, πάναγνε,
καὶ φρίττω τὴν ἐξέτασιν
ὅτι ἀπαιτήσει με
τὸ τῆς εἰκόνος ἀξίωμα ὁ Λόγος.

*Ζ*άλη πταισμάτων καταλαβοῦσά με νῦν
εἰς βυθὸν κατήγαγεν,
ἁγνή, τῆς ἀπογνώσεως·
ἀλλὰ δίδου χεῖρά μοι
καὶ μετανοίας εἰσάγαγε πρὸς ὅρμον.



*Ἡ* θεία στάμνος τοῦ μάννα τοῦ νοητοῦ
τὸ ὄρος τὸ ἅγιον
ἡ Θεὸν σωματώσασα,
Θεοτόκε, φώτισον
τὴν ταπεινήν μου ψυχὴν παρακαλῶ σε.

Ὠδὴ δ'. Ἐλθὼν πρὸς ἡμᾶς.

*Ἤ*λθοσαν, ἁγνή,
τῶν ἀτόπων πράξεων ἔθιμα
ἕως τῆς ἀθλίας μου ψυχῆς
καὶ λογισμῶν ἰλὺς κρατούμενος
βοῶ ὀδυνώμενος μή με παρίδῃς,
Δέσποινα, τὸν δοῦλόν σου.

*Θ*ῆρες νοητοὶ
νῦν ἀνηλεῶς με ἐκύκλωσαν
σπεύδοντες ἁρπάσαι ἀφειδῶς
τὴν ταπεινὴν ψυχήν μου, πανάμωμε,
ἀλλὰ τούτων σύντριψον τὰς ψυχοφθόρους
μύλας, πανύμνητε.

*Ἵ*λεως γενοῦ
τῷ σῷ δούλῳ, Δέσποινα, δέομαι
καὶ προσδοκωμένης ἀπειλῆς
τὸν σὸν λαὸν ἐξάρπασον, πάναγνε,
ἵνα σοι κραυγάζομεν εὐχαριστοῦντες
δόξα σοι, παντάνασσα.

*Τ*ράπεζα χρυσῆ
ἡ τὸν θεῖον ἄρτον βαστάσασα
ἔμπλησον πεινῶντά με τροφῆς
σωτηριώδους καὶ χειμαζόμενον
καὶ καταφθειρόμενον καὶ ἀπορίᾳ,
πάναγνε, σκοτούμενον.

Ὠδὴ ε'. Ἐπὶ τῆς γῆς.

*Κ*ύνες πολλοὶ
περιέσχον με ὄντως
συναγωγὴ
πονηρῶν με πνευμάτων
περιεκύκλωσεν·
ἀλλὰ τούτων, ἄχραντε,
τὰς βουλὰς νῦν διασκέδασον.

*Λ*άκκον μοι νῦν
ὁ βέλιαρ ὀρύξας
καταβαλεῖν
ἐν αὐτῷ με πειρᾶται·
ἀλλὰ τῇ σῇ δεξιᾷ
ἐμβληθήτω, Δέσποινα,
εἰς τὸν βόθρον ὃν εἰργάσατο.

*Μ*ὴ τῷ θυμῷ
ἐλεγχθῶ τοῦ υἱοῦ σου
ἐν τῷ καιρῷ
τῆς αὐτοῦ παρουσίας·
μὴ τῇ ὀργῇ αὐτοῦ
παιδευθῶ, πανύμνητε,
ἀλλὰ σῶσόν με πρεσβείαις σου.

*Ἴ*δε, ἁγνή,
τὴν ἀσθένειαν ἴδε
τῆς ταπεινῆς
καὶ ἀθλίας ψυχῆς μου
καὶ τῶν ἀσάρκων ἐχθρῶν
τῆς ἐπαναστάσεως
καὶ τῆς τούτων βλάβης ῥῦσαί με.

Ὠδὴ στ'. Ἄβυσσος ἐσχάτη.

*Ν*εύματι τοῦ πάντων δημιουργοῦ
ἡνίκα μέλλει ἡ ψυχή μου χωρίζεσθαι
τῆς σαρκός, πανάμωμε,
χειρὸς με ἐλευθέρωσον
τῶν μισούντων με,
Θεοτόκε πανύμνητε.

*Ξ*ήρανον τοὺς θολεροὺς ποταμούς,
Θεογεννῆτορ, τῶν πονηρῶν μου πράξεων
ῥείθροις κατανύξεως
καὶ πρὸς τὸ ὕδωρ ἴθυνον
τῆς ἀνέσεως
ἐν ἡμέρᾳ τῆς κρίσεως.

*Ο*ἶδάς μου τὸ ἀσθενὲς τῆς ψυχῆς
καὶ τοῦ νοός μου τὸ ἀνίσχυρον, ἄχραντε,
καὶ σαρκὸς τὸ ἄτονον·
διὸ σῶσον τὸν δοῦλόν σου·
σὲ γὰρ κέκτημαι
προστασίαν ἀήττητον.

*Γ*ύμνωσιν ὑπέστην φρενοβλαβῶς
καθυποτάξας τὴν ψυχήν μου τοῖς πάθεσι,
παναγία Δέσποινα,

σωτηρίου ἱμάτιον
καὶ ἀφέσεως
ἐπενδύσασα σῶσόν με.

Ὠδὴ ϛ'. Τὸ πρὶν εἰκόνι.

*Π*εριεχύθη μοι, ἁγνή,
τῶν ἁμαρτημάτων μου
ἕως ψυχῆς μου ὕδατα
ἄβυσσός τε ἐκύκλωσεν ἐσχάτη
ἀλλὰ ταύτης ἐξελοῦ τῆς τρικυμίας.

*Ῥ*άντισον αἵματι, ἁγνή,
τῆς πλευρᾶς τοῦ τόκου σου
τῷ πλήθει τοῦ ἐλέους σου
πλῦνον δέ με τοῖς τῶν δακρύων ῥείθροις
καὶ καθάρισον ἐκ πάσης με κηλῖδος.

*Σ*υντετριμμένην μοι ψυχὴν
τεταπεινωμένην τε
καρδίαν δίδου, πάναγνε,
ὅπως ῥυσθῶ μηχανουργίας
τῶν ἀεί με ἀφειδῶς ἐνεδρευόντων.

*Τ*οὺς πονηρούς μου λογισμοὺς
καὶ πράξεις τοῦ σώματος
τὰς ἐνύλους κατάφλεξον,
ἁγνὴ Παρθένε, τὸ πῦρ ἀποτεκοῦσα
τὸ δροσίζον τῶν πιστῶν τὰς διανοίας.

Ὠδὴ η'. Ἀστέκτῳ πυρί.

*Τ*ὰ τόξα, ἁγνή, τοῦ βελίαρ
σύντριψον τῷ κράτει τοῦ υἱοῦ σου
καὶ ἡ τούτου ἀδικία νῦν καταβήτω
ἐπὶ κορυφὴν αὐτοῦ ἵνα μέλπω
πάντα τὰ ἔργα εὐλογεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

*Ὑ*πνώσας εἰς θάνατον κεῖμαι
τάφῳ ἀπογνώσεως, Παρθένε,
ἀλλ' αὐτή με ἐξανάστησον
καὶ ἀγρύπνως μέλπειν καταξίωσον·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

*Φ*ωτί σου καταύγασον, κόρη,
τὴν ἐσκοτισμένην μου καρδίαν
καὶ τὰ ὅπλα τοῦ φωτός με
φωτὸς ἡ πύλη ἔνδυσον κραυγάζοντα·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

*Π*αστὰς νοητή, τοὺς παστάδι
ταύτῃ σου τῇ θείᾳ καθ' ἑκάστην
ὁμοψύχως, Παρθένε, ἀθροιζομένους
παστάδος ἀξίωσον οὐρανίου·
σὲ γὰρ ἔχομεν πρεσβεύουσαν
πρὸς τὸν σαρκωθέντα ἐκ σοῦ ἀρρήτῳ
[λόγῳ.

Ὠδὴ θ'. Ἐν νόμῳ σκιᾷ.

*Χ*ειμάζει παθῶν κλυδώνιον
καὶ τάραχος αἰσχρῶν λογισμῶν,
Παρθένε, τὴν ψυχήν μου πονηρῶν
ἀνθρώπων καταιγὶς
διηνεκῶς με ταράττει
ἀλλὰ ὡς φιλάγαθος
τῆς κατεχούσης ἀνάγκης
διὰ τάχους με ἀπάλλαξον.

*Ψ*υχὴ ταπεινή, ἀπόστηθι
τῶν πονηρῶν σου πράξεων
καὶ παῦσαι τῆς κακίας καὶ τοῦ παρ-
οργίζειν τὸν Θεόν·
ἐπιλαβοῦ δὲ προθύμως
τῶν παρ' αὐτοῦ ἐντολῶν·
τὴν Θεοτόκον γὰρ ἔχεις
τὰς ὁδούς σου κατευθύνουσαν.

*Ὡ*ς πάντων τεκοῦσα Κύριον
παθῶν με ἐλευθέρωσον
δεινῶν τε ἁμαρτιῶν καὶ ὅλον
ἔργοις ἀγαθοῖς
διὰ πολλὴν εὐσπλαγχνίαν
σὺ καταπλούτισον
ἵνα γηθόμενος πόθῳ
μεγαλύνω σε, πανάμωμε.

*Σ*τενάζων καὶ ὀδυρόμενος,
κόρη, προσπίπτω σοι ἐν κλαυθμῷ
ἐλέησον καὶ σῶσον τὴν ψυχήν
μου τὴν ἐλεεινὴν
τὸν θελητὴν τοῦ ἐλέους
Θεὸν ἡ τέξασα
καὶ ἐν ἡμέρᾳ τῆς δίκης
καταδίκης πάσης ῥῦσαί με.



85

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κώδ. Θ 66
φ. 159 α Λαύρας.

**Ἦχος γ'. Ὠδὴ α'. Ὁ τὰ ὕδατα πάλαι.**

*Ρ*υπαρῶν ἐκ χειλέων
δέχου τὸν ὕμνον,
Παρθένε Θεογεννήτορ Μαρία,
μολυσμοῦ ῥῦσαί με
καὶ βλαβερῶν ἡδονῶν
θείᾳ μεσιτείᾳ σου
τῇ πρὸς τὸν κτίστην ὡς μήτηρ
ὡς ἀειμακάριστος
καὶ παντευλόγητος.

*Ὑ*πουργήσας κακίᾳ
γέγονα ὅλως
κατάβρωμα τοῦ δολίου βελίαρ
καὶ πρὸς γῆν, ἄχραντε,
καταπεσὼν δολερῶς
δέομαι ἀνάστησον
ἀπεγνωσμένον με ὄντα
θείᾳ μεσιτείᾳ σου,
Θεοχαρίτωτε.

*Ὃ*ν ἐκύησας Λόγον,
Θεογεννήτορ,
μὴ παύσῃ ὑπὲρ ἡμῶν δυσωποῦσα
χαλεπῶν πράξεων
καὶ ἐναντίων παθῶν,
κόρη, ἐκλυτρώσασθαι
καὶ λογισμῶν ὀλεθρίων
τῶν παρενοχλούντων με,
μόνη πανύμνητε.

Ὠδὴ γ'. Ὁ ἐκ μὴ ὄντων τὰ πάντα.

*Ν*ύξ με συνέχει ἀμέτρων ἁμαρτιῶν
καὶ ζάλη καὶ θύελλα
τῶν πολλῶν ἐγκλημάτων μου
καὶ πρὸς σὲ κατέφυγον
τὴν κραταιάν μου προστάτιν, Θεοτόκε.

*Τ*ὴν ἀνωτέραν ὑπάρχουσαν σεραφὶμ
τῶν θείων δυνάμεων
ἐνδοξοτέραν ἄσμασιν
τὴν τὸ φῶς τὸ ἄχραντον
τοῖς ἐν τῷ σκότει ἐκλάμψασαν ὑμνοῦ-
[μεν.

*Ν*ύμφη καὶ μήτηρ τοῦ πάντων δη-
[μιουργοῦ
ἐδείχθης, πανάμωμε,
Χριστὸν ἀποκυήσασα
ὃν δυσώπει, πάναγνε,
τοῦ λυτρωθῆναι φθορᾶς με καὶ κιν-
[δύνων.

Ὠδὴ δ'. Ἦλθον πρὸς ἡμᾶς.

*Ἔ*χων συμπαθὲς
εὐσπλαγχνίας πέλαγος, Κύριε,
δέξαι τὴν τεκοῦσάν σε ἁγνὴν
ὑπὲρ τοῦ κόσμου, Λόγε, πρεσβεύουσαν
ταύτης ταῖς ἐντεύξεσιν ὡς ἐλεήμων
σῶσον τὰς ψυχὰς ἡμῶν.

*Μ*όνη γηγενῶν
προστασία ὤφθης, πανάμωμε,
μόνη τῶν βροτῶν καταφυγὴ
μόνη πιστῶν ἑτοίμη βοήθεια
μόνη παντευλόγητος μόνη προστασία
τῶν παρακαλούντων σε.

*Ὅ*λη ἀγαθὴ
ἀγαθοῦ Θεοῦ ὡς ὑπάρχουσα
μήτηρ καὶ παρθένος ἀληθῶς
τὴν παρθενίαν μόνη φυλάξασα
καὶ μετὰ τὴν κύησιν αὐτὸν δυσώπει
σώζεσθαι τοὺς δούλους σου.

Ὠδὴ ε'. Ἐκ τῆς γῆς.

*Λ*άμψον μοι φῶς
μετανοίας, Παρθένε,
καὶ σκοτισμοῦ
τῶν πολλῶν μου πταισμάτων,
ἁγνή, ἐξάγαγε

ἵνα σε τὴν Δέσποιναν
μεγαλύνω, Θεονύμφευτε.

**Κ**αταποθεὶς
ἀτιμίας εἰς βάθος
ὁλοσχερῶς
ἐν τῷ σκότει τοῦ βίου
λοιπὸν πορεύομαι
καὶ πρὸς σὲ κατέφυγον,
Θεοτόκε, μὴ παρίδῃς με.

**Σ**ὺ τὸν Θεὸν
συλλαβοῦσα ἀφράστως
ἀνέπλασας
τὸ γένος τῶν ἀνθρώπων,
μόνη πανύμνητε,
ὃν ἀεὶ δυσώπησον
ἐλεῆσαί με τὸν ἄσωτον.

Ὠδὴ ϛʹ. Ἄβυσσος ἐσχάτη.

**Ὄ**φεως ἀπάτῃ φθοροποιοῦ
τοῦ παραδείσου ἐξεβλήθην ὁ δείλαιος·
διὰ σοῦ δέ, Δέσποινα,
ἀνεκλήθην πρὸς θείαν ζωὴν
ἧς ἀξίωσον
κληρονόμον γενέσθαι με.

**Ν**έκρωσον τὸ φρόνημα τῆς σαρκὸς
σαρκὶ τεκοῦσα τὴν ζωὴν τὴν ἀθάνατον
τὴν ψυχήν μου ζώωσον
καὶ τὴν καρδίαν στήριξον
πρὸς θελήματα
τοῦ υἱοῦ σου, πανάχραντε.

**Ἄ**χραντε ἁγία μῆτερ Θεοῦ
ἁγίασόν μου τὴν ψυχὴν καὶ κατεύθυνον
πρὸς εἰσόδους δέομαι
τοῦ Δεσπότου καὶ κτίστου μου
καὶ οἰκείωσον
ὡς μεσῖτις, πανύμνητε.

Ὠδὴ ζʹ. Τρεῖς παῖδες ἐν καμίνῳ.

**Ὁ** τόκος σου, Παρθένε,
τοὺς βροτοὺς ἀνεκαίνισε
καὶ ἔζώωσεν ἡμᾶς ὡς ὑπεράγαθος
τοῦ πατρὸς εὐδοκίᾳ
καὶ συνεργίᾳ τοῦ σεπτοῦ
καὶ θείου Πνεύματος.

**Ξ**ηράνασα τὰ ῥεῖθρα
τῶν κακῶν μου, πανάμωμε,
μεσιτείᾳ σου, ἁγνὴ Θεοχαρίτωτε,
ζωηρῶν μου ναμάτων
ὕδωρ ἐκβλύζειν ζωηρὸν
ποίησον, Δέσποινα.

**Ν**εκρόν με ἁμαρτία,
Θεοτόκε, εἰργάσατο·
ἀλλὰ σὺ τὸν φυτουργόν, κόρη, κυήσασα
τῆς ζωῆς καὶ τροφέα
νενεκρωμένον τῇ φθορᾷ
ῥῦσαι πρεσβείαις σου.

Ὠδὴ ηʹ. Ἀστέκτῳ πυρί.

**Ἀ**γνώμονα νοῦν κεκτημένος
ἄφρονα καρδίαν περιφέρω
ῥαθυμίας, Θεοτόκε, πεπληρωμένην
πρὸς σέ, Θεονύμφευτε,
ἀνατείνω ψυχῆς μου τὰ ὄμματα
μὴ ἀποβδελύξῃ τὴν δέησίν μου ταύτην.

**Ἵ**να τὴν ἀρὰν ἀφανίσῃς,
κόρη Θεοτόκε καὶ Παρθένε,
τὸν φυτουργὸν ἀπεγέννησας καὶ Δεσπότην
τῶν ὅλων, Θεόνυμφε,
διὰ τοῦτο κράζω σοὶ μόνῃ, πανταίνασσα,
ῥῦσαί με κινδύνων μητρῴᾳ σου πρεσβείᾳ.

**Σ**ὲ τὴν καθαρὰν καὶ ἁγίαν
Λόγος καθαρὸς ἐν σοὶ σκηνώσας ἐπ' ἐσχάτων
ἀπειργάσατό σε δοχεῖον,
κόρη, θείου Πνεύματος·
διὰ τοῦτο ῥύπου παθῶν με κάθαρον
ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θʹ. Ἐν νόμῳ σκιᾷ.

**Ἀ**νάνηψον, ὦ παντάλαινα
ψυχή, πρὸ τῆς ἐξόδου σου
καὶ βόησον Κυρίῳ· ὡς Θεὸς
ἱλάσθητι, Χριστέ,
ταῖς ἱκεσίαις, οἰκτίρμον,
τῆς σὲ τεκούσης μητρὸς
καὶ τῶν ἁγίων σου πάντων
καὶ παράσχου μοι συγχώρησιν.



**Ν**έον βρέφος κόρη, φέρουσα
ἀγκάλαις σου τὸν ἄναρχον
ὡς οὖσα πλατυτέρα οὐρανῶν
καὶ πάντων τῶν κτιστῶν
ἁγιωτέρα, Παρθένε,
τοῦτον ἱκέτευε
τοῦ ἐλεῆσαι καὶ σῶσαι
τὰς ψυχὰς τῶν ἀνυμνούντων σε.

**Ὁ** βίος μου ὅλος, ἄχραντε,
ῥαθύμως ἐκτετέλεσται
καὶ ἤγγισα τῷ ᾅδῃ νῦν
τῆς ἀπογνώσεως, ἁγνή,
ἀλλὰ διόρθωσιν δίδου
καὶ μὴ ἐάσῃς με
ἐν τῇ τοιαύτῃ κακώσει
τὸν προσφεύγοντα τῇ σκέπῃ σου.

## 86

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1]

οὗ ἡ ἀκροστιχίς

« ***Ἄδω τρίτον σοι δακρύων γέμον μέλος.*** »

ΠΟΙΗΜΑ ΘΕΟΣΤΗΡΙΚΤΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΣΤΟΥΔΙΤΟΥ

Κῶδ. Θ 66
φ. 189α Λαύρας
354 φ. 56α
Ἐθν. Βιβλ. Παρισίων

***Ἦχος γʹ. Ὠδὴ αʹ. Ὁ τὰ ὕδατα πάλαι.***

**Ἀ**ρδευθῆναι πλουσίως
δάκρυσι δίδου
τὰς αὔλακας τῆς ψυχῆς μου, Παρθένε,
καὶ καρποὺς φέρειν με
ἑκατοστεύοντας,
Δέσποινα, ἀξίωσον
καὶ τὴν καρδίαν μου πάσης
εὐφροσύνης πλήρωσον
ὅπως δοξάζω σε.

**Δ**ιὰ σπλάγχνα ἐλέους,
Δέσποινα πάντων,
ἐλέησον τὴν ἀθλίαν ψυχήν μου
καὶ πυρὸς λύτρωσαι
τοῦ αἰωνίζοντος
καὶ τῆς τῶν δαιμόνων με
ἐπιδρομῆς, Θεοτόκε,
τὸν ὑπὸ τὴν σκέπην σου
νῦν καταφεύγοντα.

**Ὡ**ς ἀμόλυντος οἶκος
τοῦ βασιλέως
τοῖς πάθεσι μολυνθεῖσαν ἀτόποις
τὴν ἐμὴν δέομαι
καρδίαν, κόρη ἁγνή,
κάθαρον πρεσβείαις σου
καὶ καθαρᾶς πολιτείας
ἔργοις καταπλούτισον,
Θεοχαρίτωτε.

**Τ**ί ῥαθύμως τὸν βίον,
ψυχὴ ἀθλία,
παρέρχῃ καὶ οὐ φοβῇ τὴν ἡμέραν
τῆς φρικτῆς κρίσεως;
ἀλλὰ ἀνάστα λοιπὸν
ἐκ τῆς καταπτώσεως
τῆς ῥαθυμίας προθύμως
καὶ θερμῶς νῦν βόησον
σῶσόν με, Δέσποινα.

Ὠδὴ γʹ. Ὁ ἐκ μὴ ὄντων τὰ πάντα.

**Ρ**ῦσαι γεέννης καὶ πάσης ἄλλης ποινῆς
ἐν ὥρᾳ τῆς κρίσεως

1) Εὕρηται καὶ ἐν τῷ Θεοτοκαρίῳ τοῦ Νικοδήμου (σ. 48 ἐκδ. Ἀθηνῶν 1906).

σὸν οἰκέτην, πανάμωμε,
καὶ μέτοχον ποίησον
τῆς τοῦ υἱοῦ καὶ Θεοῦ σου βασιλείας.

**Ἰ**άτρευσόν μου τὰ τραύματα τῆς [ψυχῆς
καὶ τὸ πολυτάραχον
τῶν λογισμῶν κλυδώνιον
Δέσποινα, κατεύνασον,
καὶ εἰρηναίαν κατάστασίν μοι δίδου.

**Τ**αλαιπωρήσας νῦν κατεκάμφθην [δεινῶς
καὶ οὐκ ἔστιν ἴασις
τῇ ψυχῇ μου, πανάμωμε,
ἀλλὰ μὴ εἰς τέλος με
ἐγκαταλίπῃς τὸν δοῦλόν σου.

**Τ**ὸ πρόσωπόν σου τὸ θεῖόν τε καὶ [σεπτὸν
ἐπίφανον δέομαι,
σεμνή, ἐπὶ τὸν δοῦλόν σου
καὶ ποιεῖν με δίδαξον
τὰ δικαιώματα, κόρη, τοῦ υἱοῦ σου.

Ὠδὴ δ'. Ἔθου πρὸς ἡμᾶς.

**Ὅ**ταν ἐν νυκτὶ
ὁ νυμφίος ἔλθῃ τοῦ κρῖναι τὴν γῆν
τότε εἰς ἀπάντησιν αὐτοῦ
μετὰ λαμπρᾶς λαμπάδος εὐδόκησον
ἐξελθεῖν με, πάναγνε, καὶ προσκυνῆσαι
τούτου τὴν ἐπέλευσιν.

**Ν**ὺξ με ἀφεγγὴς
τῶν παθῶν συνέχει τὸν δείλαιον·
ἀλλὰ τῷ φωτί σου, ἀγαθή,
τὰ τῆς ψυχῆς μου νέφη διάλυσον
καὶ πρὸς φῶς ὁδήγησον τῶν προσ- [ταγμάτων
τοῦ Θεοῦ, πανάμωμε.

**Σ**άλῳ πειρασμῶν
καὶ ταῖς τρικυμίαις ποντούμενος
τῶν πονηροτάτων λογισμῶν
καὶ εἰς βυθὸν ἀεὶ καθελκόμενος
τὸν τῆς ἀπογνώσεως σῶσον βοῶ σοι,
Δέσποινα, τὸν δοῦλόν σου.

**Ὅ**ταν τῆς σαρκὸς
ἡ ψυχή μου μέλλῃ χωρίζεσθαι
τότε παραστᾶσα συμπαθῶς
ἐπιδρομῆς δαιμόνων ἐξάρπασον
τῶν ἐπιζητούντων μου ἀδιαλείπτως,
κόρη, τὴν ἀπώλειαν.

Ὠδὴ ε'. Ἐπὶ τῆς γῆς ὁ ἀόρατος.

**Ἴ**δε, ἁγνή,
τὴν ἀσθένειαν ἴδε
τῆς ταπεινῆς
καὶ ἀθλίας ψυχῆς μου
καὶ τῶν ἀσάρκων ἐχθρῶν
τῆς ἐπαναστάσεως
καὶ τῆς τούτων λύμης ῥῦσαί με.

**Δ**αιμονικαῖς
ἐπηρείαις τὸν νοῦν μου
διηνεκῶς
εἰς ἀτόπους ἐννοίας
ὑπεξελκόμενον
μὴ ἐάσῃς, Δέσποινα,
ἀλλὰ στῆσον ἀπερίτρεπτον.

**Ἁ**μαρτωλοῖς
καὶ τελώναις ἐφάνη
ὁ σὸς υἱὸς
διὰ πλῆθος ἐλέους
ὃν μιμουμένη, ἁγνή,
νῦν ἐμὲ οἰκτείρησον
ὑπὲρ πάντας ἁμαρτήσαντα.

Ὠδὴ στ'. Ἄβυσσος ἐσχάτη.

**Κ**ύμασι βυθίζομαι τῶν παθῶν
τῆς ἁμαρτίας καὶ ἡδονῶν ὁ δοῦλός σου,
Θεοτόκε, πρόφθασον
καὶ κυβερνήσει θείᾳ σου
πρὸς λιμένα με
μετανοίας ὁδήγησον.

**Ρ**εῖθρά μοι δακρύων πνευματικῶν
παράσχου, κόρη, ἵνα πλύνω τὸν βόρβορον
τῶν πλημμελημάτων μου
καὶ πρὸς τὸ ὕδωρ ἴθυνον
τῆς ἀνέσεως
ἐν ἡμέρᾳ τῆς κρίσεως.

**Ὕ**πνωσα εἰς θάνατον ψυχικὸν
καὶ ἐν τάφῳ κεῖμαι τῆς ἀπογνώσεως·
ἀλλὰ δίδου χεῖρά μοι



καὶ ἀνάστησον δέομαι
πρὸς μετάνοιαν
καὶ ζωὴν ὁδηγοῦσά με.

**Ὕ**περθεν ἀνῆλθοσαν ἀληθῶς
τῆς κεφαλῆς μου αἱ πολλαὶ ἀνομίαι μου
ὡς βαρὺ φορτίον δὲ
ἐπ' ἐμὲ ἐβαρύνθησαν·
ἀλλ' ἐλάφρυνον
τὸν κλοιόν μου, πανάμωμε.

## ΚΑΘΙΣΜΑ

**Ἦχος γ'. Τὴν ὡραιότητα.**

**Ἅ**πας ὁ βίος μου
ἐν ῥαθυμίᾳ πολλῇ
διῆλθε, πάναγνε,
καὶ νῦν προσήγγισα
τῷ τῆς ἐξόδου μου καιρῷ
καὶ δέδοικα τοὺς ἐχθρούς μου
μὴ διασπαράξωσι
τὴν ψυχήν μου, πανάμωμε,
καὶ τῆς ἀπωλείας με
τῷ βυθῷ παραπέμψωσιν·
ἀλλ' οἴκτειρον τὸν δοῦλόν σου, κόρη,
καὶ ῥῦσαί με τῆς τούτων κακώσεως.

Ὠδὴ ζ'. Τὸ πρὶν εἰκόνι τῇ χρυσῇ.

**Ὡ**ς συμπαθὴς μήτηρ Θεοῦ
τοὺς δούλους σου, Δέσποινα,
συμπαθείας ἀξίωσον
τοὺς ἐν πίστει τῷ σῷ υἱῷ βοῶντας
τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.

**Ν**ομὴν ἀνάστειλον, ἁγνή,
τῶν ἁμαρτημάτων μου
καὶ τῶν βεβήλων πράξεων
ἵνα πίστει τῷ σῷ υἱῷ κραυγάζω
τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.

**Γ**ένος βροτῶν σε δυσωπεῖ,
Θεοτόκε Δέσποινα,
ἐλέησον τοὺς δούλους σου
τοὺς ἐν πίστει τῷ σῷ υἱῷ βοῶντας·
τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.

**Ἐ**πὶ τοῦ βήματος Χριστοῦ
ὅταν μέλλω κρίνεσθαι
ὡς ὑπεύθυνος, ἄχραντε,
φάνηθί μοι ἐκ πάσης με βασάνου
ῥυομένη τῇ θερμῇ σου προστασίᾳ.

Ὠδὴ η'. Ἀστέκτῳ πυρί. 1)

**Μ**ὴ παύσῃ, ἁγνή, δυσωποῦσα
τοὺς ἐν κατανύξει σε τιμῶντας λυτρω- [θῆναι
τῶν παγίδων τοῦ διαβόλου
τὸν υἱόν σου, Δέσποινα,
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Ὅ**τε τοῦ Θεοῦ τῇ προστάξει
μέλλει ἡ ψυχή μου ἐκ τοῦ βίου ἐκδημῆ- [σαι
τῆς παγίδος τῶν θηρευόντων
ἐξάρπασον, ἄχραντε,
σοὶ βοῶντας πάντα τὰ ἔργα ὑμνοῦ- [μέν σε
καὶ μακαριοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

**Ν**ὺξ με ἀφεγγὴς περιέχει·
ἔργοις γὰρ τοῦ σκότους ἐδουλώθην·
ἀλλ' αὐτή με (φωτί σου) φωτὸς ἡ πύλη
καταύγασον ψάλλοντα·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Μ**ετάδος τῆς σῆς συμπαθείας,
Δέσποινα τοῦ κόσμου, δυσωπῶ σε τῷ [σῷ δούλῳ
καὶ βασάνων τῶν αἰωνίων
ἀπάλλαξον ψάλλοντα·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας·

Ὠδὴ θ'. Ἐν νόμῳ σκιᾷ.

**Ἐ**γγίζει, ψυχή, τὸ τέλος
ἐπὶ θύραις τὸ κριτήριον
ἀπόστηθι τῶν ἔργων τῆς αἰσχύνης
καὶ ἐπιλαβοῦ
τῆς ἀγαθῆς πολιτείας·
ἔχεις γὰρ σύμμαχον
τὴν Θεοτόκον ἐκ πάσης
ῥυομένην σε κακώσεως.

1) Ἡ η' ᾠδὴ τηροῦσα τὰ γράμματα τῆς ἀκροστιχίδος εἶνε ὅλως διάφορος τῆς ἐν τῷ Θεοτοκαρίῳ τοῦ Νικοδήμου.

*Λ*ησταῖς νοητοῖς, πανάμωμε,
περιπεσὼν ὁ δείλαιος
ταῖς τούτων μεθοδείαις τὸν χιτῶνα
μου τῆς ἀρετῆς
φρενοβλαβῶς ἐξεδύθην
καὶ ψυχοφθόρων παθῶν
πεπληρωμένος βοῶ σοι·
Θεοτόκε, μὴ παρίδῃς με.

*Ὁ* βίος μου ὅλος, ἄχραντε,
ῥαθύμως ἐκτετέλεσται
καὶ ἤγγισα τῷ ᾅδῃ νῦν
τῆς ἀπογνώσεως·
ἀλλὰ διόρθωσιν δίδου
καὶ μὴ ἐάσῃς με
ἐν τῇ τοιαύτῃ κακώσει
τὸν προσφυγόντα τῇ σκέπῃ σου.

*Σ*αρκὸς τῆς ἐμῆς ἀσθένειαν
καὶ τῆς ψυχῆς τὸ ἄτονον
καρδίας τὴν ὀδύνην καὶ τὰς τοῦ νοός
μου ἐκτροπὰς
σοὶ ἀναθέμενος κράζω·
ἑκάστῳ τούτων, ἁγνή,
δίδου τὴν ἴασιν
ὅπως ἐν αἰνέσει μεγαλύνω σε.

87

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κώδ. 354 φ. 100α
Ἐθν. Βιβλ. Παρισίων
Θ 66 φ. 178α Λαύρας
Ι 67 Λαύρας.

***Ἦχος γʹ. Ὠδὴ αʹ. Ὁ τὰ ὕδατα πάλαι.***

*Σ*ωτηρίας ἀρχηγὸν
καὶ ζωοδότην
κυήσασα ὑπὲρ ἔννοιαν πᾶσαν
τῶν δεσμῶν ἔλυσας
τῆς κατακρίσεως
Εὔαν τὴν προμήτορα
καὶ γεγηθυῖα ἡ κτίσις
πᾶσα μακαρίζει σε,
Θεοκυῆτορ ἁγνή.

*Κ*ακωθέντα τὴν ψυχὴν
χαλεπωτάτοις
νοσήμασι καὶ τὸ σῶμα, Παρθένε,
ἐκ βυθοῦ ἅρπασον
τῆς ἀπογνώσεως
πάντων λυτρουμένη με
τῶν δυσχερῶν, παναγία·
πέφυκας γάρ, ἄχραντε,
τῆς συμπαθείας πηγή.

*Ἐ*ξεδύθην τὴν στολὴν
τῆς εὐφροσύνης
ἐν θλίψει περιπεσὼν καὶ ὀδύνῃ
καὶ δεινῶς πάντοθεν
νῦν τετραυμάτισμαι
πρόφθασον καὶ ῥῦσαί με
τῆς συνεχούσης ἀνάγκης·
σὺ γάρ μου εἶ, Δέσποινα,
καταφυγὴ καὶ ἐλπίς.

*Π*ροστασίαν ἀσφαλῆ
σὲ κεκτημένος,
Θεόνυμφε, τῇ σῇ σκέπῃ προσφεύγω
μὴ παρίδῃς δέομαι
τὸν σὸν οἰκέτην πολλοῖς
πάθεσι τρυχόμενον
καὶ ἀρρωστίαις καὶ λύπαις·
ἀλλὰ ταῖς πρεσβείαις σου
ἴασαι, μῆτερ Θεοῦ.

Ὠδὴ γʹ. Ὁ ἐκ μὴ ὄντων τὰ πάντα.

*Ἐ*ν ἀπορίᾳ καὶ θλίψει ὀδυνηρᾷ
κατέστην ὁ δείλαιος
κατὰ πόδας τὸν θάνατον
ὁρῶν, πανάχραντε,
διὸ σῇ με διάσωσον πρεσβείᾳ.

*Ὅ*λος ὁ βίος κατεφθαρμένος δεινῶς
καὶ ἀσώτοις πράξεσι
κατήγορός μου γίνεται



καὶ τῇ ἀπογνώσει με
καταβυθίζει, ἁγνή, διάσωσόν με.

*Τ*ῶν οἰκτιρμῶν σου ἡ ἄβυσσος παν-
χεομένη, Δέσποινα, [ταχοῦ
διὰ μόνην χρηστότητα
ἐν ἐλαίῳ πίονι
πιαίνει πάντας ἀεὶ τοὺς σὲ ὑμνοῦντας.

*Ὡ*ς ἀπαρχήν σε τῆς φύσεως τῆς ἡμῶν
λαβών, Θεονύμφευτε,
ὁ υἱός σου καὶ Κύριος
οἰκειοῦται ἅπαντας
διὰ πρεσβείας τῆς σῆς τοὺς σὲ ἀνυ-
[μνοῦντας.

Ὠδὴ δʹ. Ἔθου πρὸς ἡμᾶς.

*Ὅ*λην ἐπὶ σοὶ
τὴν ἐλπίδα θέμενος, Δέσποινα,
δέομαι προσπίπτων ἐκ ψυχῆς
θανατηφόρου ῥῦσαι νοσήματος
πρὸς ζωὴν ἀνάγουσα τῆς σωτηρίας
ἡ ζωὴν κυήσασα.

*Ἴ*ασαι, ἁγνή,
τὸν ἀπεγνωσμένον οἰκέτην σου
τῇ ἐπαλληλίᾳ τῶν δεινῶν
καὶ φθαρτικῶν μαλώπων πρεσβείαις
[σου·
ἰατρὸν γὰρ τέτοκας τὸν ἐν ἐλέει
πλούσιον Θεὸν ἡμῶν.

*Π*άθει χαλεπῷ
περιπεπτωκότα με λύτρωσαι
καὶ τῆς εὐφροσύνης τὴν στολὴν
ἐπισκοπῇ σου θείᾳ παράσχου μοι
ἡ τὴν ὑπερέχουσαν χαρὰν, Παρθένε,
πάντα νοῦν βλαστήσασα.

*Ἄ*λλος οὐρανός,
Θεοτόκε, ὤφθης τὸν ἥλιον
τῆς δικαιοσύνης ἀφράστως
ἐπὶ τῆς γῆς, ἁγνή, ἀνατείλασα
δι' οὗ ἡμῖν ἔλαμψε θεογνωσίας
φῶς τὸ ὑπερούσιον.

Ὠδὴ εʹ. Πρὸς σὲ ὀρθρίζω.

*Ν*εκροποιοῦντι
πάθει πελάσας ἐξ ἐμῶν
ἁμαρτημάτων, μῆτερ Θεοῦ, ἀμέτρων
σὲ λυτρωτὴν τῶν πολλῶν κακῶν μου
γενέσθαι δυσωπῶ ἐκτενῶς.

*Τ*ὰς ψυχικάς μου
χεῖρας ἐκτείνω σοι, ἁγνή,
τὰς σαρκικὰς γὰρ ἐκλέλυμαι ὁ τάλας
σὺ ἀλγεινῶν ἐκ πολλῶν με ῥῦσαι
βραβεύουσα τὴν ἴασιν.

*Ἀ*πεξεδύθην
τὸν τῆς ὑγείας στολισμὸν
καὶ τὸν πενθήρη χιτῶνα ἐν ὀδύναις
περιβαλὼν σὲ αἰτοῦμαι, Δέσποινα,
ἐνδύσασθαι τὴν ἴασιν.

*Ὡ*ς τῶν μαρτύρων
καὶ ἀποστόλων ἱερῶν
οὖσαν εὐπρέπειαν, Θεοτόκε,
καὶ τῶν πιστῶν προστασίαν πάντες
ἀξίως σε δοξάζομεν.

Ὠδὴ ϛʹ. Βυθὸς μοι τῶν παθῶν.

*Ἐ*ν ἔργῳ καὶ ἐν λόγῳ καὶ πράξει
οὐκ ἔστι πονηρῶς βιοτεύσας
ὥσπερ ἐγὼ ἐπὶ γῆς·
ὅθεν τὴν σὴν αἰτῶ, Δέσποινα,
φιλανθρωπίαν τυχεῖν τοῦ ἐλέους.

*Α*ἱ πράξεις τῶν ἀθέσμων πταισμάτων
τὰς λύπας ἀποτίκτουσι πάντων
ὅθεν πικροῖς πειρασμοῖς
κρατούμεθα νῦν βοήθει ἡμῖν
ἡ μόνη χριστιανῶν σωτηρία.

*Κ*αὶ τίκτεις καὶ ἁγνὴ μετὰ τόκον
ἐδείχθης, Θεοτόκε Παρθένε,
ὅθεν δυσωπεῖ τὸν σὸν
τόκον ἀεὶ ἵνα ῥυσθῶμεν ἐκ πάσης
βλάβης ἐχθρῶν οἱ σοὶ δοῦλοι.

*Π*ρεσβείαις τῆς ἀχράντου μητρός σου
καὶ πάντων προφητῶν καὶ μαρτύρων
καὶ ἱερῶν μαθητῶν,
Λόγε Θεοῦ, παράσχου ἡμῖν
εἰρήνην καὶ ἱλασμὸν τῶν πταισμά-
[των.

Ὠδὴ ζ'. Ὡς πάλαι τοὺς εὐσεβεῖς.

***Σ***ὲ τὴν μητέρα τοῦ Θεοῦ
καὶ ἁγνὴν καὶ ἄμωμον
ὁ ῥυπαρὸς σῶμα καὶ ψυχὴν
καὶ μεμολυσμένος ἐν πράξεσιν αἰσχραῖς
ἱκετεύων δέομαι
θαρρῶν εἰς τὸ ἔλεός σου
οἴκτειρόν με, Δέσποινα.

***Ἡ*** τῶν πταισμάτων μου πληθὺς
κακῶν ἐπίτασις
ἐξαπορεῖν πείθει με σφοδρῶς
καὶ πρὸς ἀπογνώσεως ἄγει με βυθόν,
παναγία Δέσποινα,
σῶσόν με ἀπολλύμενον
καὶ δεινῶς κινδυνεύοντα.

***Σ***πλαγχνίσθητι ἐπ' ἐμοί,
Παρθένε Θεόνυμφε,
εἰς ἀπογνώσεως γὰρ βυθὸν
καταλισθηκὼς σὲ γαλήνην αἰτοῦμαι
γενέσθαι μοι, ἄχραντε,
τῆς σωτηρίας πέφυκας
λιμὴν γὰρ τῶν ἐν ἀνάγκαις ἀεί.

***Ἰ***λύος τῆς τῶν παθῶν
καὶ βυθοῦ τῶν θλίψεων
καὶ πειρασμῶν τῶν βιωτικῶν
ἕλκυσον ἡμᾶς πρὸς ἀπάθειαν, ἁγνή,
καὶ χαρὰν εὐφρόσυνον,
εὐλογημένη, κράζοντας
σὺ ἡ μόνη θεόνυμφος.

Ὠδὴ η'. Τὸν ἐν φλογὶ τοῖς παισί.

***Τ***ῶν ἡδονῶν ὁ ἰὸς τὰς αἰσθήσεις
πάσας τοῦ σώματος διελθὼν τὴν ψυχήν
ἐκτόπως λυμαίνεται [μου
καὶ εἰς θάνατον κατάγει,
Δέσποινα τοῦ κόσμου,
γενοῦ μοι σωτηρία.

***Σ***οὶ καὶ ψυχὴν καὶ καρδίαν καὶ σῶμα
προσανατίθημι· οὐ γὰρ ἔχω ἐλπίδα
[ἄλλην
πλήν σου, Δέσποινα,
δι' ἧς τύχω ἐλέους·
διό μοι παράσχου
πλουσίως τὴν σὴν χάριν.

***Ὁ*** ὄφις με τὸν ἰὸν προσεμπτύσας
τῆς σαρκικῆς ἡδονῆς τὴν ἀθλίαν μου
δεινῶς ἐθανάτωσεν· [ψυχὴν
ἀλλὰ ζώωσον ταύτην
τοῖς ἀντιφαρμάκοις
ἁγνή, τῆς σῆς πρεσβείας.

***Ἡ*** τὸν Θεὸν καὶ σωτῆρα τεκοῦσα
τὸν εἰρηνάρχην τὴν εἰρήνην τῷ κόσμῳ
αὐτὸν καθικέτευε
ἀποστεῖλαι ἐν τάχει
ὅπως ἐν εἰρήνῃ
αὐτὸν δοξολογῶμεν.

Ὠδὴ θ'. Τὴν ἐν βάτῳ καὶ πυρί.

***Ὦ*** Παρθένε ἀγαθή,
ὦ τοῦ κόσμου ἡ χαρὰ
καὶ καταφύγιον, ὦ
συντήρησις τῶν πιστῶν
καὶ λύτρωσις τῶν θλίψεων
σὺ παράστηθι ἐν ὥρᾳ τοῦ θανάτου
καὶ ῥῦσαί με τῶν δαιμόνων
τῶν ἐπιζητούντων τοῦ καταφθεῖραί με.

***Ὡ***ς τὸν κτίστην καὶ Θεὸν
συλλαβοῦσα ἐν γαστρί,
Παρθενομῆτορ ἁγνή,
τῇ δυνάμει τῇ ἐν σοὶ
κατάβαλε δαιμόνων ὀφρὺν
καὶ ἀνύψωσον τὸ κέρας τῶν ὑμνούντων
τὸ κράτος σου τὸ θεῖον
καὶ πίστει προσκυνούντων τὸν χαρα-
[κτῆρά σου.

***Ν***εουργήσας τὴν ἡμῶν
ὁ ἐκ σοῦ σωματωθεὶς
φύσιν, Παρθένε ἁγνή,
νεουργεῖ καὶ καινουργεῖ
μητρῴᾳ ἱκεσίᾳ σου
τοὺς ἀλάφωτον καὶ ἄγρυπνον προστάτιν
καὶ ὄντως Θεοτόκον
ἐν ὕμνοις ἀπαύστως σὲ μεγαλύνοντας.

***Σ***ὺ ἀγγέλων χαρμονὴ
σὺ δικαίων καλλονὴ
σὺ τῶν πιστῶν ἡ ἐλπὶς
σὺ συντήρησις ἡμῶν
σὺ σκέπη τῶν ψυχῶν ἡμῶν
σὺ γέφυρα ἡ πρὸς ζωὴν ἀγήρω
μετάγουσα τοὺς πίστει
καὶ πόθῳ μεγαλύνοντας.



# 88

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κῶδ. Ι 67 Λαύρας.
354 φ. 283
Ἐθν. Βιβλ. Παρισίων

**Ἦχος γ'. Ὠδὴ α'. Ὁ τὰ ὕδατα πάλαι.**

***Ὡ***ς μητέρα Θεοῦ σε
Πνεύματι θείῳ
πατρός τε ἐν εὐδοκίᾳ τεχθεῖσιν
οἱ πιστοὶ ᾄσμασιν
ἁγνείας στέφομεν,
ἄχραντε Θεόνυμφε,
καὶ χαιρετίζομεν ὕμνοις
σὺν τῷ ἀρχαγγέλῳ
εἰς σωτηρίαν ἡμῶν.

***Ἐ***κ πλευρᾶς τοῦ Ἀδὰμ μὲν
δημιουργεῖται
ἡ Εὔα τῷ παλαιῷ θεοπλάστως
ἐκ γαστρὸς ὤφθη δὲ
τῆς Θεοτόκου Χριστὸς
οὗτος ὁ Θεὸς ἡμῶν
ἐνανθρωπήσας ἀτρέπτως
πρόσφατος ἐγένετο
ὁ προαιώνιος.

***Ὁ*** τῆς Εὔας τὴν νηδὺν
καταδικάσας
ἐν λύπαις τίκτειν καρπὸν καὶ ὀδύναις
ἐν γαστρὶ ᾤκησε
τῇ σῇ, Παρθένε ἁγνή,
οὗτος ὁ Θεὸς ἡμῶν
σωματικῶς ὑπὲρ λόγον
καὶ τὸ τῆς προμήτορος
λέλυκεν ὄφλημα.

***Ἀ***πογνώσεως βυθῷ
περιπεσόντες
ταῖς αὔραις τῶν πονηρῶν ἐγκλημάτων
ἐκτενῶς κράζομεν,
Θεογεννῆτορ, πρὸς σέ,
Δέσποινα, βοήθησον
τοῖς κινδυνεύουσιν ἔργοις
σὲ γὰρ μόνην ἔχομεν
ἐλπίδα μετὰ Θεόν.

Ὠδὴ γ'. Ὁ ἐκ μὴ ὄντων τὰ πάντα.

***Σ***ὲ προεδήλου ἡ ῥάβδος τοῦ Ἀαρὼν
ἀνίκμως βλαστήσασα
τὴν ἀσπόρως κυήσασαν,
Θεοτόκε ἄχραντε,
τὸν σαρκωθέντα Θεὸν ἀναλλοιώτως.

***Τ***ὸ θεῖον πῦρ σε βαστάζουσαν προσφυῶς
ὡς πυρίον, ἄχραντε,
ὁ προφήτης ἐν πνεύματι
εὐωδίαν φέρουσαν
τοῖς ἐν τῷ κόσμῳ ζωῆς τῆς αἰωνίου.

***Τ***ῷ ἀρχαγγέλῳ συνέλθωμεν Γαβριὴλ
τὸ χαῖρε φθεγγόμενοι
τῇ Παρθένῳ ἐν ᾄσμασι·
δι' αὐτῆς γὰρ λέλυται
τῆς κατακρίσεως ἡ πρὶν κατάρα.

***Σ***έ, παναγία, ὡς τεῖχος ἁμαρτωλοὶ
σωτήριον ἔχοντες,
Θεοτόκε, σωζόμεθα·
μὴ παρίδῃς, Δέσποινα,
μὴ καταισχύνῃς ἡμῶν τὰς ἱκεσίας.

Ὠδὴ δ'. Ἦλθον πρὸς ἡμᾶς.

***Ὄ***ρος νοητὸν
ἀρεταῖς κατάσκιον πνεύματι
πάλαι Ἀββακοὺμ θεοπτικῶς
σὲ κατιδὼν ἐκήρυττεν, ἄχραντε,
Θαιμὰν ὥσπερ ἥξοντα ἐκ σοῦ τὸν
σάρκα προσληψόμενον. [Λόγον

***Ὄ***ρος σε τρανοῖ
Δανιὴλ ἀλάξευτον πνεύματι
τὸ ἀκαινοτόμητον δηλῶν
τῆς ἀκραιφνοῦς ἁγνείας, Δέσποινα,
ἐξ οὗ λίθος τέτμηται Χριστὸς ὁ Λόγος
πλάνης καθελὼν τοὺς βωμούς.

**Ὄ**ρος σε Δαυίδ
θαυμαστὸν καὶ θεῖον προέφησεν·
ὁ μονογενὴς γὰρ τοῦ πατρὸς
υἱὸς ἐν σοὶ εὐδόκησεν, ἄχραντε,
οἰκῆσαι σαρκούμενος· διό σοι χαῖρε
πνεύματι κραυγάζομεν.

**Ὅ**λη ἀγαθὴ
καὶ θερμὴ προστάτις ὑπάρχουσα
τῶν ἁμαρτωλῶν καὶ ταπεινῶν,
Θεογεννῆτορ ἄχραντε Δέσποινα,
κινδύνων καὶ θλίψεων καὶ ἁμαρτίας
σῶζε τοὺς οἰκέτας σου.

Ὠδὴ ε'. Ὡς εἶδεν Ἠσαΐας.

**Ἐ**βλάστησεν ἡ ῥάβδος τοῦ Ἰεσσαὶ
τὸ ἄνθος τὸ ἀκήρατον,
παρθένε Μαρία, Θεὸν τὸν ἄναρχον
ἀσπόρως ἐκ Πνεύματος θείου
καὶ πατρῴᾳ βασιλείᾳ κραταιῶς
ἐθνῶν κυριεύσας
ἐπ' αὐτῷ ἔθνη ἤλπισαν.

**Ὁ** ἄρχων τῆς εἰρήνης ἐπὶ τὸν θρόνον
ἧκε βασιλεύσων Δαυὶδ
ἐκ σοῦ, Θεοτόκε, Θεὸς σαρκούμενος·
ὢ θαῦμα! καὶ πόλεμον λύσας
ἐπρονόμευσε τοὺς ἄρχοντας Μωὰβ
καὶ σὲ τὴν τεκοῦσαν
βασιλίδα ἀνέδειξεν.

**Τ**ὸ ἄμωμόν σε κάλλος ἐξ οὗ Χριστὸς
τὴν σάρκα ἀνεδύσατο
ἀσπόρως, Παρθένε, ὁ Ἠσαΐας δηλῶν
τῆς δόξης ὁ Κύριος κράζει
ἐν νεφέλῃ κούφῃ ἔρχεται βοῶν
καὶ πλάνης τὸ σκότος
ἐκδιώκει φωτίζων ἡμᾶς.

**Ἐ**κ Πνεύματος ἁγίου συνειληφυῖα
Λόγον ὁμοούσιον τοῦ πατρός,
Παρθένε, τοῦτον γεγέννηκας
ἐν δυσὶ ταῖς φύσεσιν ὄντα
Θεὸν τέλειον καὶ τέλειον βροτὸν
οὗ πίστει τιμῶμεν
τῆς σαρκὸς τὴν ἐμφέρειαν.

Ὠδὴ στ'. Ἄβυσσος ἐσχάτη.

**Ὅ**λην σε τοῖς ᾄσμασιν ὁ σοφὸς
προγράφει, πανύμνητε, ἐν ᾗ ἐπανεπαύσατο
ὁ Θεὸς σαρκούμενος
ἐνυποστάτως ἐκ σοῦ
καὶ δοξάζει σε
ἀσυγχύτως τικτόμενος.

**Γ**έγονας τοῦ Λόγου ὡς ἐκλεκτή,
Παρθένε πανύμνητε, ἐκλεκτὸν ἐνδιαίτημα·
ὡς πορφύραν θείαν γὰρ
ἐκ σοῦ τὴν σάρκα λαβὼν
ἐβασίλευσεν
εὐπρεπῶς ἐνδυσάμενος.

**Π**έφυκας ἑνώσεως θεϊκῆς
χωρίον, Θεόνυμφε, χρυσίου τιμαλφέστερον·
διὰ σοῦ γὰρ γέγονε
Θεὸς ὡς ἄνθρωπος
καὶ ὡμίλησεν
τοῖς ἀνθρώποις Θεὸς ὡς βροτός.

**Ν**έκρωσον τῶν ἀσεβούντων εἰς σέ,
Παρθένε πανύμνητε, τῆς κακίας τὴν αἵρεσιν
ὅτι φθόνῳ τήκονται,
δεδοξασμένη,
σοῦ κατοπτεύοντες
τῆς μορφῆς τὴν ἐμφέρειαν.

Ὠδὴ ζ'. Τὸ πρὶν εἰκόνι τῇ χρυσῇ.

**Β**άτος καὶ φλὸξ συμβολικῶς
συμπλακέντα ἄφθορα
ἑκάτερα δεικνύμενα
σέ, Παρθένε, σαφῶς διατρανοῦσι·
καὶ γὰρ τέτοκας Θεὸν σεσαρκωμένον.

**Π**όκος καὶ ὄμβρος Γεδεὼν
ἐναλλὰξ τυπούμενα
τὸν τόκον σου προγράφουσι,
σὺ γὰρ μόνη τὸν θεῖον Λόγον
φέρεις ἐν γαστρὶ ὡς ὑετόν, Παρθενομῆτορ.

**Τ**ῆς ἁμαρτίας μου τὸ πῦρ
τῆς γεέννης πλείονα



τὴν φλόγα ἀπεργάζεται
ταύτην σβέσον, ἁγνή, τῷ σῷ ἐλέει
μετανοίας με πρὸς φῶς καθοδηγοῦσα.

**Τ**ῆς σῆς μορφῆς τὸ ἐμφανές,
Θεοτόκε ἄχραντε,
τιμῶντες τὸ πρωτότυπον
σὲ προστάτιν ἐγγυητὴν καὶ σκέπην
εὐμενῶς πρὸς τὸν Θεὸν ἔχομεν πάντες.

Ὠδὴ η'. Βαβυλωνία κάμινος.

**Σ**ὲ ὁ πατὴρ ἡρέτισε
νύμφην ἀπειρόγαμον
κρίνον ὡς πολύευκτον ἀκανθῶν
ἀνὰ μέσον εὑρὼν
στιλπνότητι τοῦ κάλλους ἐναπαστράπτουσαν
διὰ Πνεύματος θείου υἱοῦ πρὸς κατοίκησιν.

**Ἁ**γιωτέρα πέφυκας
τῶν ἄνω δυνάμεων,
Παρθένε πανάμωμε,
ἀσυγκρίτῳ τῇ δόξῃ σαφῶς·
τὸν ποιητὴν γὰρ τούτων ἐκυοφόρησας
ἀσυγχύτῳ ἑνώσει τὴν σάρκα λαβόντα ἐκ σοῦ.

**Τ**ὴν παρθενίαν ἄσυλον,
Παρθένε, φυλάξασα
μήτηρ ἀναδέδειξαι
τοῦ υἱοῦ τοῦ Θεοῦ ἀληθῶς
πατρὸς ἐν εὐδοκίᾳ νύμφη ὑπάρξασα
καὶ δοχεῖον ἐν δόξῃ τοῦ Πνεύματος ἄφθαρτον.

**Ὁ** ὑπὲρ φύσιν ἄϋλος
Θεὸς ἀνείδεος
ἁπλοῦς καὶ ἀσύνθετος
ὑπὲρ φύσιν γεννᾶται βροτὸς
Παρθένου ἐξ ἁγίας διπλοῦς ὁρώμενος
ἐν μιᾷ ὑποστάσει ἐν ᾗ καθορᾶται γραφαῖς.

Ὠδὴ θ'. Καινὸν τὸ θαῦμα.

**Ἁ**γίας ῥίζης ἅγιος καρπός·
διὰ στείρας γὰρ ἡγιασμένης νόμῳ
Θεοῦ καὶ πατρὸς ἀκήρατον
ζωὴν τελοῦντος
ἡ Θεοτόκος κόρη ἀνεβλάστησε
καὶ χαίρει ἡ Ἄννα δεξαμένη
παῖδα ἐν γήρει
τὴν Θεομήτορα μεγαλύνομεν.

**Κ**αινὸς ὁ τόκος καὶ θεοειδὴς
τῆς ἁγίας σου καὶ θεοφόρου μήτρας,
ἁγνή· ἐν αὐτῇ γὰρ γέγραπται
μορφῇ ἀνθρώπου
τῷ τοῦ πατρὸς δακτύλῳ ὁ υἱὸς σαρκωθεὶς
ἅγιος ἐν Πνεύματι ἁγίῳ
ὃν ἀσυγχύτως
ὡς Θεὸν ἅπαντες μεγαλύνομεν.

**Β**οᾷ ἡ κρίσις πᾶσα κατ' ἐμοῦ·
ἡ τῶν ἔργων γὰρ τῆς ἁμαρτίας πρᾶξις δεινὴ
τὴν ζωὴν ἐργάζεται
ἐμοὶ ἀπειλοῦσαν·
ψυχὴ γὰρ πᾶσα οἶδεν οἷα πείσεται
καὶ φρίττει τὴν φλόγα τῆς γεέννης
ἧς με πρὸ τέλους
ταῖς ἱκεσίαις σου ῥῦσαι, Δέσποινα.

**Σ**ὺν τόκῳ ὤφθης ἄφθορος, ἁγνή,
ἀσυγχύτως γὰρ τὸν κτίστην πάντων σαρκὶ
Θεὸν τέτοκας, πανάμωμε,
βροτὸν ὑπὲρ φύσιν
τῆς πατρικῆς οὐσίας μὴ ἐκστάντα αὐτὸν
καὶ αὖθις διέμεινας Παρθένος
Πνεύματι θείῳ·
διὸ δοξάζων σε τὴν ᾠδὴν ἐκπληρῶ.

# 89
# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τῇ η' καὶ θ' ᾠδῇ « *Ἰωάννης Θ.* »

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΘΗΚΑΡΑ

Κώδ. Ι 39
Λαύρας.

***Ἦχος γ'. Ὠδὴ α'. Ὁ τὰ ὕδατα πάλαι.***

**Ἀ**ληθῆ Θεοτόκον
σὲ ἐγνωκότες
οἱ δοῦλοί σου, Θεομῆτορ Παρθένε,
ἀληθῶς κράζομεν
ἐν εὐχαρίστοις φωναῖς
χαῖρε ἡ τὰ πέρατα
τῷ παραδόξῳ σου τόκῳ
πάντα καταλάμψασα
χαῖρε πανάμωμε.

**Π**ολυώνυμε κόρη
χαῖρε Παρθένε
ἡ κόσμον τῇ ὑπὲρ νοῦν σου κυήσει
ἐκ βυθοῦ σώσασα
τῆς πλάνης, ἄχραντε,
χαίροις ὑπερθαύμαστε·
χαῖρε ἀνύμφευτε κόρη·
χαῖρε ἀπειρόγαμε·
χαῖρε πανύμνητε.

**Δ**ιαπλέων τοῦ βίου
σκάφει καθάπερ
τὸ πέλαγος τῶν κακῶν μου τὰ πλήθη
ἐννοῶν, Δέσποτα,
βῆμα τὸν σὸν καὶ φρικτὸν
τρέμω καὶ ἐξίσταμαι·
ἀλλ' ὡς οἰκτίρμων με σῶσον
ταῖς τῆς ὑπεράγνου σου
μητρὸς δεήσεσιν.

**Ἀ**πὸ πάσης ἀνάγκης
θλίψεως καὶ νόσου
κακίας καὶ συμφορῶν με τοῦ βίου
καὶ πειρασμῶν λύτρωσαι,
Θεοχαρίτωτε,
καὶ μὴ ἀπορρίψῃς με
σοῦ ἐκ προσώπου τοῦ θείου
τὸν ἀχρεῖον δοῦλόν σου
ὅπως δοξάζω σε.

Ὠδὴ γ'. Ὁ ἐκ μὴ ὄντων.

**Σ**τάμνον τοῦ μάννα τοῦ νοητοῦ σε,
γινώσκοντες κράζομεν [ἁγνή,
ἀσιγήτως τὸ χαῖρέ σοι,
παναγία Δέσποινα,
χαῖρε πιστῶν ἀσφαλὴς φρουρὰ καὶ
[σκέπη.

**Λ**υχνίαν ὄντως ἑπτάφωτον οἱ πιστοὶ
σὲ γνόντες ἀνύμφευτε
χαρμοσύνως κραυγάζομεν·
χαῖρε πάντων Δέσποινα·
χαῖρε βροτῶν πρὸς Θεὸν θεία μεσίτις.

**Μ**ὴ ἀπορρίψῃς ἀπὸ προσώπου τοῦ σοῦ
ἐμὲ τὸν ἀνάξιον
καὶ ταλαίπωρον δοῦλόν σου,
παναγία Δέσποινα,
μή με κινδύνων βυθὸς κατακαλύψῃ.

**Ὥ**σπερ ἡ πόρνη προσπίπτω σοι, βα-
αἰτῶν σοι συγχώρησιν [σιλεῦ,
τῶν πολλῶν ἐγκλημάτων μου
μὴ οὖν ἀποπέμψῃς με
ταῖς τῆς μητρός σου λιταῖς, οἰκτίρμον
[Λόγε.

Ὠδὴ δ'. Ἔθου πρὸς ἡμᾶς.

**Χ**αῖρε μυστικὴ
ζωηφόρε τράπεζα, Δέσποινα,
ἄρτον τὸν οὐράνιον Χριστὸν



ἐν μέσῳ φέρουσα, ἄμωμε,
ἐξ οὗ οἱ μετέχοντες ζωῆς ἀρρήτου
καὶ χαρᾶς πληρούμεθα.

**Χ**αῖρε κιβωτὲ
χρυσωθεῖσα ὄντως τῷ Πνεύματι
ἡ κατακλυσμοῦ τοῦ νοητοῦ
τὴν οἰκουμένην σώσασα, Δέσποινα,
καὶ ῥύπον ἐκπλύνασα τῆς ἁμαρτίας
χαῖρε Θεόνυμφε.

**Ἄ**γονε ψυχὴ
τί βραδύνεις μάτην καθεύδουσα
πρόσπεσον μητρὶ τοῦ λυτρωτοῦ
καὶ στεναγμοὺς ἐκ βάθους κατάπεμψον
ὧν περ ἐπλημμέλησας λύσιν αἰτοῦσα
ἀθεμίτων πράξεων.

**Θ**ρήνησον ψυχὴ
ἐννοῶν τὰ ἄμετρα πταίσματα
ἅπερ ἐπλημμέλησας ἐν γῇ
καὶ τῇ μητρὶ τοῦ κτίστου σου βόησον,
πανύμνητε Δέσποινα, ταῖς μητρικαῖς
σῶσόν με δεήσεσιν. [σου

Ὠδὴ ε'. Ἐπὶ τῆς γῆς ὁ ὀφθεὶς.

**Χ**αῖρε σκηνὴ
πλατυτέρα νεφέλης
τὸ χρυσαυγὲς
τοῦ ὑψίστου δοχεῖον·
χαῖρε πανύμνητε·
χαῖρε φῶς ἐκλάμψασα
τοῖς ἐν κόσμῳ, ἀειπάρθενε.

**Χ**αῖρε πιστῶν
ἀκλινέστατον τεῖχος
ἡ κραταιὰ
τοῦ κόσμου προστασία·
χαῖρε πανάσπιλε·
χαῖρε πάντων ἄνασσα
τῶν ὑμνούντων σε, Θεόνυμφε.

**Π**ολυειδῶν
συμφορῶν καὶ κινδύνων
καὶ θλίψεων
τὸν νοῦν μου κατεχόντων
ῥῦσαί με δέομαι,
παναγία Δέσποινα,
τὸν πανάθλιον οἰκέτην σου.

**Ο**ἴμοι ψυχὴ
παναθλία πῶς μέλλεις
τῷ φοβερῷ
δικαστῇ παραστῆναι
οἷς ἐπλημμέλησας
σπεῦσον οὖν ἀνάνηψον
καὶ πρὸ τέλους μετανόησον.

Ὠδὴ στ'. Ἄβυσσος ἐσχάτη.

**Ὄ**ρος σε κατάσκιον καὶ δασὺ
προεῖδε πάλαι ὁ προφήτης λαμπόμενος
τῷ ἁγίῳ Πνεύματι,
Παρθενομῆτορ ἄχραντε·
διὸ χαῖρέ σοι
χαρμοσύνως κραυγάζομεν.

**Χ**αῖρέ σοι προθύμως τοῦ Γαβριὴλ
πᾶς ὁ λαός σου γεγηθότες κραυγάζομεν,
Θεοτόκε Δέσποινα,
χαῖρε αὐγὴ πολύφωτε
ἡ τὸν ἥλιον
τοῖς πιστοῖς ἀνατείλασα.

**Ἄ**βυσσος ἀμέτρων με συμφορῶν
συνέχει ὅλον καὶ ἐκλείπει τὸ πνεῦμά μου,
παναγία Δέσποινα,
ὡς ἀγαθὴ διάσωσον
καὶ ὁδήγησον
πρὸς λιμένα γαλήνιον.

**Ἔ**κκοψον ἐχθρῶν τὰς ἐπιβουλὰς
τῶν πολεμούντων, Θευμῆτορ, τὸν δοῦ-
παρρησίαν ἔχουσα [λόν σου
πρὸς τὸν υἱόν σου, Δέσποινα,
καὶ ἀνίκητον
τὴν ἰσχὺν ἡμῖν δώρησαι.

## ΚΑΘΙΣΜΑ

***Ἦχος γ'. Τὴν ὡραιότητα.***

**Τ**ῆς συμπαθείας σου
πλοῦτον τὸν ἄμετρον
καὶ δυναστείας σου
κράτος τὸ ἄμαχον
ἀναλαβόμενος εἰς νοῦν
προσέδραμον τῇ σκέπῃ σου
θλίψει συνεχόμενος

καὶ δεινῶς ἀπορούμενος
κράζων ἐκ βαθέων μου
τῆς καρδίας σὺν δάκρυσι,
Παρθένε Θεοτόκε, βοήθει μοι
ἡ μόνη τοῦ κόσμου προστασία.

Ὠδὴ ζ'. Σὲ τὸν ἐν πυρὶ δροσίσαντα.

**Χ**αίροις οἰκουμένης καύχημα,
ἁγνὴ Θεογεννήτρια,
χαῖρε τὸ κράτος βασιλέων καὶ διά-
[δημα·
χαῖρε τεῖχος καὶ σκέπη
τῶν πιστῶς μελῳδούντων
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

**Χ**αῖρε τῶν παρθένων καύχημα
μητέρων ἐγκαλλώπισμα
χαῖρε πλοῦτε κενωμένων ἀναφαίρετε·
χαῖρε κράτος καὶ δόξα
τῶν πιστῶς ἐκβοώντων
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

**Κ**λαίω καὶ θρηνῶ καὶ δέδοικα
τῶν πειρασμῶν τὴν κάμινον
ὑψουμένην κατ' ἐμοῦ ὁρῶν ὁ ἄθλιος
ἀλλὰ σβέσον μοι ταύτην,
Παναγία Παρθένε,
τῷ δροσισμῷ σου
τοῦ ἐλέους, παναμώμητε.

**Ρ**είθρῳ ρυπτικῷ σου κάθαρον,
ἁγνὴ Θεογεννήτρια,
τὴν ψυχήν μου ρυπωθεῖσαν ἁμαρτή-
τοῖς ἀτόποις, Παρθένε,
[μασι
ἵνα πίστει σοι μέλψω
εὐλογημένη ἡ Θεὸν
σαρκὶ κυήσασα.

Ὠδὴ η'. Ἀστέκτῳ πυρί.

**Ἵ**να σοι πιστοὶ εὐχαρίστως
χαῖρε ἐκβοήσωμεν, Παρθένε,
ρῦσαι πάσης ἁμαρτίας ἡμᾶς καὶ ζάλης
πάσης περιστάσεως
καὶ ἀνάγκης πάσης συμφορᾶς καὶ
[θλίψεως
καὶ τῆς τῶν βαρβάρων δεινῆς ἐπικρα-
[τείας.

**Ὡ**ς ὄντως φρικτόν σου τὸ θαῦμα
πῶς καὶ μετὰ τόκον παρθενεύεις, Θεο-
[μῆτορ,
ὁ πάντων κτίστης ὡς οἶδε μόνος
ὁ πατρὶ καὶ Πνεύματι
συνανάρχων πάντων πρὸ αἰώνων,
[Δέσποινα,
σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

**Ἀ**θλίον τὸν ἄθλιον ρῦσαι,
Δέσποινα, παθῶν καὶ συμφορῶν με ὡς
[οἰκτίρμων
καὶ κινδύνων καὶ πάσης νόσου
πάσης κατακρίσεως
καὶ ἀνάγκης πάσης βλάβης τε καὶ
[θλίψεως
πάσης ἁμαρτίας ὀργῆς θυμοῦ καὶ ζήλου.

**Ν**αόν με λῃστῶν γεγονότα
ὅλον καὶ τυφθέντα ἀμειλίκτως ὑπ' ἐκεί-
[νων,
πανάγία, καὶ συντριβέντα,
Δέσποινα, καινούργησον
ἡ φθαρεῖσαν φύσιν τῶν βροτῶν και-
[νίσασα
τῷ ὑπερφυεῖ σου καὶ παραδόξῳ τόκῳ.

Ὠδὴ θ'. Καινὸν τὸ θαῦμα.

**Ν**αὸς ἐγένου ἅγιος, ἁγνή,
τοῦ ἁγίου τῶν ἁγίων καὶ τῶν ὅλων
διὸ χαῖρε πάντες σοι
[Θεοῦ·
πιστῶς μελῳδοῦμεν
οἱ σεσωσμένοι, κόρη, τῇ κυήσει σου
τὸ καύχημα χαῖρε τῶν δικαίων·
χαῖρε δοχεῖον
φωτὸς ἀειζώου, παναμώμητε.

**Ἡ** θεία πύλη χαῖρε τῆς ζωῆς
κεκλεισμένην ἣν διεφυλάξατο διελθὼν
ὁ τῷ πατρὶ συνάναρχος
υἱός, Θεομῆτορ,
χαῖρε τὸ κλέος πάντων τῶν τιμώντων
ἡ μόνη τοῦ κόσμου σωτηρία·
[σε
χαῖρε Θεοῦ
καθαρὸν ἐνδιαίτημα, πανάχραντε.

**Σ**ύ μου προστάτις σὺ καὶ χαρμονὴ
σὺ προπύργιον καὶ εὐεργέτις πέλεις,
[ἁγνή,



καὶ σὺ ρῦσαι δέομαι ἐκ πάσης
ἐπηρείας καὶ νόσου
καὶ κακούργων ἐχθρῶν
ὀργῆς τε καὶ ζάλης θανατηφόρου
καὶ συμφορῶν
τῶν ἀεὶ τῷ ἀθλίῳ συμβαινόντων μοι.

**Θ**εὲ τῶν ὅλων ὕψιστε σωτήρ,
ταῖς πρεσβείαις κάμφθητι, παντάναξ,
[τῆς σῆς μητρὸς
καὶ λαόν σου οἴκτειρον
πολλοῖς ἐμπεσόντα
καὶ ἀνηκέστοις δεινοῖς πειρασμοῖς
μιαιφόνων κακουργίαις
[ἐχθρῶν
ὅπως ἀπαύστως
ὡς παντοδύναμόν σε δοξάζωμεν.

# 90

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τῇ η' καὶ θ' ᾠδῇ «***Ἰωάννης Θ.***»

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΘΗΚΑΡΑ

Κώδ. Ι 39 Λαύρας.

***Ἦχος γ'. Ὠδὴ α'. Ὁ τὰ ὕδατα πάλαι.***

**Χ**αῖρε θρόνε Κυρίου·
χαῖρε Παρθένε
ἡ λύσασα τὴν ἀχλὺν τῆς ἀπάτης
καὶ πρὸς φῶς τὸ ἄδυτον
πάντας ἑλκύσασα·
χαῖρε ἀπειρόγαμε·
χαῖρε θεόγραφε τόμε·
τῶν πιστῶν τὸ στήριγμα
χαῖρε πανύμνητε.

**Π**ολυέραστον κάλλος
πάνσεμνη χαῖρε
ἡ πάντα τῷ ὑπὲρ φύσιν σου τόκῳ
ἐκ βυθοῦ σώσασα
τῆς ἀπιστίας, ἁγνή,
καὶ πρὸς πίστιν ἔνθεον
χειραγωγήσασα μόνη·
χαῖρε πανευλόγητε·
χαῖρε θεόνυμφε.

**Ἐ**σκοτίσθην ὁ τάλας
ζόφῳ, Παρθένε,
καὶ νέφει τῶν ἀμετρήτων κακῶν μου
ἀλλ' ἡ φῶς τέξασα
τὸ προαιώνιον
ὅλον με καθάρισον
ὅλον καταύγασον μόνη
ρυπωθέντα πάθεσι,
Θεομακάριστε.

**Τ**ῶν κακῶν μου τὰ πλήθη
σοὶ ἐξαγγέλλω,
Παρθένε, ὁ ἐμπαθὴς καὶ ἀχρεῖος
καὶ θερμῶς κράζω σοι
ἐκ κατωδύνου ψυχῆς
πρόφθασον καὶ σῶσόν με,
εὐλογημένη Μαρία,
καὶ ἐκ σκότους ρῦσαί με
τῆς κατακρίσεως.

Ὠδὴ γ'. Ὁ ἐκ μὴ ὄντων τὰ πάντα.

**Ἡ** φλογοφόρος λαβὶς ἡ τὸν νοητὸν
ἄνθρακα κατέχουσα
χαῖρε μήτηρ ἀνύμφευτε
πυρὶ τὸν καθαίροντα
τὴν ἁμαρτίαν, ἁγνή, παντὸς τοῦ κό-
[σμου.

**Ἡ** θεία κλίμαξ ἣν εἶδεν ὁ Ἰακὼβ
θνητοὺς ἡ ἀνάγουσα

πρὸς οὐράνιον εἴσοδον·
χαῖρε πανακήρατε·
χαῖρε δυστυχούντων ἐλπὶς χαρὰ καὶ σκέπη.

**Δ**ώρησαι χάριν καὶ ἔλεος καὶ ζωὴν
τῷ σὲ τιμῶντι
καὶ γεραίροντι Θεομήτορα·
εἰς ἰλὺν ἐπάγην γὰρ
τῶν δυσχερῶν καὶ βυθὸν τῆς ἀπωλείας.

**Κ**ατανοῶν σου τῆς κρίσεως τὴν φρικτὴν
ἀπόφασιν, Κύριε,
δειλιῶ καὶ ἐξίσταμαι
πταίσας ὑπὲρ ἄνθρωπον
ἀλλ' ὡς Θεὸς οἰκτιρμῶν ἐλέησόν με.

Ὠδὴ δ'. Ἔθου πρὸς ἡμᾶς.

**Χ**αῖρε νοητὴ
χελιδὼν ἡ ὄντως ἡδύλαλος
παύσασα χειμῶνα νοητὸν
καὶ πρὸς τὸ ἔαρ μεταρρυθμίσασα
πάντας τοὺς ἐν πίστει σε καθαρωτάτη,
κόρη, μεγαλύνοντας.

**Χ**αῖρε θησαυρὲ
παρθενίας ὄντως καὶ καύχημα·
χαῖρε ἡ τὴν πέτραν τῆς ζωῆς
ἐν τῇ γαστρί σου μόνη χωρήσασα·
χαίροις ὑπερθαύμαστε· χαῖρε πεσόντων
ἀσφαλὴς ἀνόρθωσις.

**Ὄ**ρος γλυκασμῶν
ὁ προφήτης στάζον κατεῖδέ σε
Πνεύματι τῷ θείῳ λαμπρυνθείς,
Θεοκυῆτορ κόρη πανθαύμαστε,
διὸ τὴν πικρίαν μου γλύκανον, κόρη,
τῶν ἀμέτρων θλίψεων.

**Ο**ἴκτειρον, Χριστέ,
τὸν ἀχρεῖον δοῦλόν σου οἴκτειρον
τῆς δεδοξασμένης σου μητρὸς
τὰς συμπαθεῖς ἐντεύξεις δεξάμενος
καὶ ἐπισκεψάμενος συντετριμμένον
ἴασαί με, Δέσποτα.

Ὠδὴ ε'. Ἐπὶ τῆς γῆς ὁ ἀόρατος.

**Ἡ** φωταυγὴς
τοῦ ἡλίου νεφέλη
χαῖρε σεμνὴ
Ἀδὰμ τοῦ συντριβέντος
θεία καινούργησις·
χαῖρε πάσης καύχημα
οἰκουμένης καὶ κραταίωμα.

**Ἡ** χρυσαυγὴς
τοῦ Θεοῦ κατοικία
χαῖρε ἁγνὴ
τῆς Εὔας τῶν δακρύων
μόνη ἀφαίρεσις·
χαῖρε πάσης ἄνασσα
οἰκουμένης καὶ ἐντρύφημα.

**Ρ**ῦσαι θυμοῦ
κακοτρόπων ἀνθρώπων
καὶ συμφορῶν
τῶν νῦν χειμαζουσῶν με
τὸν δυστυχέστατον,
παναγία Δέσποινα,
ὅπως πίστει μεγαλύνω σε.

**Τ**ὴν φοβερὰν
τοῦ κριτοῦ παρουσίαν
ἐγγίζουσαν
τί οὐ τρέμεις ψυχή μου
εἰς νοῦν λαμβάνουσα
τὰ μυρία πταίσματα
ἃ ἐν βίῳ ἐπλημμέλησας.

Ὠδὴ στ'. Ἄβυσσος ἐσχάτη.

**Ὅ**λην σε καθαρωτάτην εὑρὼν
ὁ καθαρὸς ἐν σοί, σεμνή, κατεσκήνωσε
καὶ ἡμᾶς ἀνείλκυσεν
εἰς χάος ὀλισθήσαντας·
διὸ χαῖρέ σοι
εὐχαρίστως κραυγάζομεν.

**Χ**αῖρέ σοι τῇ βασιλίδι πιστοὶ
ὑμνοῦντες ἀσιγήτως κραυγάζομεν·
χαῖρε κλίμαξ ἔμψυχε
τοὺς βροτοὺς ἡ ἀνάγουσα
πρὸς οὐράνιον
καὶ ἀκήρατον εὔκλειαν.

**Ἄ**βυσσος ἐλέους καὶ οἰκτιρμῶν
σοῦ, παναγία, κυκλωσάτω με, ἄχραντε,
πειρασμῶν γὰρ χείμαρροι



καὶ συμφορῶν τὸ πέλαγος
νῦν συρρεύσαντες
κατεπείγουσι τοῦ ποντίσαι με.

**Π**όρνη σου τοὺς πόδας καταφιλεῖ
δάκρυσι τούτους καταβρέχουσα, Δέσποτα,
ἐγκλημάτων ἄφεσιν
αἰτοῦσα καὶ λαμβάνουσα·
διὸ δέομαι
ὡς ἐκείνην με οἴκτειρον.

## ΚΑΘΙΣΜΑ

### *Ἦχος γ'. Τὴν ὡραιότητα.*

**Α**ἱ ἀνομίαι μου
ψάμμον θαλάσσιον
ὑπερνικήσασαι
τὴν ταπεινήν μου ψυχὴν
κατακαλύπτουσιν, ἁγνή,
τῷ πλήθει τῶν οἰκτιρμῶν σου
πάντα μου τὰ πταίσματα
διὰ τάχους ἐξάλειψον
καὶ τῆς κατεχούσης με
ἀθυμίας ἀπάλλαξον
καὶ πάσης χαρᾶς καὶ εὐφροσύνης
πλήρωσον, κόρη, τὴν καρδίαν μου.

Ὠδὴ ζ'. Σὲ τὸν ἐν πυρὶ δροσίσαντα.

**Χ**αίροις ἀσφαλὲς ὀχύρωμα
καὶ τεῖχος ἀκατάσειστον
καὶ λιμὴν χειμαζομένων γαληνότατε
ἀσθενούντων τὸ ἄκος
ἀθυμίας ἡ λύσις·
χαῖρε ἡ τὸν ἄκτιστον
Θεὸν σαρκὶ κυήσασα.

**Χ**αῖρε σωτηρίας πρόξενε
βροτῶν τὸ καταφύγιον
ὡραιότης ἐκκλησιῶν καὶ εὐπρέπεια
χαῖρε νῖκος ἀνάκτων,
κακοτρόπων ἡ πτῶσις·
χαῖρε ἡ τὸν ἄναρχα Θεὸν
ἐν γαστρὶ χωρήσασα.

**Π**ᾶσαν ἐπὶ σοί μου, Δέσποινα,
τὴν προσδοκίαν τίθημι
ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον
καὶ φθορᾶς καὶ θανάτου
ἵνα πόθῳ σοι κράζω
εὐλογημένη ἡ Θεὸν
σαρκὶ κυήσασα.

**Π**ᾶσαν ἁμαρτίαν ἔπραξα
καὶ πάσας ἀπεκδέχομαι
τὰς κολάσεις ὁ παντλήμων ἀλλὰ πρόφθασον
καὶ πασῶν ἐξελοῦ με,
παναγία Παρθένε,
ἵνα σωζόμενος ὑμνῶ
τὰ μεγαλεῖά σου.

Ὠδὴ η'. Ἀστέκτῳ πυρί.

**Ἰ**δού σοι τὸ χαῖρε προσφόρως
χαίρων ἐκβοῶ τῇ παναμώμῳ καὶ παρθένῳ·
χαῖρε τεῖχος πιστῶν καὶ σκέπη
δυστυχούντων παραμύθιον·
χαῖρε πεπτωκότων ἔγερσις·
χαῖρε θλιβομένων χαρὰ καὶ εὐφροσύνη.

**Ὡ**ς τῶν οὐρανῶν πλατυτέραν
καὶ τῶν χερουβὶμ ἐνδοξοτέραν, Θεοτόκε,
γνόντες πάντες σοι προσφωνοῦμεν
χαῖρε μητροπάρθενε·
χαῖρε μόνη πάντων βροτῶν ἡ ἀνάκλησις
καὶ πανολεθρία κατάπτωσις δαιμόνων.

**Ἀ**θλία ψυχὴ τί βραδύνεις
σπεῦσον πρὸ τοῦ τέλους ἐπιστρέψαι καὶ πρόσπεσον
τῇ ἀχράντῳ μητρὶ τοῦ κτίστου σου
ὅπως ἐξελεῖταί σε
τῶν βασάνων πασῶν καὶ μελλούσης κρίσεως
καὶ τῶν πικροτάτων ἐκεῖ κολαστηρίων.

**Ν**έφος με δεινῶν ἁμαρτημάτων
κίνδυνοι καλύπτουσι καὶ ζάλαι, Θεομῆτορ,
συμφοραί τε καὶ περιστάσεις
σοὶ προσπίπτων δέομαι
ῥῦσαι τούτων, μόνη τῶν πιστῶν βοήθεια,
νῦν συντετριμμένον καὶ τεταπεινωμένον.

Ὠδὴ θ'. Καινὸν τὸ θαῦμα.

**Ν**αὸς καὶ πύλη ὤφθης ἀληθῶς
καὶ παλάτιον τοῦ ἀπροσίτου φωτός,
[κόρη,
ὅθεν πίστει σοι τὸ χαῖρε βοῶμεν
σὺν τῷ ἀγγέλῳ,
μόνη παντευλόγητε,
ὡς θεία τοῦ κόσμου προστασία·
χαῖρε θερμὸν πρὸς Θεὸν
ἱλαστήριον τοῦ γένους ἡμῶν.

**Ἡ** θεία σκέπη χαῖρε τῶν βροτῶν·
τῶν ταγμάτων τε τῶν οὐρανίων χαρὰ
ἀποστόλων καύχημα [χαῖρε
μαρτύρων ἡ δόξα
τῶν ἀθλοφόρων χαῖρε θάρσος ἄρ-
[ρηκτον
ἁπάντων ὁσίων καὶ δικαίων·
χαῖρε φαιδρόν τε
καὶ περιβόητον ἐγκαλλώπισμα.

**Σ**ύ μου τὴν φλόγα σβέσον τῶν δεινῶν
σὺ κατεύνασον τῶν πειρασμῶν, ἁγνή,
[τὸν σάλον
καὶ τὴν λύπην πράϋνον
τὰ δάκρυα παῦσον
τὰς συμφορὰς ἀπέλασον μακρὰν ἀπ' ἐ-
[μοῦ
χαρὰν δέ μοι δίδου τῷ σῷ δούλῳ
ὅπως ἀπαύστως
ὡς εὐεργέτιν μου μεγαλύνω σε.

**Θ**εοκυῆτορ, πάντων τῶν εἰς σὲ
προστρεχόντων σκέπη καὶ κραταιὰ ἀν-
[τίληψις
τὰς αἰτήσεις πρόσδεξαι
νυνὶ τῶν σῶν δούλων
καὶ μισοφόρων λύτρωσαι χειρῶν,
[ἀγαθή,
ὡς ἄμαχον ἔχουσα τὸ κράτος
ὅπως ἀπαύστως
ἐν ὑμνῳδίαις σε μεγαλύνωμεν.

---

## 91

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τῇ η' καὶ θ' ᾠδῇ « **Ἰωάννης Θ.** »

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΘΗΚΑΡΑ

Κώδ. Ι 39
Λαύρας.

### *Ἦχος γ'. Ὠδὴ α'. Ὁ τὰ ὕδατα πάλαι.*

**Χ**αῖρε στάμνε τὸ μάννα
φέρουσα ἔνδον
τὸ πάντας καταγλυκαῖναν τοὺς πίστει
ἀληθῆ Δέσποιναν
ὁμολογοῦντάς σε·
χαῖρε πάσης κτίσεως
τὸν κυβερνήτην τεκοῦσα·
χαῖρε φῶς αὐγάσασα
τῇ οἰκουμένῃ φαιδρόν.

**Φ**ωτοδόχε Παρθένε
χαῖρε ἡ μόνη
τεκοῦσα τὴν σωτηρίαν τοῦ κόσμου
ἡ ἐλπὶς ἅπασα
τῶν δυστυχούντων, ἁγνή,
χαῖρε ζωοπάροχε·
χαῖρε σεμνὴ παναγία·
χαῖρε τὸ ἀείζωον
ῥεῖθρον πηγάσασα.

**Π**αναγία Παρθένε
Δέσποινα κόσμου,
παθῶν με βιωτικῶν καὶ κινδύνων
τὸν εἰς σὲ θέμενον
πᾶσαν πεποίθησιν
λύτρωσαι, Θεόνυμφε,



καὶ πειρασμῶν ἀμετρήτων
συμφορῶν καὶ θλίψεων
ὅπως δοξάζω σε.

**Κ**αθ' ἑκάστην ὁ τάλας
ἐξαμαρτάνων
μὴ φρίττων τὴν φοβερὰν τοῦ Δεσπό-
καὶ φρικτὴν ἔλευσιν, [του
Θεοχαρίτωτε,
σύ με νῦν ἐπίστρεψον
καὶ τῶν κολάσεων ῥῦσαι
τῶν ἀποκειμένων μοι
πασῶν, Θεόνυμφε.

Ὠδὴ γ'. Ὁ ἐκ μὴ ὄντων τὰ πάντα.

**Χ**αῖρε ἡ ῥάβδος τὸ ἄνθος τὸ ζωηρόν,
Παρθένε, καὶ ἄφθαρον
παραδόξως βλαστήσασα·
χαῖρε πανυμνώμητε·
χαῖρε φαιδρὸν ἐνδιαίτημα Κυρίου.

**Χ**αῖρε θανάτου καθαίρεσις κραταιὰ
καὶ ᾅδου ἡ νέκρωσις,
παναγία Θεόνυμφε·
χαῖρε ὅπλον ἄρρηκτον·
χαῖρε φωτὸς καθαρώτατον δοχεῖον.

**Π**ρὸς σὲ τὴν πᾶσαν ἐλπίδα μου τῆς
ἀνέθηκα, Δέσποινα, [ζωῆς
ὁ πανάθλιος δοῦλός σου
ἀπὸ πάσης ῥῦσαί με
στενοχωρίας καὶ βλάβης καὶ κινδύνων.

**Ὁ** θέλων πάντας σωθῆναι δι' οἰκτιρ-
ἀμέτρητον πέλαγος [μῶν
καὶ ἐμὲ τὸν ἀνάξιον
σῶσον ὡς φιλάνθρωπος
τὸν τὰς σεπτάς ἐντολάς σου παρι-
[δόντα.

Ὠδὴ δ'. Ἦλθον πρὸς ἡμᾶς.

**Χ**αῖρε θησαυρὲ
τῆς ζωῆς ἡμῶν ἀδαπάνητε·
χαῖρε πρὸς Θεὸν καταλλαγὴ
τῶν γηγενῶν, πανύμνητε Δέσποινα,
χαῖρε κοσμοπόθητε· χαῖρε πεσόντων
ἀρραγὴς ἀνόρθωσις.

**Χ**αῖρε τῶν πιστῶν
ἀκλινὲς καὶ θεῖον ὀχύρωμα·
χαῖρε τῶν ἀπίστων δυσμενῶν
καὶ πονηρῶν ἐχθρῶν ἀμυντήριον·
χαίροις ὑπερθαύμαστε εὐλογημένη·
χαῖρε πάντων Δέσποινα.

**Φ**ρίττω ἐννοῶν
τὸ φρικτόν σου βῆμα καὶ δέδοικα
ἄμετρά σοι πταίσας, ἀγαθέ,
ἀλλ' ὡς τὴν πόρνην δέξαι καὶ σῶσόν με,
φιλάνθρωπε Κύριε, ταῖς τῆς μητρός
θείαις παρακλήσεσι. [σου

**Ν**ῦν με τὸν οἰκτρὸν
πειρασμῶν χειμάζει κλυδώνιον
νέφος συμφορῶν παντοδαπῶν
κατακαλύπτει οἴμοι! τὸν δείλαιον
ἀλλ' ἡ φῶς κυήσασα λάμψον χαρᾶς
φῶς ὡς ὑπεράγαθος. [μοι

Ὠδὴ ε'. Ἐκ τῆς γῆς ὁ ἀόρατος.

**Χ**αῖρε φωτὸς
ἀνεσπέρου δοχεῖον·
χαῖρε ἁγνὴ
νοσούντων θεραπεία
καὶ ἄκος ἄελπτον·
χαῖρε θεῖον τέμενος
τοῦ Δεσπότου, πανσεβάσμιε.

**Τ**ὸ φωτεινὸν
τοῦ Δεσπότου δοχεῖον
χαῖρε σεμνὴ
Ἀδὰμ τοῦ πεπτωκότος
μόνη ἀνόρθωσις
καὶ τῆς Εὔας λύτρωσις
τῶν δακρύων χαῖρε πάνσεμνε.

**Τ**ῶν συμφορῶν
ἐκδιώκεις τὸν σάλον
καὶ πειρασμῶν
σκεδάζεις τὰς ἐφόδους,
Θεοχαρίτωτε,
διὰ τοῦτο πάντες σε
μακαρίζομεν, Θεόνυμφε.

**Π**ρὸ τῶν πυλῶν
ἡ τομὴ τοῦ θανάτου

ἰδού, ψυχή,
ἐγγίζει, τί βραδύνεις;
τάχος ἀνάνηψον
καὶ καρποὺς προσένεγκε
μετανοίας τῷ Δεσπότῃ σου.

Ὠδὴ ια'. Ἄβυσσος ἐσχάτη.

**Ἅ**παντες τὸ χαῖρε χαρμονικῶς
σοὶ τῇ τεκούσῃ τὴν πηγὴν τὴν ἀείζωον
ἐκβοῶμεν, ἄχραντε·
χαῖρε παστὰς ὁλόφωτε·
χαῖρε κράτιστον
οἰκουμένης ὀχύρωμα.

**Χ**αῖρέ σοι βοῶμεν περιχαρῶς
τῇ παναμώμῳ καὶ μητρὶ τοῦ Θεοῦ ἡμῶν·
χαῖρε βάτε ἄφλεκτε
καὶ χώρα ἀγεώργητε
τὸν οὐράνιον
ἡ βλαστήσασα ἄσταχυν.

**Κ**αύχημα γενοῦ μοι τῷ ταπεινῷ
χαρὰ καὶ σκέπη καὶ ἀντίληψις, Δέσποινα,
τῷ τὴν σὴν ζητήσαντι
μετὰ δακρύων σύναρσιν
καὶ ἐκ πάσης με
διατήρησον θλίψεως.

**Τ**έτρωμαι τῷ βέλει τοῦ πονηροῦ,
Θεοκυῆτορ, καὶ δεινῶς τετραυμάτισμαι
τῇ ματώσει, ἄχραντε,
τῆς σῆς πρεσβείας ἴασαι
καὶ θεράπευσον
ἀνιάτως με πάσχοντα.

## ΚΑΘΙΣΜΑ

***Ἦχος γ'. Τὴν ὡραιότητα.***

**Τ**ὴν ὑπερβάλλουσαν
σοῦ ἀγαθότητα
καὶ τῆς χρηστότητος
τῆς σῆς τὴν ἄβυσσον
γινώσκων ἔρχομαι πρὸς σὲ
καὶ βοῶ σοι, πανύμνητε,
ἴδε τὴν ταπείνωσιν
τῆς ψυχῆς μου καὶ δώρησαι
πάντων τῶν πραχθέντων μοι
ἐγκλημάτων τὴν ἄφεσιν
καὶ ῥῦσαί με ἐν ὥρᾳ τῆς δίκης
πάσης κολάσεως τὸν δοῦλόν σου.

Ὠδὴ ζ'. Σὲ τὸν ἐν πυρί.

**Χ**αῖρε Θεοτόκε πάνσεμνε
βροτῶν τὸ καταφύγιον·
χαῖρε τόπε ἁγιάσματος καὶ σκήνωμα
τοῦ Θεοῦ τοῦ ὑψίστου
ὃν ὑμνοῦντες βοῶμεν·
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

**Χ**αῖρε θησαυρὲ κοσμόπλουτε
πενήτων ἡ προμήθεια
δυστυχούντων ἐπανόρθωσις καὶ πτώ-
πεπτωκότων, Παρθένε, [ρευμα
ἀσθενούντων ἀκέστωρ
χειμαζομένων λιμὴν
καὶ θλιβομένων χαρά.

**Ζ**άλη με πταισμάτων ἄπειρος
κατέλαβε τὸν δείλαιον
καὶ πρὸς χάος ἀπωλείας ἕλκει, πάν-
κυβερνήτην τεκοῦσα, [αγνε,
Θεομῆτορ Παρθένε,
πρὸς ἀπαθείας με
τὸν λιμένα ἐγκαθόρμισον.

**Π**λήρωσον χαρᾶς, Θεόνυμφε,
τὴν ταπεινὴν καρδίαν μου
ἡ τοῖς πᾶσιν εὐφροσύνην ἀνατείλασα
καὶ χαράν, Θεοτόκε,
τοῖς ἐν πίστει βοῶσιν
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'. Ἀστέκτῳ πυρί.

**Ἴ**δε μου τὴν κάκωσιν ἴδε
ἴδε μου τὸν θρῆνον τῆς καρδίας, Θεο-
καὶ δάκρυα μὴ παρίδῃς [τόκε,
ἀλλ' ἐκ πάντων ῥῦσαί με
τῶν κινδύνων χαῖρε ὅπως ἐκβοήσω
[σοι
τῇ παννπερφέγγῳ μητρὶ τοῦ λυτρωτοῦ
[μου.



**Ὦ**ς τοῦ πανυψίστου Θεοῦ μητέρα
καὶ τιμιωτέραν τῶν ἀγγέλων, Θεοτόκε,
σοὶ βοῶμεν ἀκαταπαύστως.
χαῖρε σκεῦος τίμιον
θείου μύρου· χαῖρε πάντων τὸ διά-
[σωσμα
τῶν ἐπιστρεφόντων Χριστὸν εἰς τοὺς
[αἰῶνας.

**Ἀ**πείρων με θλίψεων ῥῦσαι
τῶν ἐπερχομένων συνεχῶς μοι τῷ ἀθλίῳ
συμφορῶν τε καὶ πάσης βλάβης
πάσης κατακρίσεως
πάσης νόσου πάσης ἀπειλῆς καὶ μά-
[στιγος
ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

**Ν**αὸν τὸν τοῦ σώματος οἴμοι!
ἔχρανα ὁ ἄθλιος ἀφρόνως τῷ βορβόρῳ
ἐπιμένων ταῖς ἁμαρτίαις
καθαρόν με δέομαι
ῥαντικῷ σου ῥείθρῳ, παναμωμε Δέ-
[σποινα,
καὶ χαρὰν πρὸς θείαν εἰσάγαγε καὶ δό-
[ξαν.

Ὠδὴ θ'. Καινὸν τὸ θαῦμα.

**Ν**αὸν φρονοῦντες σε χωρητικὸν
καὶ γινώσκοντες τοῦ τῶν ἁπάντων κτί-
Θεοῦ, παναγία Δέσποινα, [στου
τὸ χαῖρέ σοι πόθῳ
ἀναβοῶμεν ἅπαντες οἱ δοῦλοί σου
σοφίας Θεοῦ χαῖρε δοχεῖον·
χαῖρε πιστῶν πρὸς Θεὸν
σωτηρία ἀκαταίσχυντε.

**Ἡ** φῶς τεκοῦσα χαῖρε τῆς ζωῆς·
χαῖρε ἔμψυχε τοῦ νοητοῦ ἡλίου,
σεμνή, χαῖρε στέφανε
μαρτύρων καὶ δόξα·
χαῖρε βροτῶν τὸ μέγα καταφύγιον
προνοίας Θεοῦ χαῖρε δοχεῖον·
χαῖρε θερμὴ τῶν βροτῶν
προστασία ἀκαταίσχυντε.

**Σ**ὺ τὴν χαράν μοι δίδου τῷ τὴν σὴν
ἀκαταίσχυντον ἐκζητοῦντι χάριν,
σεμνή, καὶ τὴν λύπην κόπασον
τὰ δάκρυα παῦσον
τοὺς στεναγμοὺς ἀφάνισον
καὶ πᾶσαν δεινῶν ἐπίτασιν
δίωξον, Παρθένε,
τῶν ἐνοχλούντων με τὸν δείλαιον.

**Θ**εὸς ἐλέους σὺ καὶ οἰκτιρμῶν,
παντοκράτωρ Κύριε, καὶ τῆς ζωῆς χο-
νεκρωθεῖσαν πάθεσι [ρηγὸς
δεινοῖς τὴν ψυχήν μου
καὶ ἐν μνημείῳ ἤδη προσεγγίσασαν
λιταῖς τῆς ἀσπόρως σε τεκούσης
σῶσον, οἰκτίρμον,
ὡς ὑπεράγαθος καὶ φιλάνθρωπος.

---

## 92

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τῇ η' καὶ θ' ᾠδῇ «***Ἰωάννης Θ.***»

---

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΘΗΚΑΡΑ

---

Κώδ. Ι 39 Λαύρας.

***Ἦχος γ'. Ὠδὴ α'. Χέρσον ἀβυσσοτόκον.***

**Χ**αίροις ὑπεραγία Λόγον ἅγιον
τοῦ ὑψίστου ἀληθῶς
ἐν γαστρί σου δεξαμένη
τὸν τῷ λόγῳ τὰ πάντα
τεκτεινάμενον ἀπορρήτως
αὐτῷ πιστοὶ βοήσωμεν
ᾄσωμεν τῷ Κυρίῳ
ἐνδόξως γὰρ δεδόξασται.

**Χ**αῖρε τῶν ὀρθοδόξων κῦδος τίμιον
καὶ ἀγγέλων χαρμονή·
χαῖρε νῖκος ὀρθοδόξων
βασιλέων καὶ σκῆπτρον·
χαῖρε στρατευομένων θάρσος
πολεμουμένων δύναμις
πάντων τὸ καταφύγιον
τῶν πεποιθότων εἰς σέ.

**Π**ᾶσάν μου τὴν ἐλπίδα εἰς σὲ τίθημι
ὁ πανάθλιος ἐγὼ
καὶ πασῶν ἐκ συμφορῶν με
διαφύλαξον, κόρη,
φθορᾶς καὶ ζάλης καὶ θανάτου
καὶ πολυπλόκων θλίψεων·
ἄλλην γὰρ πλήν σου, ἄχραντε,
οὐ κέκτημαι βοήθειαν.

**Ζ**άλη με ψυχοφθόρων νῦν κατέλαβε
καὶ ἀτόπων λογισμῶν
καὶ πρὸς βάραθρον καθέλκει
καὶ βυθὸν ἀπωλείας·
σὺ οὖν γενοῦ μοι κυβερνήτις
καὶ πρὸς λιμένα ἴθυνον
θεῖόν με, παναγία,
καὶ μακαρίαν εὔκλειαν.

Ὠδὴ γ΄. Τὸ στερέωμα τῶν ἐπὶ σοί.

**Χ**αῖρε πάμφωτε
καὶ χρυσαυγέστατε θρόνε
τοῦ πάντων δεσπόζοντος Θεοῦ τοῦ
[Λόγου·
χαῖρε Δέσποινα τῶν ἀσθενούντων ἐπί-
[σκεψις.

**Χ**αῖρε πάγχρυσον
καὶ πολυέραστον κάλλος
καὶ πάσης, πανάμωμε, τῆς οἰκουμένης
χαῖρε ἄχραντε τῶν θλιβομένων παρά-
[κλησις.

**Ρ**ῦσαι πάσης με
τὸν ἐπὶ σοὶ πεποιθότα
ἀνάγκης καὶ θλίψεως φθόνου καὶ
[μίσους
καὶ ἐχθρῶν τῶν πολεμούντων με, Δέ-
[σποινα.

**Π**ῶς οὐ φρίττω σου
τὸ δικαστήριον ὅλως
ἀμέτρητα πταίσας σοι, Χριστέ μου
[Λόγε,
ἀφ᾽ οὗ ῥῦσαί με μητρικαῖς σου δεήσεσι.

Ὠδὴ δ΄. Ἐκάλυψεν οὐρανούς.

**Τ**ὸ χαῖρέ σοι τῇ πανάγνῳ ἐκβοῶμεν
χαῖρε καλάτιον τερπνὸν [πιστοί·
καὶ φωτοφόρον ὄντως
τοῦ ὑψίστου, σεμνή,
τῶν προφητῶν τὸ κλέος
καὶ δόξα τῶν ἀποστόλων
ἀκαταίσχυντε·
χαῖρε ἀνύμφευτε νύμφη
καὶ ἀπειρόγαμε.

**Τ**ὸ χαῖρέ σοι Γαβριὴλ ἐν Ναζαρὲτ
χαίρων ἐκόμισε σαφῶς [ἐπιστὰς
τῇ καθαρᾷ καὶ ὄντως
πανασπίλῳ σεμνῇ·
διὸ σὺν τούτῳ ἀναβοῶμεν
καὶ ἡμεῖς, Θεοτόκε,
οἱ ἀχρεῖοι δοῦλοί σου·
χαῖρε πανθαύμαστε κόρη
καὶ πολυύμνητε.

**Ὃ**ν ἔτεκες ἐν σαρκὶ δημιουργὸν τοῦ
ὑπὲρ ἐμοῦ τοῦ δυστυχοῦς [παντὸς
ὡς ἀγαθὴ δυσώπησον
ῥυσθῆναι, ἁγνή,
ἀπείρων συμφορῶν
καὶ κινδύνων
καὶ ἀνάγκης καὶ περιστάσεως
ἵνα σωζόμενος πόθῳ
ὑμνῶ σε, ἄχραντε.

**Ὡ**ς ἔσωσας Μανασσῆν μετανοήσαντα
κἀμὲ τὸν πταίσαντα πολλὰ [πρὶν
καὶ παραβλέψαντα
τὰς σὰς ἐντολὰς
μετανοοῦντα πρόσδεξαι,
Σῶτερ Θεέ μου,
ταῖς μητρικαῖς σου παρακλήσεσι
καὶ τῶν κολάσεων ῥῦσαι
ὡς μόνος εὔσπλαγχνος.

Ὠδὴ ε΄. Ὡς εἶδεν Ἠσαΐας.

**Χ**αῖρε αὐγὴ φωσφόρε τὴν μυστικὴν
ἡμέραν ἡ αὐγάσασα·



χαῖρε μήτηρ μόνη τοῦ παντοκράτορος
ἡ βάτος ἐν ᾗ περ Μωσῆς
πῦρ κατεῖδε τῆς θεότητος σαφῶς
φωτὸς ἀνεσπέρου
καὶ εἰρήνης δεσπόζοντος.

**Χ**αῖρε ἀστὴρ εἰσάγων τῷ κόσμῳ,
δικαιοσύνης ἥλιον· [σεμνή,
χαῖρε ζωῆς ξύλον καρπὸν ἀθάνατον
βλαστήσασα, Παρθένε, ὄντως
οὗ οἱ τρώγοντές οὐ θνήσκομεν ποτὲ
καθὼς Χριστὸς ὁ υἱός σου
ἐπηγγείλατο, Δέσποινα.

**Λ**ῃσταί με ψυχοφθόροι ὠμῶς, ἀγαθή,
περιπεσόντες ἔκτειναν
καὶ πρὸς πύλας ᾅδου ἤδη προσήγγισα
ἡ μόνη τὴν πάντων ζωὴν
συλλαβοῦσα καὶ τεκοῦσα ἀψευδῶς
ζωῆς ἀληθοῦς μοι
τὰς πύλας ἀναπέτασον.

**Ἰ**σχεῖ σου, Παρθένε, ἡμᾶς ἀφειδῶς
τοὺς τυραννοῦντας ὄλεσον
καὶ εἰς γῆν τὴν τούτων ὀφρὺν κατάβαλε·
εἰσῆλθον καὶ γὰρ ὡς σκύμνοι
ὠρυόμενοι κακούργως οἱ δεινοὶ
ἁρπάσαι καὶ φθεῖραι,
Θεοτόκε, τὴν ποίμνην σου.

Ὠδὴ ϛ΄. Ἐβόησέ σοι.

**Τ**ὸ ὄρος χαῖρε
ἐξ οὗ ὁ λίθος
ἐναπετμήθη τῆς χάριτος
ὁ συντρίψας πάντα
τὰ ἰνδάλματα τῆς ἀπάτης.

**Ἡ** θεία κλίμαξ,
Παρθένε, χαῖρε
δι᾽ ἧς κατέβη ὁ Ὕψιστος
τοὺς βροτοὺς ἀνάγων
πρὸς ἀνώλεθρον εὐφροσύνην.

**Ρ**υσθείην πάσης
κακοπραγίας,
Θεοκυῆτορ, ὁ δοῦλός σου
πολυπλόκων νόσων
πειρασμῶν παντοίων καὶ βλάβης.

**Ἀ**πὸ πασῶν με
τῶν ἐν τῷ ᾅδῃ
τὸν σὸν οἰκέτην ἐξάρπασον
ἐκ βρυγμοῦ ὀδόντων
ποταμοῦ πυρὸς καὶ γεέννης.

## ΚΑΘΙΣΜΑ

### **Ἦχος γ΄. Τὴν ὡραιότητα.**

**Μ**ὴ ἀπορρίψῃς με
ἀπὸ προσώπου σου
τὸν παροξύναντα
τὸν ποιητήν μου Θεὸν
τῇ παραβάσει τῶν αὐτοῦ
ἐντολῶν ἀλλὰ δέξαι με
καὶ δι᾽ ἀγαθότητα
συμπαθείας ἀξίωσον·
ἔχεις γὰρ τὸ δύνασθαι
ὡς τεκοῦσα τὸν Κύριον
καὶ λύτρωσαι πυρὸς αἰωνίου
ἐν τῇ φρικτῇ παρουσίᾳ Χριστοῦ.

Ὠδὴ ζ΄. Σὲ τὸν ἐν πυρὶ δροσίσαντα.

**Χ**αῖρε φωτοδόχον οἴκημα
Μαρία πανασίρματε
χαῖρε σκήνωμα τοῦ Λόγου καθαρώ-
χαῖρε τεῖχος καὶ σκέπη [τατον·
τῶν πιστῶς μελῳδούντων
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

**Χ**αῖρε χρυσαυγὲς παλάτιον
τοῦ πάντων βασιλεύοντος·
χαῖρε στήλη παρθενίας ἀσυλώτατε·
χαῖρε θάρσος καὶ ἄλσον
τῶν πιστῶς ἐκβοώντων
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

**Ἴ**δε μου τὸν πόνον, Δέσποινα,
καὶ πᾶσαν τὴν ἀσθένειαν
ἴδε τὴν θλῖψιν τῆς ψυχῆς μου καὶ τὴν
καὶ ἐκ πάσης με ῥῦσαι [κάκωσιν
πολυπλόκου φροντίδος
ἵνα σωζόμενος ὑμνῶ
τὰ μεγαλεῖά σου.

**Κ**λαίω καὶ θρηνῶ ὁ ἄθλιος
τὴν κρίσιν ἐνθυμούμενος
τοῦ υἱοῦ σου, Θεοτόκε πανυμνήτε,
ἐννοῶν μου τὰ πλήθη
τῶν ἀμέτρων σφαλμάτων
ὧν μοι πρὸ τέλους εὐμενῆ,
Παρθένε, ποίησον.

Ὠδὴ η'. Ἀστέκτῳ πυρί.

**Ἰ**σχὺς μοι γενοῦ σοὶ βοῶντι
χαῖρε θεοδόξαστε Παρθένε,
ἡ τεκοῦσα τὸν σωτῆρα
παντὸς τοῦ κόσμου τὸ κατάκριμα
τοῦ θανάτου μόνη τῷ τόκῳ σου λύσασα·
χαῖρε τῶν πενθούντων χαρὰ καὶ εὐφροσύνη.

**Ὡ**ς καθαρωτάτην σε μόνην
πάντες ἐκ πασῶν τῶν γενεῶν ἐπεγνωκότες,
Θεομῆτορ, πίστει βοῶμεν
χαῖρε μήτηρ ἄφθορε
καὶ Παρθένε· χαῖρε πάντων καταφύγιον
τῶν ὑπερυψούντων Χριστὸν εἰς τοὺς αἰῶνας.

**Ἀ**πλέτων βασάνων καὶ νόσων
χαλεπῶν, ἁγνή, με καὶ κινδύνων
τὸν σὸν δοῦλον ῥῦσαι, Παρθένε,
τῶν ἐπερχομένων μοι
καθ' ἑκάστην· σὺ γὰρ φρουρὰ καὶ προστάτις μου
τεῖχός τε καὶ φύλαξ ὑπάρχεις, Θεομῆτορ.

**Ν**ὺξ ἁμαρτιῶν με καλύπτει
καὶ περιταράττει με πταισμάτων ζάλης πάσης
ἐπιμόνως ἡ τρικυμία·
φρίττω οὖν καὶ δέδοικα
τὰς κολάσεις, ὧν με, Παναγία, λύτρωσαι
τῶν ἀπηλπισμένων ἐλπὶς καὶ προστασία.

Ὠδὴ θ'. Ἐν νόμῳ σκιᾷ.

**Ν**αὸς τοῦ Θεοῦ καὶ ἔμψυχον
παλάτιον ἐδείχθης, ἁγνή·
διό σοι καὶ τὸ χαῖρε χαρμοσύνως
πάντες οἱ πιστοὶ
σὺν τῷ ἀγγέλῳ ἐκβοῶμεν·
χαῖρε ἀμίαντε·
χαῖρε ἡ μόνη τὴν ζωὴν
προξενήσασα, Θεόνυμφε.

**Ἡ** ἔμψυχος χαῖρε τράπεζα
καὶ κλίνη φωτεινόμορφε
ἐν ᾗ περ ἀνεκλίθη ὁ τῶν ὅλων,
κόρη, βασιλεὺς
καὶ τοὺς τῇ πλάνῃ καμόντας
τοῦ παλαιοῦ πτερνιστοῦ
διαναπαύσας
καὶ εἰρήνην δωρησάμενος.

**Σ**ὺ τῶν πειρασμῶν τὴν κάμινον
ἀπόσβεσον, πανύμνητε,
τῶν νῦν παρενοχλούντων καὶ λυπούντων
με τὸν δυστυχῆ
καὶ τῆς χαρᾶς σου ἐμφρόνως
ἔμπλησον, ἄχραντε,
τὴν πανάθλιαν μου ψυχὴν
ὅπως πίστει μεγαλύνω σε.

**Θ**εὸν ὃν ἀφράστως τέτοκας
δυσώπησον, πανύμνητε,
νῦν ἐχθρῶν δυσμενεστάτων λυτρωθῆναι
πάντα τὸν λαὸν
τὸν ἀληθῆ σε μητέρα
ἐπεγνωκότα Θεοῦ
ὅπως ἐν πίστει καὶ πόθῳ
μεγαλύνωμεν τὸ κράτος σου.



# 93
# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τῇ η' καὶ θ' ᾠδῇ « ***Ἰωάννης Θ.*** »

---

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΘΗΚΑΡΑ

---

Κῶδ. Ι 89 Λαύρας.

***Ἦχος γ'. Ὠδὴ α'. Ὁ τὰ ὕδατα πάλαι.***

**Θ**εοδόχε Παρθένε
χαῖρε ἡ πᾶσαν
τὴν λύπην τῆς ἀπιστίας εἰς τέλος
τῷ φρικτῷ τόκῳ σου
ἐναποσβέσασα·
χαῖρε πανυπέρτιμε·
χαῖρε κατάρας ἡ λύσις·
χαῖρε τὸ θαύμασμα
κόσμου καὶ καύχημα.

**Ἡ** βοήθεια χαῖρε
πάντων, Παρθένε,
τῶν πίστει εἰλικρινῶς δοξαζόντων
σὲ μητέρα Θεοῦ,
Δέσποινα, πανάληθῆ·
χαίροις ὑπερθαύμαστε·
χαῖρε χαρᾶς ἡ αἰτία·
σκυθρωπῶν ἀναίρεσις
χαῖρε πανάμωμε.

**Π**ειρασμῶν με τὸ κύτος
νῦν ἐκταράττει
καὶ νέφος τρικυμιῶν ἀμετρήτων·
ἀλλ' ἡ φῶς λάμψασα
τοῖς ἐν τῷ σκότει, ἁγνή,
λάμψον μοι τὸ ἄδυτον
καὶ φωτοφόρον σου φέγγος
καὶ χαρᾶς ἐκπλήρωσον
τὴν ταπεινήν μου ψυχήν.

**Ἀ**τιμίας εἰς πάθη
κτήνεσι, σῶτερ,
ἀθλίοις ὁμοιωθεὶς ἐνεπάγην
καὶ τῆς σῆς ἀμέτρου
μακροθυμίας τὸ φῶς
σκότει καλυπτόμενος
οὐ θεωρῶ, πανοικτίρμον,
ἀλλ' οἰκτείρας σῶσόν με
ταῖς τῆς μητρός σου λιταῖς.

Ὠδὴ γ'. Τὸ στερέωμα.

**Χ**αῖρε πυρφόρε
καὶ ἀκατάφλεκτε βάτε
Μωσῆς ἣν τεθέαται μὴ φλογισθεῖσαν
τῷ πυρὶ τῆς ἀπροσίτου θεότητος.

**Χ**αῖρε ἔντιμον
καὶ πολυθαύμαστον κῦδος
καὶ κράτος καὶ καύχημα τῶν βασιλέων·
χαῖρε θεῖον οἰκουμένης ἐντρύφημα.

**Ζ**άλης πάσης με
βιωτικῆς καὶ φροντίδος
καὶ νόσου καὶ θλίψεως, ἄχραντε, ῥῦσαι
τὸν ἐπὶ σὲ πᾶσαν ἐλπίδα τιθέμενον.

**Π**ῶς ἐξέκλινα
τῆς ἀπαγούσης ὁδοῦ με
ζωὴν πρὸς οὐράνιον ἐγὼ ὁ τάλας
καὶ εἰς βάθη τῶν κακῶν περιέπεσα.

Ὠδὴ δ'. Ἐθου πρὸς ἡμᾶς.

**Χ**αίροις τὸ στερρὸν
οἰκουμένης ὄντως κραταίωμα·
χαῖρε θλιβομένων ἡ χαρὰ
καὶ δυστυχούντων θεία ἀνάκλησις·
χαῖρε πανευλόγητε· χαῖρε παρθένων
τὸ σεπτὸν κειμήλιον.

**Χ**αίροις τὸ στερρὸν
καὶ λαμπρὸν τῆς πίστεως γνώρισμα·

χαῖρε τῶν ἀγγέλων χαρμονὴ
καὶ ἀποστόλων στόμα ἀσίγητον·
χαῖρε κλίμαξ ἔμψυχε ζωὴν πρὸς θείαν
τοὺς βροτοὺς ῥυθμίσασα.

***Π***αῦσον τὴν ἀχλὺν
τῶν πολλῶν μου θλίψεων, ἄχραντε,
παῦσον τῶν δεινῶν τὰς προσβολὰς
τῶν ἀλικῶς ἀεὶ συντριβόντων με
καὶ χαρᾶς μου πλήρωσον καὶ εὐφροσύνης
τὴν καρδίαν, πανάχραντε.

***Ο***ἴμοι τῷ πολλὰ
παροργίσαντί σε μόνε μακρόθυμε!
οἴμοι τῷ σὲ φρίττοντι τὴν σὴν
φοβερωτάτην κρίσιν, φιλάνθρωπε!
οἴμοι τὸν πανάθλιον τὸν τὰς κολάσεις
πάσας ἐκδεχόμενον.

Ὠδὴ ε΄. Πρὸς σὲ ὀρθρίζω.

***Χ***αῖρε τῆς Εὔας
λύσασα μόνη τὴν ἀράν·
χαῖρε ἀνύμφευτε μῆτερ καὶ παρθένε·
χαῖρε ζωὴν τοῖς νενεκρωμένοις
βλαστήσασα, Θεόνυμφε.

***Ἡ*** μόνη πύλη
χαῖρε τοῦ πάντων λυτρωτοῦ
ἡ ὑπερέχουσα πάντων τῶν κτισμάτων·
χαῖρε πηγὴ ἀειζώου ῥείθρου·
χαῖρε Παρθένε πάνσεμνε.

***Π***αντοίων ῥῦσαι
πειρατηρίων χαλεπῶν
καὶ πολυπλόκων με βασάνων, Παρθένε·
διό σε προστασίαν ἔχω
καὶ σκέπην καὶ κραταίωμα.

***Κ***ριτήν σε οἶδα,
Δέσποτα, πάνυ φοβερὸν
ἀλλὰ τῶν φαύλων ἀφίσταμαι οὐδόλως
ὡς ἀγαθὸς τῶν βασάνων ῥῦσαι
λιταῖς τῆς κυησάσης σε.

Ὠδὴ στ΄. Ἄβυσσος ἐσχάτη.

***Χ***αῖρε τὴν πλάνην πατήσασα τοῦ δεινοῦ
τῆς ἀπάτης καὶ τὴν κακίαν, Θεόνυμφε,
κοσμοκράτορος ἀμβλύνασα
ἀνθρώπων ἀνόρθωσις
καὶ κατάπτωσις
τῶν κακούργων δαιμόνων.

***Χ***αῖρε ζωῆς ἀπορρήτως τὸν θησαυρὸν
ἡ βλαστήσασα καὶ τοὺς τῷ ᾅδῃ παντελῶς
καθυποκύψαντας,
Παρθένε, ζωώσασα
χαῖρε τὸ στήριγμα
τῶν πιστῶς σε τιμώντων.

***Τ***ὸν ἀπωλείας με εἰς βυθὸν
κατανεύσαντα καὶ τρικυμίαις, παναμωμε,
ἀπολέσθαι κινδυνεύοντα
βοῶντα μὴ παρίδῃς
σῶσον, ἁγνή, καὶ ῥῦσαι
πολυειδῶν με βασάνων.

***Ρ***αθύμως πᾶσάν μου τὴν ζωὴν
ἐξετέλεσα εἰς νοῦν λαμβάνων οὐδαμῶς
τὴν σὴν κρίσιν, παντοδύναμε,
ἰδοὺ λοιπὸν ἐγγίζει
ἡ ἐκτομή· ἀλλ' οἴκτειρον
πρὸ τοῦ τέλους με, σῶτερ.

## ΚΑΘΙΣΜΑ

### ***Ἦχος γ΄. Τὴν ὡραιότητα.***

***Ἅ***πας ὁ βίος μου
ἐν ῥαθυμίᾳ πολλῇ
διῆλθε, πάναγνε,
καὶ νῦν προσήγγισα
τῷ τῆς ἐξόδου μου καιρῷ
καὶ δέδοικα τοὺς ἐχθρούς μου
μὴ διασπαράξωσι
τὴν ψυχήν μου, πανάμωμε,
καὶ τῆς ἀπωλείας με
τῷ βυθῷ παραπέμψωσιν·
ἀλλ' οἴκτειρον τὸν δοῦλόν σου, κόρη,
καὶ ῥῦσαί με τῆς τούτων κακώσεως.

Ὠδὴ ζ΄. Τὸ πρὶν εἰκόνι τῇ χρυσῇ.

***Χ***αῖρε τὴν πέτραν τῆς ζωῆς
ἐν γαστρὶ χωρήσασα·
χαῖρε μήτηρ ἀπειρόγαμε·
χαῖρε τεῖχος καὶ σκέπη τοῖς βοῶσι
τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.



***Χ***αῖρε τὸν ἥλιον, ἁγνή,
τὸν λαμπρὸν εἰσάξασα
τοῖς ἐν κόσμῳ, πανύμνητε·
χαῖρε κράτος καὶ θάρσος τοῖς βοῶσι
τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.

***Ἀ***πὸ πασῶν με συμφορῶν
ἐξελοῦ τὸν ἄθλιον,
παντευλόγητε Δέσποινα,
ἵνα κράζω σωζόμενος ἐν πίστει
τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.

***Ἄ***πειρα παίσας σοι, Χριστέ,
ἀπείρους ἐκδέχομαι
τὰς κολάσεις ὁ ἄθλιος
ἀλλὰ τούτων ῥῦσαί με, πανοικτίρμον,
ταῖς πρεσβείαις τῆς ἀσπόρως σε τεκούσης.

Ὠδὴ η΄. Τὸν ἐν φλογὶ τοῖς παισί.

***Ἵ***να χαρᾶς ἀπορρήτου τὰ πάντα
ἐμφορηθῶσι χαῖρέ σοι τῇ Παρθένῳ
Γαβριὴλ ἐκόμισε
χαῖρε μήτηρ κραυγάζων
τοῦ Θεοῦ τοῦ ὄντος
εἰς πάντας τοὺς αἰῶνας.

***Ὡ***ς τοῦ Θεοῦ ἀληθῆ σε μητέρα
πάντες τιμῶντες σοὶ βοῶμεν ἐμφρόνως·
χαῖρε νύμφη ἄμωμε·
χαῖρε σκέπη τοῦ κόσμου·
χαῖρε τῶν περάτων
ἐλπὶς καὶ προστασία.

***Ἀ***παγωγῆς προνομῆς καὶ δουλείας
ῥῦσαί με, κόρη, τὸν εἰς σὲ πεποιθότα·
ἄλλην γὰρ οὐ κέκτημαι
ὁ πανάθλιος σκέπην
τεῖχος καὶ προστάτιν
καὶ ῥύστιν ἐν ἀνάγκαις.

***Ν***εοποιεῖς νεουργὸν τετοκυῖα
τοὺς γηγενεῖς, παναγία Παρθένε,
τῷ υἱῷ σου κράζοντας
μετὰ πόθου καρδίας
σὲ ὑπερυψοῦμεν,
Χριστέ, εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἐν νόμῳ σκιᾷ.

***Ν***αὸς τοῦ Θεοῦ εὐρύχωρος
καὶ οἶκος ἀνεδείχθης σεπτός,
Παρθένε παναγία, ὅθεν χαῖρε
πάντες οἱ πιστοὶ
ἀναβοῶμέν σοι μόνῃ
χαῖρε ἀνύμφευτε νύμφη·
χαῖρε κοσμόσωστε λιμήν·
χαῖρε σκέπη τῶν ψυχῶν ἡμῶν.

***Ἡ*** ἔμψυχος χαῖρε τράπεζα
καὶ κλίνη φωτεινόμορφε
ἐν ᾗ περ ἀνεκλίθη ὁ τῶν ὅλων,
κόρη, βασιλεὺς
καὶ τοὺς τῇ πλάνῃ καμόντας
τοῦ παλαιοῦ πτερνιστοῦ
διαναπαύσας ὡς Θεὸς
καὶ εἰρήνην δωρησάμενος.

***Σ***ύ μου τὴν ζωὴν κυβέρνησον
καὶ τὴν καρδίαν πλῆσον χαρᾶς
σὺ λῦσον τὰς ὠδίνας τῶν ἀμέτρων,
κόρη, στεναγμῶν
καὶ τὴν πικρίαν μου πᾶσαν
τὴν τῆς ψυχῆς, ἀγαθή,
εἰς εὐφροσύνην καὶ χαράν,
παναγία, μεταρρύθμισον.

***Θ***εὲ τοῦ παντὸς καὶ Κύριε,
λιταῖς τῆς σῆς ἀφθόρου μητρὸς
ἐλέησον τὸ πλάσμα τῶν ἀχράντων,
Λόγε, σου χειρῶν
ὑπὸ ἐχθρῶν ἀλαζόνων
πολιορκούμενον
ὡς κραταιὸς καὶ δυνάστης
καὶ φιλάνθρωπος Θεὸς ἡμῶν.

# 94

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τῇ η´ καὶ θ´ ᾠδῇ « ***Ἰωάννης Θ.*** »

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΘΗΚΑΡΑ

Κῶδ. Ι 39 Λαύρας.

**Ἦχος γ´. Ὠδὴ α´. Ἆσμα καινόν.**

**Χ**αῖρε σεμνὴ
μήτηρ τοῦ Θεοῦ·
χαῖρε Κυρία τοῦ κόσμου
καὶ προστασία θερμή·
χαῖρε θεοδόξαστε·
χαῖρε φωτεινότατον παλάτιον
τοῦ πάντων ἄνακτος.

**Χ**αῖρε πηγὴ
ῥείθρου ζωηροῦ·
χαῖρε βροτῶν σωτηρία
καὶ καταφύγιον·
χαῖρε παναχήρατε·
χαῖρε εὐωδέστατον θυμίαμα
καὶ μύρον τίμιον.

**Σ**ὲ τῆς ζωῆς
πύργον ἀσφαλῆ
σὲ καὶ προστάτιν
καὶ σκέπην φέρω, ἁγνή,
σύ μου καταστόρεσον
πειρασμῶν καὶ θλίψεων τὰ κύματα
ὅπως δοξάζω σε.

**Ὡ**ς ὁ λῃστὴς
μνήσθητι βοῶ
ὡς ὁ Τελώνης κραυγάζω
ἐκ βαθυτάτης ψυχῆς
ὁ Θεὸς ἱλάσθητι
καὶ πασῶν με κολάσεων λύτρωσαι
ὡς ὑπεράγαθος.

Ὠδὴ γ´. Τόξον ἔθραυσας.

**Χ**αῖρε φῶς τὸ ἐκ φωτὸς
ὑπερφυῶς ἐκλάμψασα
ἐν τῷ κόσμῳ, Δέσποινα ἁγνή·
χαῖρε τεῖχος τῶν πιστῶν
καὶ στερρὸν ἑδραίωμα.

**Ἐ**κ πασῶν με συμφορῶν
καὶ πειρασμῶν ἐξάγαγε
καὶ κινδύνων τὸν ἐπὶ τὴν σὴν
ἀλοψύχως κραταιὰν
τρέχοντα ἀντίληψιν.

**Χ**αῖρε πύλη τῆς ζωῆς·
χαῖρε πιστὰς ὁλόφωτε
τοῦ ὑψίστου· χαῖρε λυτρωτὴν
αἰχμαλώτων ἀληθῶς
τέξασα, Θεώνυμφε.

**Φ**ρίττω, μόνε βασιλεῦ,
τὴν φοβεράν σου κρίσιν
εἰς νοῦν λαμβάνων· ἀλλὰ πρὸ θανῆς
ταῖς λιταῖς τῆς σῆς μητρὸς
οἴκτειρον καὶ σῶσόν με.

Ὠδὴ δ´. Τὸ ξένον καὶ ἀπόρρητον.

**Χ**αῖρε παρθένων ὡράϊσμα·
πανένδοξε χαῖρε ἄφθορε
ἄχραντε σκηνὴ τοῦ Λόγου·
χαῖρε πιστῶν τὸ διάσωσμα·
χαῖρε κόσμου προπύργιον ἄσειστον.

**Χ**αῖρε μητέρων τίμιον
ἀγλάϊσμα, πανάμωμε·
χαῖρε πάγχρυσον τοῦ κτίστου σκεῦος·
χαῖρε ἁγνείας οἴκημα
καὶ βροτῶν πρὸς Θεὸν ἱλαστήριον.



**Ὡ**ς ὄμβρος ἐν τῇ μήτρᾳ σου
κατῆλθεν ὁ ὑπέρθεος
ὃν δυσώπησον ξηράναι, κόρη,
τὰ τῶν παθῶν μου ῥεύματα
καὶ πρὸς φῶς ἀπαθείας ἰθῦναι με.

**Ἰ**σχύϊ σου, κατάρραξον
τὴν ἐπηρμένην δύναμιν
τῶν βεβήλων ἐχθρῶν, Θεομῆτορ,
καὶ τῷ λαῷ σου δώρησαι
τὰ τῆς νίκης ἀήττητα τρόπαια.

Ὠδὴ ε´. Ἐπὶ τῆς γῆς ὁ ἀόρατος.

**Χ**αῖρε Θεοῦ
φωτεινότατε δόμε·
χαῖρε σκιὰν
ἡ παύσασα τοῦ νόμου
Χριστὸν κυήσασα
τὸν τοῦ νόμου πάροχον,
Θεοτόκε παναμώμητε.

**Χ**αῖρε χρωτὸς
τοῦ ἐμοῦ θεραπεία·
χαῖρε βροτῶν
ἀντίληψις καὶ σκέπη
ἀκαταμάχητε·
χαῖρε θεία εἴσοδος
τῶν πιστῶν, Θεοχαρίτωτε.

**Ἡ** τῶν ἐχθρῶν
τυραννίς με βιάζει
καὶ συμφορῶν
τὸ πλῆθος συνταράττει
τὸν δυστυχέστατον,
Παναγία, πρόφθασον
καὶ βοήθει μοι τῷ δούλῳ σου.

**Ο**ἴμοι! ψυχὴ
πῶς οὐ τρέμεις τὴν κρίσιν
τοῦ φοβεροῦ
καὶ κριτοῦ βασιλέως
ἄμετρα πταίσασα;
σπεῦσον διεγέρθητι
καὶ πρὸ τέλους μετανόησον.

Ὠδὴ στ´. Σκηνώσεως Ἰωνᾶς.

**Ἀ**γγέλων χαῖρε χαρὰ
καὶ τῶν ὀρθοδόξων ὄντως
σεβάσμιον καύχημα,
παναγία κόρη, καὶ πάντων
τῶν δυσμενῶν ὀλεθρία κατάπτωσις.

**Ἡ** πάντων χαῖρε χαρὰ
τῶν ἐν περιστάσει ὄντων
καὶ θλίψει, πανύμνητε,
καὶ τῶν ἐν ἀνάγκαις καὶ πάντων
τῶν ἐν σοὶ πεποιθότων βοήθεια.

**Β**οήθειαν κατ᾽ ἐχθρῶν
σὲ καὶ τῆς ζωῆς ἀσφαλῆ
προστάτιν ἐπίσταμαι·
διὸ μή με παρίδῃς ἀλλ᾽ οἴκτειρον
καὶ χαρᾶς τὴν καρδίαν μου πλήρωσον.

**Π**ληθὺς συνέχει δεινῶν
συμφορῶν καὶ θλίψεων
τὸν πανάθλιον δοῦλόν σου
ἡ Θεὸν τεκοῦσα ἐλεύθερον
ἐκ πάντων τῶν λυπούντων με ποίησον.

## ΚΑΘΙΣΜΑ

**Ἦχος γ´. Τὴν ὡραιότητα.**

**Τ**ὸν ἐλεήμονα
Θεὸν ἡ τέξασα
τοὺς καταφεύγοντας
ὑπὸ τὴν σκέπην σου
καὶ αἰτουμένους ἐκ ψυχῆς
τὴν θείαν σου ἀντίληψιν,
Δέσποινα, οἰκτείρησον
καὶ ἐλέους ἀξίωσον
ὅτε παριστάμεθα
τῷ Δεσπότῃ τῆς κτίσεως
καὶ λύτρωσαι πυρὸς αἰωνίου
καὶ πάσης, ἁγνή, κατακρίσεως.

Ὠδὴ στ´. Σαβαρὸς ὁ τύραννος.

**Χ**αῖρε πάντων ἄνασσα
τῶν κτισμάτων, ἄχραντε Δέσποινα,
χαῖρε νυμφὼν ὁλόφωτε·
χαῖρε κογχύλη πορφύραν βάψασα
ἐκ σῶν αἱμάτων ἄμωμε
τῷ Θεῷ τῶν πατέρων ἡμῶν.

**Χ**αῖρε στύλε πύρινε
καὶ νεφέλη ὄντως ὑπέρφωτε·

χαῖρε παστὰς ἀμόλυντε·
χαῖρε τοῦ Λόγου πύρινον ὄχημα·
χαῖρε αὐγὴ ἡ λάμψασα
τὴν λαμπρὰν ἡμέραν τοῖς πέρασιν.

**Ἀ**πὸ πάσης ῥῦσαί με
συμφορᾶς τὸν ἄθλιον δοῦλόν σου·
ἐπὶ σὲ γὰρ κατέφυγα
τὴν κραταιὰν βοήθειαν, ἄχραντε,
καὶ σὲ προστάτιν κέκτημαι
τῆς ζωῆς ἀκαταίσχυντον.

**Σ**οβαροὶ οἱ θλίβοντες
καὶ πικροὶ τὴν γνώμην καὶ βέβηλοι·
ὥσπερ γὰρ θῆρες ἄγριοι
ἐπιζητοῦσι διασπαράξαι με
οὓς τῷ ἀμάχῳ κράτει σου
διὰ τάχους ῥῆξον, Θεόνυμφε.

Ὠδὴ η΄. Ἐνύλου φλόγα πυρός.

**Ἰ**δού σοι χαρμονικῶς
χαῖρε πάντες ἀνακράζομεν
οἱ σεσωσμένοι τῷ τόκῳ σου, ἄχραντε,
μόνη χαῖρε μήτηρ ὑψίστου, Παρθένε ἀμόλυντε·
χαῖρε τῶν περάτων ἐλπὶς καὶ προστασία.

**Ὡ**ς ἄλλην σε κιβωτὸν
διασώσασαν, πανύμνητε,
κατακλυσμοῦ ἁμαρτίας τὰ σύμπαντα
ἐγνωκότες χαῖρέ σοι πάντες οἱ δοῦλοί σου κράζομεν
ἀνυμνολογοῦντες Χριστὸν εἰς τοὺς αἰῶνας.

**Ἀ**πὸ παντὸς πειρασμοῦ
ἀπὸ πάσης περιστάσεως
ἀπὸ παντοίας κακώσεως, πάναγνε,
ἐξελοῦ με μόνη πεσόντων βεβαία ἀνόρθωσις
ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

**Ν**ὺξ ἀφεγγής με πολλῶν
ἁμαρτιῶν κατεκάλυψεν
ἀλλ' ἡ τὸ φῶς ἀπορρήτως κυήσασα
φώτισόν με ὄρθρον πρὸς θεῖον ἰθύνασα, Δέσποινα,
καὶ τῆς μετανοίας παράσχου μοι τὸ φέγγος.

Ὠδὴ θ΄. Οἱ τῷ γλυκεῖ.

**Ν**αὲ Θεοῦ
καὶ νεφέλη καὶ θρόνε
χαῖρε πανάχραντε·
χαῖρε ἀξιέραστον κάλλος καὶ πάντιμον·
χαῖρε τεῖχος τῶν πιστῶν· χαῖρε
ἡ τὰ κάτω τοῖς ἄνω συνάψασα.

**Ἡ** τῶν πιστῶν
ἀρραγὴς προστασία
χαῖρε Παρθένε ἁγνή·
χαῖρε τὸ παγκόσμιον κάλλος καὶ καύχημα
χαῖρε μήτηρ τοῦ Θεοῦ· χαῖρε
τῶν εἰς σὲ προστρεχόντων ἀντίληψις.

**Σ**ύ μου ἡ χαρὰ
σύ μου σκέπη καὶ τεῖχος
σύ μου ἰσχὺς κραταιὰ
σύ μου ἑτοιμότατος ῥύστις ἐν θλίψεσι
σύ, πανάμωμε, καὶ νῦν ἐκ πασῶν με
συμφορῶν καὶ κινδύνων διάσωσον.

**Θ**ραῦσον ἰσχὺν
ἐπηρμένην, Παρθένε,
τῶν ἀλαζόνων ἐχθρῶν
τοὺς δὲ σοὺς οἰκέτας περιέσωζε πάντοτε
ὅπως θείαις φωναῖς πάντες σε
ὡς εὐεργέτιν μεγαλύνωμεν.



# 95

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς ἐν τῇ η΄ καὶ θ΄ ᾠδῇ « ***Ἰωάννης Θ.*** »

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ ΤΟΥ ΘΗΚΑΡΑ

Κῶδ. Ι 30 Λαύρας.

***Ἦχος γ΄. Ὠδὴ α΄. Φαραὼ τὰ ἅρματα.***

**Χ**αῖρε ὄρος ἅγιον·
χαῖρε παστὰς ὁλόφωτε·
χαῖρε τόπε ἁγιάσματος
Παρθένε ἀμόλυντε· χαῖρε ὄχημα
τοῦ κτίστου, Θεομῆτορ.

**Χ**αῖρε στάμνε πάγχρυσε
ἔνδον τὸ μάννα φέρουσα·
χαῖρε κογχύλη βάψασα
ἁγνὴν ἐξ αἱμάτων σου τῷ Κυρίῳ
θεόϋφαντον πορφύραν.

**Ρ**υομένη πάντων με
ἐκλύτρωσον, πανύμνητε
κινδύνων καὶ θλίψεων
ἐχθρῶν πολεμούντων με, περιστάσεως
καὶ ζάλης καὶ θανάτου.

**Μ**ὴ παρίδῃς δέομαι
βυθῷ πταισμάτων, Δέσποινα,
ἀμέτρων συνεχόμενον·
ἀλλ' οἴκτειρον σῶσόν με μητρικαῖς σου
ἐντεύξεσι, Παρθένε.

Ὠδὴ γ΄. Στεῖρα ψυχὴ καὶ ἄγονε.

**Χ**αῖρε δοχεῖον ἄχραντον
τοῦ ἀνεσπέρου φωτός·
χαῖρε ἀστὴρ πολύφωτε·
χαῖρε ἀμόλυντε Παρθένε ἁγνὴ
παρθένων καύχημα
μητέρων ἔνδοξον
κλέος, πάνσεμνε.

**Χ**αῖρε σκηνὴ ἀμίαντε
τοῦ τῶν ἁπάντων Θεοῦ·
χαῖρε ζωῆς θησαύρισμα·
χαῖρε ἀπείρανδρε Παρθένε ἁγνή·
ἀγγέλων καύχημα
ἀνθρώπων ἄσειστον
τεῖχος, Δέσποινα.

**Τ**ὰ λυπηρὰ τοῦ δούλου σου
μετάβαλε εἰς χαρὰν
καὶ τὸν χειμῶνα κόπασον
τῶν ἀμετρήτων καὶ δεινῶν συμφορῶν·
καὶ γὰρ οὐ κέκτημαι
προστάτην ἕτερον
πλήν σου, ἄχραντε.

**Ἐ**ν τῇ μελλούσῃ κρίσει με,
μῆτερ τῆς ὄντως ζωῆς,
κολαστηρίων λύτρωσαι
τῶν μενόντων με, τῆς ζωῆς ἀληθῶς
ἄχραντε Δέσποινα,
θείᾳ ἐντεύξει σου
πύλας ἄνοιξον.

Ὠδὴ δ΄. Τὸ κατάσκιον ὄρος.

**Χ**αῖρε ἅγιον ὄρος
ὃ Δανιὴλ προεώρα
ἐξ οὗ ἐτμήθη λίθος Χριστὸς
τὰ τῆς πλάνης εἴδωλα
ὡς βασιλεὺς θλάττων καὶ Θεὸς
καὶ τῆς πλάνης ἀπαλλάξας
τῶν ἀνθρώπων τὸ γένος.

**Χ**αῖρε πύλη Κυρίου
ἣν ἀδιόδευτον πάλαι
καὶ κεκλεισμένην εἶδεν, ἁγνή,
προφήτης τῷ πνεύματι·
τὸ τῶν πιστῶν χαῖρε ἀσφαλὲς
καταφύγιον μόνη
προστασία τοῦ κόσμου.

**Τ**ὸν εἰς βάθη πεσόντα
νῦν πολυπλόκων κινδύνων
καὶ συμφορῶν τοῦ βίου πυκνῶν
ἐμὲ τὸν δυστυχέστατον
μὴ παρίδῃς, Δέσποινα ἁγνή,
ἀλλ' ἀνάγαγε καὶ ῥῦσαι
ὡς θερμή μου προστάτις.

**Ἐ**ννοῶν μου τὰ πλήθη
τῶν ἀμετρήτων πταισμάτων
σοῦ βῆμα τὸ φρικτὸν βασιλεῦ
πτοοῦμαι ὁ πανάθλιος
μηδ' ὁτιοῦν πράξας ἀγαθὸν
ἀλλ' ὡς εὔσπλαγχνος λιταῖς με
τῆς τεκούσης σε σῶσον.

Ὠδὴ ε'. Πρὸς σὲ ὀρθρίζω.

**Χ**αῖρε προστάτις
κόσμου καὶ σκέπη κραταιά·
χαῖρε ἡ εὔκαρπος χώρα, Θεομῆτορ,
χαῖρε σεμνὴ ἀσθενούντων ἄκος
καὶ ταχινὴ ἐπίσκεψις.

**Χ**αῖρε πενήτων
πλοῦτος καὶ θάρρος ἀσφαλὲς
τῶν δυστυχούντων καὶ θεία προστασία
χριστιανῶν χαῖρε μέγα τεῖχος
καὶ σκέπη τῶν ὑμνούντων σε.

**Σ**ύ μου τὸν πόθον
οἶδας, Παρθένε, τῆς ψυχῆς
ὃν ἐπιφέρω πρὸς σέ, Θεοκυῆτορ,
σύ με πάντων ἐξελοῦ κινδύνων
καὶ θλίψεων τὸν δοῦλόν σου.

**Ὡ**ς ἄλλον ἄπνουν
κείμενον Λάζαρόν με νῦν
καὶ σεσηπότα ἀνάστησον ἐκ τάφου
ἐκ τάφου ἁμαρτιῶν ὡς οἰκτίρμων
λιταῖς τῆς κυησάσης σε.

Ὠδὴ στ'. Βυθός μοι τῶν παθῶν.

**Τ**ὸ χαῖρε Γαβριὴλ ἐπεφώνει,
Παρθένε, σοὶ τῇ πάντων Δεσποίνῃ
χαῖρε ὑψίστου λαμπρὸν
σκήνωμα καὶ πάγχρυσον
οἰκητήριον, κόρη.

**Τ**ὸ πάντων καταφύγιον χαῖρε
ἀνθρώπων, Θεοτόκε Παρθένε,
χαῖρε χρυσῆ κιβωτέ·
χαῖρε ἀμνὰς κυήσασα
τὸν ἀμνὸν καὶ ποιμένα.

**Β**υθός μοι τῶν παθῶν ἐπανέστη
καὶ ζάλη ἀμετρήτων πταισμάτων·
ἀλλὰ προφθάσασα σὺ
σῶσον, ἁγνή, καὶ ῥῦσαί με
ἀπὸ πάσης ἀνάγκης.

**Ὡ**ς πάλαι Φαραὼ τοῦ τυράννου
δουλείας Ἰσραὴλ διεσώσω
οὕτως, οἰκτίρμον, καὶ νῦν
σῶσον ἡμᾶς καὶ λύτρωσαι
ἐνοχῆς τῶν τυράννων.

## ΚΑΘΙΣΜΑ

### *Ἦχος γ'. Θείας πίστεως.*

**Θ**είας φύσεως οὐκ ἐχωρίσθη
σὰρξ γενόμενος ἐν τῇ γαστρί σου
ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν
ὁ μετὰ τόκον μητέρα Παρθένον σε
ὡς πρὸ τοῦ τόκου φυλάξας πανάμωμον
μόνος Κύριος αὐτὸν ἐκτενῶς ἱκέτευε
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ὠδὴ ζ'. Τὸ πρὶν εἰκόνι.

**Χ**αῖρε ἀκοίμητε λαμπὰς
καὶ θρόνε πυρίμορφε
τοῦ τῶν ὅλων δεσπόζοντος·
χαῖρε δόξα καὶ κλέος τοῖς βοῶσι
τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.

**Χ**αῖρε παλάτιον χρυσοῦν
καὶ ἔνδοξον ὄχημα
τοῦ πάντων βασιλεύοντος·
χαῖρε τεῖχος καὶ σκέπη τοῖς βοῶσι
τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.

**Ἀ**πὸ πασῶν με συμφορῶν
ἐξελοῦ καὶ θλίψεων
τὸν οἰκέτην σου, Δέσποινα,
ἵνα κράζω σωζόμενος ἐν πίστει
τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.



**Ἐ**ν τῇ μελλούσῃ σου φρικτῇ
παρουσίᾳ, Δέσποτα,
δεξιοῖς συναρίθμησον
τὸν σὸν δοῦλον προβάτοις ὡς οἰκτίρμον
ταῖς λιταῖς τῆς ὑπὲρ νοῦν κυησάσης σε.

Ὠδὴ η'. Βαβυλωνία κάμινος.

**Ἰ**οῦ θανατηφόρου με
τὸν δοῦλόν σου λύτρωσαι
ὅπως χαριστήριον ᾠδὴν
ἐκβοήσω σοι, ἄχραντε,
χαῖρε τῆς ἐκκλησίας τεῖχος ἀπόρθητον·
χαῖρε σκέπη τοῦ κόσμου καὶ ὅπλον ἄρρηκτον.

**Ὡ**ς ἔντιμον παράδεισον
ζωῆς ξύλον φέρουσα
ἅπαντες πιστοὶ περιχαρῶς
ἀνακράζομεν, Δέσποινα,
χαῖρε τῆς βασιλείας πύργος ἀσάλευτος·
χαῖρε ἄκος νοσούντων καὶ πάντων προσφύγιον.

**Ἀ**πὸ πασῶν με θλίψεων
κινδύνων καὶ μάστιγος
ζάλης καὶ ὀργῆς ἀνηλεοῦς
καὶ θυμοῦ ἐλευθέρωσον
τὸν ἄθλιον, Παρθένε, καὶ μὴ παρίδῃς με·
οὐ γὰρ κέκτημαι πλήν σου βοήθειαν, ἄχραντε.

**Ν**ενεκρωμένην κέκτημαι
ψυχὴν ὁ ταλαίπωρος
πάθεσιν ἀτόποις· ἀλλὰ σὺ
ἡ τὸν ᾅδην πατήσασα
ζωὴν ὡς τετοκυῖα τὴν ἀτελεύτητον
πρὸς ζωὴν τὴν ἀγήρω, σεμνή, μεταρρύθμισον.

Ὠδὴ θ'. Ἐν Σιναίῳ τῷ ὄρει.

**Ν**εουργὸν τῆς ζωῆς ἡμῶν φέρουσα
χαῖρε πάνσεμνε ἁγνὴ
κακουργούντων ἐχθρῶν ὀλετήριον
χαῖρε ἄχραντε δι' ἧς
ἐνεκρώθη ὁ ᾅδης
ὁ θάνατος ὤλετο·
χαῖρε ἀνύμφευτε·
χαῖρε θρόνε πύρινε
τοῦ παντοκράτορος.

**Ἡ** τὸν στάχυν τὸν θεῖον βλαστήσασα
χαῖρε ἄσπιλε ἁγνὴ
ἡ ἀνάστασιν πᾶσιν ἐκλάμψασα
χαῖρε πάναγνε δι' ἧς
ἐνεδύθημεν δόξαν
φθορᾶς ἀπηλλάγημεν·
χαῖρε ἀπείρανδρε·
χαῖρε ἀπειρόγαμε
κόσμου διάσωσμα.

**Σ**ύ μου στόρεσον ἅπαν κλυδώνιον
πολυτρόπων συμφορῶν
σὺ χαρᾶς τὴν καρδίαν μου πλήρωσον
πᾶσαν λύπην ἀπ' ἐμοῦ
ἐκδιώκουσα, κόρη,
τὰς νόσους ἀπέλασον
τὰ δάκρυα κόπασον
ἡ χαρὰν πηγάζουσα
τοῖς σοῖς δούλοις ἀεί.

**Θ**ελητὴν τοῦ ἐλέους, πανάμωμε,
ὃν ἐκύησας, ἁγνή,
ἐκδυσώπησον πάντας τοὺς δούλους σου
τοῦ ῥυσθῆναι χαλεπῶν
πειρασμῶν καὶ κινδύνων
ἐξ ἐχθρῶν κακώσεως
πάσης κολάσεως
τῆς ἀδιαδόχου δὲ
ἀπολαῦσαι ζωῆς.

# 96

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ[1]

οὗ ἡ ἀκροστιχίς

« Τῇ Παρθένῳ μέλισμα ἐξάδω τρίτον Μανουήλ ».

ΠΟΙΗΜΑ ΜΑΝΟΥΗΛ ΤΟΥ ΜΕΓΑΛΟΥ ΡΗΤΟΡΟΣ

Κώδ. 54
Ἰωασαφαίων.

***Ἦχος γ΄. Ὠδὴ α΄. Ὁ τὰ ὕδατα πάλαι.***

**Τ**ὸν βυθὸν ὡς τεκοῦσα
τῆς ἀμέτρου σοφίας,
εὐλογημένη Μαρία,
φωτισμὸν δίδου μοι
καὶ λόγον ἔμπνευσον νῦν
ὅπως ἀνυμνήσω σου
τὰ παμφαῆ μεγαλεῖα
ἅπερ σοι ὁ Κύριος,
κόρη, ἐποίησεν.

**Ἡ** θανάτου τὸ κέντρον
καὶ ἰταμότητα ᾅδου
καταβαλοῦσα τελείως
τοκετῷ, πάναγνε,
ὑπεραγίῳ τῷ σῷ
καὶ ἡμᾶς ζωώσασα
δόξα τοῖς σοῖς μεγαλείοις
ἅπερ σοι ὁ Κύριος,
κόρη, ἐποίησεν.

**Π**αμφαεστάτη λύχνη
ἐξ ἧς πυρσὸς ἀναλάμψας
μέγας προῆλθεν ἀρρήτως
καὶ πιστοὺς ηὔγασε
καὶ τῶν δαιμόνων βωμοὺς
πάντας κατενέπρησε
δόξα τοῖς σοῖς μεγαλείοις
ἅπερ σοι ὁ Κύριος,
κόρη, ἐποίησεν.

**Ἀ**νεζώωσας Εὔαν
καὶ Ἀδὰμ τεθνηκότας
τῇ δεινῇ παραβάσει
τὴν πηγὴν τῆς ζωῆς
ἀποτεκοῦσα Χριστὸν
τὸν ὄντως Θεὸν ἡμῶν·
δόξα τοῖς σοῖς μεγαλείοις
ἅπερ σοι ὁ Κύριος,
κόρη, ἐποίησεν.

Ὠδὴ γ΄. Ὁ ἐκ μὴ ὄντων.

**Ρ**ύου κινδύνων παντοίων καὶ συμφορῶν
τοὺς ὑμνοῦντας, Δέσποινα,
τὸν πανάγιον τόκον σου·
ἔχεις γὰρ τὸ δύνασθαι
σοῦ τῇ θελήσει, ἁγνή, ἰσοτάλαντον.

**Θ**αυμάστωσόν σου τὰ πλούσια ἐπ' ἐμὲ
ἐλέη καὶ χεῖρά μοι
βοηθείας χορήγησον·
ἔχεις γὰρ τὸ δύνασθαι
σοῦ τῇ θελήσει, ἁγνή, ἰσοτάλαντον.

**Ἐ**πλήγωσάν με τὰ βέλη τοῦ δυσμενοῦς
ἀλλὰ θείᾳ νεύσει σου
ἐν ὑγείᾳ βελτίωσον·
ἔχεις γὰρ τὸ δύνασθαι
σοῦ τῇ θελήσει, ἁγνή, ἰσοτάλαντον.

**Ν**οῦν ὑποτάξας κινήσεσι τῆς σαρκὸς
ἀχλύος ἐμπέπλησμαι·
σὺ δὲ κάθαρον λάμπρυνον·
ἔχεις γὰρ τὸ δύνασθαι
σοῦ τῇ θελήσει, ἁγνή, ἰσοτάλαντον.

1) Εὕρηται καὶ ἐν τῷ Θεοτοκαρίῳ Νικοδήμου σ. 33 (ἔκδοσις Ἀθηνῶν 1906).



Ὠδὴ δ΄. Ἔθου πρὸς ἡμᾶς.

**Μ**έσον τοῦ Θεοῦ
καὶ βροτῶν ἐγένου, πανύμνητε,
καὶ τοῦ πλάστου ἐξοικειωθὲν
τὸ πλάσμα ὑπερφυῶς κατήλλαξας·
ὅθεν ἐκβοῶμέν σοι χαῖρε· σοῖς δούλοις
πᾶσι σωτηρίαν πρυτανεύουσα.

**Ἔ**νθες χαρμονὴν
τῇ πολυωδύνῳ καρδίᾳ μου
κατακρατηθείσῃ λυπηροῖς
τοῦ εἰς τὸν κόσμον τὸν φθόνον σπείραντος
ὅπως, κόρη, μέλπω σοι χαῖρε· σοῖς δούλοις
πᾶσι σωτηρίαν πυρσεύουσα.

**Λ**ύτρωσαι δεινῶν
τῶν περικυκλούντων με, πάναγνε,
καὶ μηδὲ ἐώντων μου τὸν νοῦν
ἔμνους ὑφαίνειν τῇ θείᾳ δόξῃ σου
ἵνα πόθῳ κράζω σοι χαῖρε· σοῖς δούλοις
πᾶσι σωτηρίαν πυρσεύουσα.

**Ἵ**λεων ἡμῖν
ταῖς σαῖς ἱκεσίαις ἀπέργασαι,
κόρη, τὸν υἱόν σου καὶ Θεὸν
ἵνα ῥυσθῶμεν ὀργῆς καὶ θλίψεως
καὶ σοὶ ἀεὶ κράζομεν χαῖρε· σοῖς δούλοις
πᾶσι σωτηρίαν πυρσεύουσα.

Ὠδὴ ε΄. Πρὸς σὲ ὀρθρίζω.

**Σ**τοιχείων κρᾶσιν
πρὸς ὑγιᾶ δούλου τοῦ σοῦ,
κόρη, κατάστασιν εὐχαῖς σου ποίησον·
σὺ γὰρ τὴν ζωὴν τὴν ἀΐδιον
τῷ κόσμῳ ἐξανέτειλας.

**Μ**ὴ μετελθέτω
λοιμώδης νόσος σὸν λαὸν
ἀλλ' ὡς φιλεύσπλαγχνος ἄτρωτον φύλαξον·
σὺ γὰρ τὴν ζωὴν τὴν ἀΐδιον
τῷ κόσμῳ ἐξανέτειλας.

**Ἄ**χραντε κόρη
νόσων παντοίων με δοῦλον τὸν σὸν
ἀπάλλαξον καὶ περιφρούρησον·
σὺ γὰρ τὴν ζωὴν τὴν ἀΐδιον
τῷ κόσμῳ ἐξανέτειλας.

**Ἐ**ν κλίνῃ νόσου
κατ' ἄμφω κείμενον, ἁγνή,
θᾶττόν με ἔγειρον τῇ εὐσπλαγχνίᾳ σου·
σὺ γὰρ τὴν ζωὴν τὴν ἀΐδιον
τῷ κόσμῳ ἐξανέτειλας.

Ὠδὴ ς΄. Ἄβυσσος ἐσχάτη.

**Ξ**ύλον καὶ φυτόν σε ἀειθαλὲς
ἔγνωμεν, κόρη, τὴν ζωὴν ἐξανθήσασαν
Χριστὸν τὸν Θεὸν ἡμῶν
τὸν ποταμὸν τοῦ ἐλέους·
ὅθεν Θεοτόκον σε
κυρίως σέβομεν.

**Ἄ**φλεκτον τὴν βάτον ἐν τῷ Σινᾷ
τῆς σῆς λοχείας, ἁγνή, τύπος ἐφύλαξε
καὶ ἡμᾶς τῇ σκέπῃ σου
ἐκ πάσης ῥύου ὀδύνης·
καὶ γὰρ Θεοτόκον σε
κυρίως σέβομεν.

**Δ**άκρυσι προσπίπτω σοι, ἀγαθή,
καὶ ἐκβοῶ σοι ἐλέησόν με, Δέσποινα,
τὸν πολλαῖς ὑπεύθυνον
ἁμαρτίαις καὶ πάθεσιν
ἵν' ὡς Θεοτόκον σε
κυρίως σέβωμαι.

**Ὤ**κησε χαρίτων ἐν σοὶ πηγὴ
διὰ χάριτας νέμεις τοῖς σὲ γεραίρουσι
καὶ ἐμοῦ χαρίτωσον
δαψιλῶς, κόρη, τὴν καρδίαν·
καὶ γὰρ Θεοτόκον σε
κυρίως σέβομαι.

## ΚΑΘΙΣΜΑ

***Ἦχος γ΄. Θείας πίστεως.***

**Θ**ρόνος πάγχρυσος τοῦ βασιλέως
καὶ παράδεισος διηνθισμένος
ἀνεδείχθης, Θεοτόκε πανύμνητε·
τὸν γὰρ Θεὸν ἐν γαστρί σου βαστάσασα
εὐωδιάζεις ἡμῖν θείαις χάρισιν·

ὅθεν ἅπαντες Θεοῦ ἀληθῶς μητέρα σε
κηρύττομεν ἀεὶ καὶ μεγαλύνομεν.

Ὠδὴ ζ'. Ὡς πάλαι τοὺς εὐσεβεῖς.

***Τ***ὸ μέγα χριστιανῶν
σὺ εἶ ἱλαστήριον
πρὸς τὸν Θεὸν καὶ δημιουργὸν
τὸν ἐκ σοῦ ἀφράστως τεχθέντα, ἀγαθή,
καὶ μεσίτις ἄπαυστος·
ὅθεν σοι χαῖρε κράζομεν
δόξης θρόνε ἡλιόμορφε.

***Ρ***άβδος Μωσέως ποτὲ
σὲ προανετύπωσεν
ἐκ τῆς δεινῆς καὶ εἰδωλικῆς
πλάνης πρὸς τὴν θείαν ἀλήθειαν, ἁγνή,
ἡμᾶς ὁδηγήσασα·
διό σοι χαῖρε κράζομεν
δόξης θρόνε ἡλιόμορφε.

***Ἱ***λέωσον μητρικαῖς
λιταῖς σου, πανάμωμε,
τὸν σὸν υἱὸν καὶ Θεὸν ἡμῶν
τοῖς ἁμαρτωλοῖς καὶ ἱκέταις σου ἡμῖν
καὶ νόσων ἀπάλλαξον·
ἀεὶ γὰρ χαῖρε κράζομεν
δόξης θρόνε ἡλιόμορφε.

***Τ***ύποι τὸ πρὶν χερουβὶμ
κιβωτὸν ἐσκίαζον
σοὶ δέ, ἁγνή, ἡ πανσθενουργὸς
ὑψίστου ἰσχὺς ἐπεσκίασε σαφῶς
ὡς ναῷ θεότητος·
διό σοι χαῖρε κράζομεν
δόξης θρόνε ἡλιόμορφε.

Ὠδὴ η'. Ἀσβέστῳ πυρί.

***Ὁ*** θεῖος Δαυὶδ σὸς προπάτωρ
φάσκει ἐλαλήθη περὶ σοῦ δεδοξασμένα
τοῦ Θεοῦ ἡ ἔμψυχος πόλις
δόξαν ἣν ἐπλούτισας
προαγγέλλων· χαῖρε τῆς δόξης τὸ τέ-
[μενος
δι' ἧς ἐδοξάσθη ὁ βασιλεὺς τῆς δόξης.

***Ν***οσοῦντα ψυχὴν καὶ τὸ σῶμα
ἐξ ἀπροσεξίας τῷ ἐλέει σου, Θεομῆτορ,
νῦν ἔγειρον τῆς κλίνης ὅπως
πίστει ἐκβοῶ σοι
πάντοτε· χαῖρε τῆς δόξης τέμενος
δι' ἧς ἐδοξάσθη ὁ βασιλεὺς τῆς δόξης.

***Μ***όνη ἐπὶ σοὶ τὰς ἐλπίδας
τῆς ἐμῆς ἀνέθηκα, Παρθένε, σωτηρίας
καὶ ἐν σοὶ προσδοκῶ ῥυσθῆναι
λύπης καὶ κακώσεως
ὅπως μέλπω χαῖρε τῆς δόξης τὸ τέ-
[μενος
δι' ἧς ἐδοξάσθη ὁ βασιλεὺς τῆς δόξης.

***Ἀ***νάστειλον, πάναγνε κόρη,
τὰς κακὰς ἐχθρῶν ἐφόδους τῇ σῇ δυνάμει
εἰς ἀεί μοι διενοχλούντων
φθόνῳ δολιόφρονι
ἵνα μέλπω χαῖρε τῆς δόξης τὸ τέμενος
δι' ἧς ἐδοξάσθη ὁ βασιλεὺς τῆς δόξης.

Ὠδὴ θ'. Καινὸν τὸ θαῦμα.

***Ν***αμάτων θείων γνώσεως τῆς σῆς
τὴν ἀεὶ διψῶσάν μου ἔμπλησον, κόρη,
ψυχὴν πρὸς πόθον ἰθύνουσα,
ἁγνή, τοῦ υἱοῦ σου
καὶ λυτρουμένη ταύτην ἐπηρείας ἐχ-
[θρῶν
ὁρατῶν ὁμοῦ καὶ ἀοράτων·
νεύσει γὰρ μόνῃ
τῇ σῇ ἀβλαβὴς συντηρηθήσομαι.

***Ὁ*** πάντων κτίστης καὶ δημιουργὸς
κατασκηνώσας ἐν σοὶ ἀρρήτως, κόρη
ἁγνή, οὐσίαν τὴν βρότειον
ἐκάθηρε πᾶσαν
τῆς προπατορικῆς τε καὶ ἀρχαίας ἀρᾶς·
διὸ κἀμὲ ῥῦσαι ἐκ κινδύνων·
νεύσει γὰρ μόνῃ
τῇ σῇ ἀβλαβὴς συντηρηθήσομαι.

***Ὕ***περθεν πάντας σώζεις τῶν δεινῶν
καὶ κακώσεως τῇ κραταιᾷ σου, κόρη,
[χειρὶ
τοὺς πιστῶς ὑμνοῦντάς σου
τὴν θείαν λοχείαν
καὶ ἣν ἐκτήσω δόξαν ἐκ τοῦ πάντων
[Θεοῦ
κἀμὲ νῦν φυλάττοις σε ὑμνοῦντα·



νεύσει γὰρ μόνῃ
τῇ σῇ ἀβλαβὴς συντηρηθήσομαι.

***Λ***αὸς καὶ κλῆρος προσαιτεῖ, ἁγνή,
ὁ χριστώνυμος οἰκετικῶς ἐλέει τῷ σῷ
καὶ τὴν σὴν βοήθειαν
νῦν ἐπικαλεῖται
λοιμώδους νόσου θᾶττον λυτρωθῆναι
[δεινῆς
λιμοῦ τε καὶ δυσμενῶν ἐφόδου·
νεύσει γὰρ μόνῃ
τῇ σῇ ἀβλαβὴς συντηρηθήσεται.

---

## 97

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1)]

οὗ ἡ ἀκροστιχίς

« ***Θρηνεῖν τὸ κέρδος τοῦ βίου καθ' ἡμέραν*** ».

---

ΠΟΙΗΜΑ ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

---

***Ἦχος γ'. Ὠδὴ α'. Χέρσον ἀβυσσοτόκον.***

***Θ***λίψεσι προσπαλαίειν ἐν βίῳ κάλλι-
[στον
εἰς ὠφέλειαν ψυχῆς·
διὰ τοῦτο, Θεοτόκε,
οἱ ἐν θλίψεσιν ὄντες
ἀεί σε βοηθὸν καλοῦμεν
ἀκαταπαύστως κράζοντες,
Δέσποινα, μὴ παρίδῃς
τὴν δέησιν τῶν δούλων σου.

***Ρ***ίζα κακῶν ἁπάντων ἐν βίῳ πέφυκεν
ἡ φιλάργυρος σπουδὴ
ἧς τὸ κέρδος ἀπεδείχθη
τοῦ Ἰούδα ἀγχόνη·
διὸ οἱ τῷ Χριστῷ δουλεύειν
εἰλικρινῶς βουλόμενοι
ῥίψωμεν ταύτην πόρρω
διὰ τῆς Θεομήτορος.

***Ἥ***λιος ὡς ἐν πόλῳ ἄλλος δέδεικται
ἡ ἀκτήμων βιοτὴ
ἀρετῶν κατακοσμοῦσα
τὸν πολύμορφον κύκλον·
διὸ οἱ τῶν παθῶν τῷ σκότει
ἀεὶ συμποδιζόμενοι
ταύτης τῇ φωταυγίᾳ
πρὸς τὴν Παρθένον δράμωμεν.

***Ν***ῦν με ψυχοφθόρων ζάλη κατέλαβε
καὶ ἀτόπων λογισμῶν
καὶ πρὸς βάραθρον καθέλκει
καὶ βυθὸν ἀπωλείας·
σὺ οὖν γενοῦ μοι κυβερνῆτις
καὶ πρὸς λιμένα ἴθυνον
θεῖόν με, Παναγία,
καὶ μακαρίαν εὔκλειαν.

Ὠδὴ γ'. Τὸ στερέωμα.

***Ἐ***λιπάνθημεν
ταῖς ἡδοναῖς ταῖς τοῦ βίου,
πανύμνητε, πάθεσιν οἱ παχυνθέντες
καὶ Θεοῦ τὰς ἐντολὰς κατελίπομεν.

***Ἰ***σχυρώτατον
τῆς βασκανίας τὸ πάθος
ἁπτόμενον, ἄχραντε, καὶ τῶν ἀρίστων
οὐ ῥυσθῆναι δυσωπῶ ταῖς πρεσβείαις
[σου.

---

1) Εὕρηται καὶ ἐν τῷ Θεοτοκαρίῳ Νικοδήμου, σελ. 35 (ἔκδοσις Ἀθηνῶν 1906).

Νηπιόφρονες
οἱ διὰ δόξαν ματαίαν
τὴν ἄσκησιν, ἄχραντε, πεποιημένοι
ὧν μερίδος διὰ σοῦ λυτρωθείημεν.

Τὸν ἐλπίζοντα
καὶ καταφεύγοντα πίστει
πρὸς σέ, Θεονύμφευτε, μὴ ὑπερίδῃς
ἀλλὰ σῶσόν με τὸν δοῦλόν σου δέομαι.

Ὠδὴ δʹ. Ἐκάλυψεν οὐρανούς.

Θράσει με ὁ σατὰν ἐν παραδείσῳ ποτέ,
Θεογεννῆτορ, εἷλεν ὡς
αἰχμάλωτον, Παρθένε·
καὶ νῦν τῇ ὁράσει δὲ
πειρᾶται, ἄχραντε,
συλῆσαι τὸ θεῖον
τῆς ἁγνείας ἔνδυμα
καὶ ἐπενδῦσαι χιτῶνα
τὸν τῆς ἁμαρτίας με.

Κατέπηξεν ὁ ἐχθρὸς ἐν πάσῃ αἰσθήσει μου
τὰς μαγγανείας ἑαυτοῦ,
Παρθένε Θεοτόκε,
καὶ δι᾽ αὐτῶν
καθέλκει με κόρη εἰς θάνατον
ἡ τετοκυῖα τὸν Λόγον
τὸ μέγα κῆτος χειρωσάμενον
ἐκ τῶν αὐτοῦ πολυπλόκων
δικτύων ῥῦσαί με.

Ἐγκάθηται ἐφ᾽ ὁδοῦ σαρκὸς ἐν τοῖς κινήμασι
ὄφις ὁ δόλιος ἐχθρὸς
καὶ ἐπιβάτῃ ᾧ
προσεπιτίθεται
κεντῶν ἀπροσδοκήτως,
Παρθένε, τῷ κέντρῳ
τῶν παθῶν καὶ θάνατον
τὸν ψυχικόν μοι προσάγει·
διὸ βοήθει μοι.

Ῥομφαίᾳ με ἡδονῆς καταβαλεῖν φθονερῶς
ἐπιζητοῦσιν οἱ ἐχθροί·
ἔτειναν γάρ μοι τόξον
ψυχοφθόρον αὐτῶν
καὶ ἐν αὐτῷ ἡτοίμασαν
σκεύη θανάτου
ἐν σιδηρᾷ ῥάβδῳ σου
οὓς κεραμέως ὡς σκεύη
σύντριψον, Δέσποινα.

Ὠδὴ εʹ. Ὡς εἶδεν Ἠσαΐας.

Δολίως με τῷ λείῳ τῆς ἡδονῆς
ὁ δόλιος ἠγκίστρευσε
καὶ ἰχθὺν ὡς ἄφωνον ἐσαγήνευσεν·
ἀλλ᾽ ἔχων φρουράν σε, ἁγνή,
τῶν ἀγκίστρων καὶ δικτύων τῶν αὐτοῦ
ἐν τάχει ῥυσθῆναι
ὁ οἰκέτης σου δέομαι.

Ὁ μέγας ἐν ἰσχύϊ Θεὸς
καὶ ἐν ἐλέει πλούσιος, ἁγνή,
ὁ δι᾽ οἶκτον σάρκα προσλαβόμενος
κράζει μετανοεῖτε ὑμεῖς
καὶ κληρώσασθε τὴν οὐράνιον ζωήν·
ἐγὼ δὲ τοῦ βίου
ταῖς ἡδοναῖς συμφύρομαι.

Συνήφθη τοῖς ἀγγέλοις, ἀγαθή,
ἡ τῶν ἀνθρώπων φύσις ἐν σοί·
ὅθεν πολιτείαν ζηλοῦσιν ἄνθρωποι
ἀγγέλων ἐν παρθενίᾳ
καὶ ἁγνότητι βιοῦντες ἐπὶ γῆς
ὧν περ τῆς μερίδος
ἀξίωσόν με, Δέσποινα.

Τὸ ἄτονον ἐπίστασαι τῆς σαρκὸς
ψυχῆς τε τὴν ὀδύνην, ἁγνή,
καὶ τὸ τοῦ νοός μου σαθρὸν καὶ ἄστατον,
Παρθένε, ἐλέους διὸ
καταξίωσον καὶ χάριτος τῆς σῆς
ἵνα σε δοξάζω
σωζόμενος τῇ σκέπῃ σου.

Ὠδὴ ϛʹ. Ἐβόησέ σοι.

Οὐδόλως φρίττω
οὐδόλως τρέμω
τὴν μυστηρίων μετάληψιν·
διὰ τοῦτο, κόρη,
ἀσθενῶ συνεχῶς ἁμαρτάνων.

Ὑγρὸν τὸν βίον
ὑλώδη τρόπον,
Θεοκυῆτορ, μετέρχομαι·
διὰ τοῦτο ξένος
τῶν Χριστοῦ εἰμι χαρισμάτων.



Βιοῦν οὐ θέλω
ἐστενωμένος
τῶν μοναχῶν νόμοις, Δέσποινα,
καὶ πλατεῖαν τρέχων
εἰς ὁδόν εἰμι ἀπωλείας.

Ἰσχύς μου πᾶσα
καὶ ἡ ἐλπίς μου
φῶς καὶ ζωὴ καὶ παράκλησις
σὺ ὑπάρχεις, κόρη,
διὰ τοῦτο εἰς σὲ προσφεύγω.

# ΚΑΘΙΣΜΑ

**Ἦχος γʹ. Ἡ Παρθένος σήμερον.**

Ἐκ θερμῆς σοι πίστεως
ἀναβοῶ, Θεοτόκε,
ἀναξίῳ στόματι
καὶ ῥυπαρᾷ τῇ καρδίᾳ
σῶσόν με
βεβυθισμένον ταῖς ἁμαρτίαις
οἴκτειρον
τῇ ἀπογνώσει θανατωθέντα
ἵνα κράζω σεσωσμένος
χαῖρε Παρθένε
χριστιανῶν τὸ καύχημα.

Ὠδὴ ζʹ. Σὲ τὸν ἐν πυρὶ δροσίσαντα.

Ὅταν ἐννοήσω, πάναγνε,
τὸ βῆμα τὸ ἀδέκαστον
καὶ λογίσωμαι τὰς πράξεις τὰς ἀτόπους μου
ἐμαυτὸν ἀπελπίζω·
ἀλλὰ σύ μου τὸν γνόφον
καὶ ἀθυμίας τὴν ἀχλὺν
μακρὰν ἀπόρριψον.

Ὕπνου ῥαθυμίας, ἄχραντε,
καὶ ἀκηδίας ἐκλύσεως
ἐκ βρωμάτων ἀκρασίας συμβαινόντων μοι
τὴν διόρθωσιν δίδου
καὶ ψυχῆς ἐγρηγόρσει
καὶ κατανύξεως φωτί
με καταλάμπρυνον.

Κλαίω καὶ θρηνῶ καὶ δέδοικα
τῶν πειρασμῶν τὴν κάμινον
ὑψουμένην κατ᾽ ἐμοῦ ὁρῶν ὁ ἄθλιος·
ἀλλ᾽ ἀπόσβεσον ταύτην,
παναγία Παρθένε,
τοῦ ἐλέους δροσισμῷ
τῆς εὐσπλαγχνίας ὡς πηγή.

Ἄπειρος πταισμάτων ζάλη με
κατέλαβε τὸν δείλαιον
καὶ πρὸς χάος ἀπωλείας ἕλκει, πάναγνε,
κυβερνήτην τεκοῦσα,
Θεομῆτορ Παρθένε,
πρὸς ἀπαθείας με
τὸν λιμένα καθόρμισον.

Ὠδὴ ηʹ. Ἀστέκτῳ πυρί.

Θρηνῶν ὁ Δαυΐδ, Θεομῆτορ,
φόνον καὶ μοιχείαν ἐμελῴδει ἐλέησόν με
ὁ Θεὸς ὁ Θεός μου· ἐγὼ δὲ
μυρίαις ὑπεύθυνος
ἁμαρτίαις πῶς εὕρω συγχώρησιν
εἰ μὴ σαῖς πρεσβείαις αὐτῷ ἱλεωθείην.

Ἡμέραν ἀεὶ ἐξ ἡμέρας
τρέφομαι ματαίαις, Θεοτόκε, ταῖς ἐλπίσι
ἐκζητῶν τοῦ μετανοῆσαι
πάλιν συνηθείᾳ δὲ
κεχρημένος τρέχω ὥσπερ κύων εἰς ἐξέραμα
πρὸς τὴν δυσωδίαν παθῶν τῶν ἀκαθάρτων.

Μετάνοια βίου δευτέρου
τίθησι συνθήκας ἐν Κυρίῳ, Θεομῆτορ,
καὶ ἀνίστησι τοὺς πεσόντας
τὸ πένθος καθαίρει
καὶ παριστάνει τούτους φωτεινοὺς τῷ πλάσαντι
μεθ᾽ ὧν καὶ ταττοίμην ἐγὼ ὁ σὸς οἰκέτης.

Ἐπλήσθη κακῶν ἡ ψυχή μου
ἤγγισε τῷ ᾅδῃ ἡ ζωή μου ἐλογίσθην
ὡσεὶ ἄνθρωπος τοῖς ἐχθροῖς μου
μόνος ἀβοήθητος·
ἀλλὰ δεῖξον, κόσμου κραταιὰ ἀντίληψις,
ὡς ἀβοηθήτων βοήθεια ὑπάρχεις.

Ὠδὴ θʹ. Ἐν νόμῳ σκιᾷ.

Ῥοήν μοι δακρύων δώρησαι,
Παρθενομῆτορ, τῷ ἐμπαθεῖ

καὶ λύπην τῆς καρδίας καὶ στεναγμὸν
καὶ πένθος ψυχικὸν
ὅπως πενθήσω τὸν νοῦν μου
τὸν νεκρωθέντα κακῶς
καὶ σπλαγχνισθεὶς ὁ υἱός σου
ἐγείρῃ τοῦτον ὡς Λάζαρον.

**Ἁ**γνὴ παναγία Δέσποινα
ἡ τέξασα υἱὸν ἐν σαρκὶ
τὸν ἕνα τῆς Τριάδος τὸν γυμνὸν
ἁπάσης ἀρετῆς
τῶν ἀρετῶν τῇ τριάδι
ταύτῃ με πλούτισον
φόβον Θεοῦ κατανύξει
ταπεινώσει τε φρουροῦσά με.

**Ν**εκρῶσαι σαρκὸς τὸ φρόνημα
πᾶς λόγος θεηγόρος φησίν·
ἐν τούτῳ γὰρ ζωοῦται ἡ ψυχὴ·
καὶ τρέχει πρὸς Θεὸν
καὶ τῶν σκηνῶν ἐπιβαίνει
τῶν οὐρανίων μονῶν
ὧν με τυχεῖν ἐκδυσώπει
τὸν υἱόν σου, Θεονύμφευτε.

**Ν**υκτὶ τῶν παθῶν σκοτούμενον
καταύγασόν με, Δέσποινα,
ἡμέρα ἀπαθείας· ἐκ νυκτὸς
ὀρθρίζει γὰρ πρὸς σὲ
ἐν συντριβῇ τῆς καρδίας,
ἁγνή, τὸ πνεῦμά μου
διότι φῶς ἐπὶ τῆς γῆς
ἐξανέτειλας τὸν Κύριον.

# 98

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1)]

οὗ ἡ ἀκροστιχὶς

« *Τρίτη δέησις τῇ πανευκλεεῖ κόρῃ Φωτίου* ».

ΠΟΙΗΜΑ ΦΩΤΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

Κώδ. 370 φ. 49 β
Ἐθν. Βιβλ. Παρισίων

### *Ἦχος γ'. Ὠδὴ α'. Ὁ τὰ ὕδατα πάλαι.*

**Τ**ὸν ἐν σοὶ ἀπορρήτως,
Παρθενομῆτορ,
σκηνώσαντα Θεὸν Λόγον δυσώπει
τῶν παθῶν ῥύσασθαι
τῆς ἀτιμίας με
καὶ δοῦναι κατάνυξιν
τῇ ταπεινῇ μου καρδίᾳ
καὶ τῶν ὀφλημάτων μοι
τὸν ἱλασμὸν παρασχεῖν.

**Ρ**υπωθεῖσαν ἐξ ἔργων
ἀτοπωτάτων,
πανάχραντε, τὴν ἀθλίαν ψυχήν μου
ῥυπτικοῖς νάμασι
τῆς εὐσπλαγχνίας σου
ταύτην ἀποκάθαρον
ναὸν αὐτὴν τοῦ ἁγίου
καὶ πανσέπτου Πνεύματος
ἀποτελοῦσα φαιδρόν.

**Ἱ**λαστήριον θεῖον,
[καὶ ἰατρεῖον]
[σὲ ἔχοντες] Θεοτόκε Παρθένε,
ἐν σοὶ ἅπαντες
πιστῶς προστρέχομεν
καὶ λύσιν εὑρίσκομεν
τῶν χαλεπῶν ἐγκλημάτων
καὶ διασωζόμεθα
ἀπὸ παντοίων κακῶν.

1) Εὕρηται καὶ ἐν τῷ Θεοτοκαρίῳ Νικοδήμου, σελ. 37 (ἔκδοσις Ἀθηνῶν 1906).



**Τ**ὴν Παρθένον Μαρίαν,
ὦ ψυχή μου,
τὴν ἔχουσαν οἰκτιρμοὺς ἀμετρήτους
καὶ βροτοὺς σώζουσαν
ἀπὸ ποικίλων κακῶν
εὑροῦσα προστάτιν σου
πρόσπεσον ταύτῃ βοῶσα·
Δέσποινα πανάχραντε,
σπεῦσον βοήθει μοι.

Ὠδὴ γ'. Ὁ ἐκ μὴ ὄντων.

**Ἡ** ἀνωτέρα τῶν οὐρανίων νόων
ἡ πάντων δεσπόζουσα
τῶν ποιημάτων, ἄχραντε,
σὺ γενοῦ προστάτις μου
ἐν ὥρᾳ δίκης φρικτῆς, Θεογεννῆτορ.

**Δ**ιὰ παντός σοι ἐκ βάθους μου τῆς [ψυχῆς
κραυγάζω, Θεόνυμφε,
καὶ ἐπικαλοῦμαί σε·
μὴ οὖν ἀπορρίψῃς με
ἀπὸ προσώπου τοῦ σοῦ κατῃσχυμ-[μένον.

**Ἐ**λέησόν με ἐλέησόν με, ἁγνή,
βοῶ σοι σὺν δάκρυσιν
ἀεὶ καὶ προσπίπτω σοι
τῶν παραπτωμάτων μου
λαβεῖν τὴν ἄφεσιν δυσώπει πρὸ τοῦ [τέλους.

**Ἡ** θεία πύλη τοῦ βασιλέως Χριστοῦ
δι' ἧς διῆλθε, κόρη,
καὶ κόσμῳ πεφανέρωται
πύλας μοι διάνοιξον
τῆς κατανύξεως, ἁγνή, καὶ μετανοίας.

Ὠδὴ δ'. Ἐλθὼν πρὸς ἡμᾶς.

**Σ**τήριξον ἡμᾶς
κλονουμένους αὔραις τῶν θλίψεων
καὶ τῶν ἀναγκῶν καὶ πειρασμῶν
ἐπὶ τῇ πέτρᾳ τῆς σωτηρίας, ἁγνή,
πᾶσαν ἀποτρέπουσα καθ' ἡμῶν βλά-[βην.
τοῦ δολίου δράκοντος.

**Ἵ**λεων ἡμῖν
τὸν σωτῆρα πάντων καὶ Κύριον,
Δέσποινα τοῦ κόσμου ἀγαθή,
καὶ εὐμενῆ τοῖς δούλοις σου ποίησον
ταῖς σαῖς παρακλήσεσι καὶ ἱκεσίαις
καὶ θερμαῖς δεήσεσιν.

**Σ**ύμμαχος ἡμῖν
καὶ προστάτις φάνηθι, Δέσποινα,
θραύουσα πολέμους πονηροὺς
τῶν νοητῶν ἐχθρῶν καὶ φυλάττουσα
ἀτρώτους καὶ σκέπουσα ἡμᾶς ἐκ πάσης
βλάβης καὶ κακώσεως.

**Τ**άχυνον, ἁγνή,
εἰς τὸ βοηθῆσαι καὶ ῥύσασθαι
πάντας τοὺς προστρέχοντας εἰς σὲ
ἀποφιμοῦσα γλώσσας δολίων ἀνδρῶν
καὶ ἡμῖν παρέχουσα τῆς σωτηρίας
τῆς σῆς τὴν ἀσφάλειαν.

Ὠδὴ ε'. Πρὸς σὲ ὀρθρίζω.

**Π**αῦσον τὸν πόνον
τῆς ταλαιπώρου μου ψυχῆς
καὶ τὰς ὀδύνας τοῦ σώματός μου πάσας
ἡ τῶν ψυχῶν ἰατρὸν τεκοῦσα
σωμάτων τε, πανάμωμε.

**Ἁ**μαρτημάτων
νὺξ με συνέχει, ἀγαθή,
καὶ ἡδονῶν ὀμίχλη με καλύπτει
τῷ φωτισμῷ τῆς σῆς πρεσβείας,
Παρθένε, καταλάμπρυνον.

**Ν**άμασι θείοις
τῶν πρεσβειῶν σου, Μαριάμ,
τὴν ἐκκαεῖσαν τῷ καύσωνι ψυχήν μου
τῶν χαλεπῶν καὶ δεινῶν πταισμάτων
ἐπόμβρησον καὶ σῶσόν με.

**Ἐ**ν σοὶ προστρέχω
μή με ἀπώσῃ, ἀγαθή,
μηδὲ παρίδῃς μηδὲ ἐξουδενώσῃς
ἀλλ' εὐμενῶς τῆς σῆς βοηθείας
τὴν χάριν μοι κατάπεμψον.

Ὠδὴ στ'. Ἄβυσσος ἐσχάτη.

**Ὕ**πνος με κατέλαβεν ὁ δεινὸς
τῆς ἀμελείας καὶ συνωθεῖ πρὸς θάνατον
ἀπωλείας, Δέσποινα,
αὐτὴ με διανάστησον

πρὸς μετάνοιαν
καὶ σωτηρίαν δώρησαι.

***Κ***ύματα τῶν ἐμπαθῶν λογισμῶν
διηνεκῶς με συνταράττουσιν, ἄχραντε,
πονηρῶν πνευμάτων τε
καταιγίδες βυθίζουσιν·
ἀλλὰ στήριξον
ἀπαθείας ἐν πέτρᾳ με.

***Λ***άμπρυνον τῷ φέγγει σου, ἀγαθή,
τὰ σκοτισθέντα τῆς καρδίας μου ὄμματα
λογισμῶν συγχύσεσι
καὶ φωτὸς υἱὸν ποίησον
καὶ ἐν τόπῳ με
φωτεινῷ κατασκήνωσον.

***Ἔ***χουσα συμπάθειαν δαψιλῆ
καὶ εὐσπλαγχνίαν, Θεοτόκε, ἀμέτρητον
ταύτην εἰς τὸν δοῦλόν σου
τὸν σὲ ἐπικαλούμενον
νῦν ἐπίχεε
πλουσίαν καὶ σῶσόν με.

## ΚΑΘΙΣΜΑ

***Ἦχος γ'. Θείας πίστεως.***

***Π***αραμύθιον τῶν θλιβομένων
ἱλαστήριον ἁμαρτανόντων
σὺ ἐδείχθης, μητροπάρθενε Δέσποινα,
τὴν γὰρ βροτῶν σωτηρίαν γεννήσασα
πύργος ἰσχύος πιστοῖς μόνη γέγονας·
ὅθεν κράζομεν Χριστὸν τὸν Θεὸν ἱκέτευε
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ὠδὴ ζ'. Ὡς πάλαι τοὺς εὐσεβεῖς.

***Ἐ***βλάστησας ἐν γαστρὶ
τὸν στάχυν τὸν ἔνθεον
πανυληθῶς, Δέσποινα ἁγνή,
καὶ τοῦτον ἐκύησας πάντων εἰς βροτῶν
σωτηρίαν ἅπασαν
ψυχὴν τῆς αὐτοῦ χάριτος
ἐμπιπλῶντα καὶ σώζοντα.

***Ἰ***λύος τῆς τῶν παθῶν
καὶ βυθοῦ τῶν θλίψεων
καὶ πειρασμῶν τῶν βιωτικῶν
ἕλκυσον ἡμᾶς πρὸς ἀπάθειαν, ἁγνή,
καὶ χαρὰν εὐφρόσυνον
εὐλογημένος κράζοντας
ὁ καρπὸς τῆς κοιλίας σου.

***Κ***οιλάδων τῶν κοσμικῶν
ὡς κρίνον ἐν μέσῳ σε
καὶ ἀκανθῶν τῶν βιωτικῶν
ὡς κοκκοβαφὲς ῥόδον εὔοσμον ἀνθοῦν
ὁ Θεὸς εὑράμενος
ἐν σοὶ σαφῶς ἐσκήνωσε
καὶ ἡμᾶς, ἁγνή, εὐωδίασεν.

***Ὁ*** πύλην σε μυστικὴν
οἰκείαν προθέμενος
καὶ ἐπιστὰς ξένως τοῖς ἐν γῇ
διὰ σοῦ, ἁγνή, θύραν δέδωκε βροτοῖς
πρὸς ζωὴν εἰσάγουσαν
τὴν αἰωνίαν ἅπαντας
ὡς οἰκτίρμων καὶ τῶν ὅλων Θεός.

Ὠδὴ η'. Τὸν συμβολικῶς.

***Ρ***ῦσαί με, ἁγνὴ
πανύμνητε, πρεσβείαις ταῖς σαῖς
ἐκ πάσης κακώσεως
καὶ δυσχερείας βιωτικῆς
καὶ τὴν σήν μοι παράσχου σκέπην
[τὴν σωτήριον.

***Ἡ*** φωταγωγὸς
τῶν ἐν σκότει, Μαρία σεμνή,
τὰ ὄμματα φώτισον
τὰ τῆς ψυχῆς μου δέομαι
τῶν παθῶν μου τὸν ζόφον φωτί σου
[σκεδάζουσα.

***Φ***ύλαξον ἡμᾶς
ἐπηρείας ἐχθρῶν ἀσινεῖς
τοὺς πίστει τὸ ὄνομα
τὸ σὸν προσκαλουμένους, σεμνή,
γλωσσαλγίας τὰς τούτων φιμοῦσα καὶ
[τὰ στόματα.

***Ὡ***ς τὸν ποιητὴν
τῶν ἁπάντων τεκοῦσα σαρκὶ
ἰσχύεις καὶ δύνασαι
ὅσα θέλεις, πανάχραντε,
διὸ μελλούσης ἡμᾶς ῥῦσαι κατακρί-
[σεως.



Ὠδὴ θ'. Ἐν νόμῳ σκιᾷ.

***Τ***οὺς νόμους τοὺς σοὺς ἠθέτησα
καὶ τὰς σωτηρίους ἐντολὰς
παρέβην σου οἰκτίρμον, καὶ πτοοῦμαι
σοῦ τὸ φοβερὸν
βῆμα ἐν ᾧ περ καθήσας
κρινεῖς τὰ σύμπαντα· διὸ
βοῶ σοι σῶσον δωρεάν,
Λόγε, τῆς μητρὸς δεήσεσιν.

***Ἰ***σχύς μου ἐλπὶς καὶ ὕμνησις
κράτος καὶ σωτηρία μου,
Θεόνυμφε Μαρία, ὡραιῶν με
λύτρωσαι ἐχθρῶν
καὶ δυσμενῶν ἀοράτων
ἐπιζητούντων με
θηριωδῶς διασπᾶσαι
καὶ εἰς τέλος ἀπολέσαι με.

***Ὁ*** βίος μου ὅλος, ἄχραντε,
ῥαθύμως ἐκτετέλεσται
καὶ ἤγγισα τῷ ᾅδῃ νῦν, ἁγνή,
τῆς ἀπογνώσεως
ἀλλὰ διόρθωσιν δίδου
καὶ μὴ ἐάσῃς με
ἐν τῇ τοιαύτῃ κακώσει
τὸν προσφυγόντα τῇ σκέπῃ σου.

***Υ***ἱὸν τοῦ Θεοῦ γεννήσασα
καὶ πάντων οὖσα Δέσποινα,
Παρθένε παναγία, τὴν ἐμὴν
ἐλέησον ψυχὴν
καὶ ἐν ἡμέρᾳ τῆς δίκης
καταδίκης ῥῦσαί με
καὶ μὴ ἐάσῃς βιαίως
τῆς γεέννης ὑπαχθῆναί με.

## 99

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1]

οὗ ἡ ἀκροστιχίς

« ***Τρίτος, πάναγνε, ψαλμὸς ἐξ Ἀρσενίου*** ».

ΠΟΙΗΜΑ ΑΡΣΕΝΙΟΥ ΜΟΝΑΧΟΥ

***Ἦχος γ'. Ὠδὴ ά. Χέρσον ἀβυσσοτόκον.***

***Τ***ὸν ὄντως ὑπέρθεον, κόρη πάναγνε,
τὸν βροτοὺς τοὺς λογικοὺς
μεταθέντα ἀλογίας
ἐπὶ λόγου τὴν χάριν
ἡ μόνη μητρικῶς τεκοῦσα Λόγον
λόγον δοθῆναί μοι
αἴτησαι, Θεομῆτορ,
τοῦ μέλπειν καὶ δοξάζειν σε.

***Ρ***ωσθέντες οἱ ῥώσεως ψυχῶν ἄμοιροι
τῇ εὐρώστῳ σου, σεμνή,
δυναστείᾳ ὡς πρὸς θεῖον
ἰατρὸν προσπεφευγότες
τὸ σὸν ἐπιζητοῦμεν σθένος
τοῦ τὸ σαθρὸν τῆς φύσεως
δύναμιν προσλαβέσθαι
ὑμνεῖν καὶ μακαρίζειν σε.

***Ἰ***ὸν τὸν πανώλεθρον ὃν πρὶν ἤμεσεν
ἐπὶ φύσιν τὴν ἡμῶν
ὁ εἰσδὺς ἐν παραδείσῳ
κακὸς σύμβουλος ὄφις
ἐν γλυκασμῷ σου θείῳ,
μήτηρ Θεοῦ, καθάρασα
δοξάζειν σε καὶ χαίρειν
ἡμᾶς νῦν ἐνδυνάμωσον.

1) Εὕρηται καὶ ἐν τῷ Θεοτοκαρίῳ Νικοδήμου, σ. 41 (ἔκδοσις Ἀθηνῶν 1906).

**Τ**οῦ φύσει φυτοῦ ζωοποιοῦ, Δέσποινα,
θεωρίᾳ νοερᾷ
παραδόξως νῦν τρυφῶντες
σοῦ θερμῇ μεσιτείᾳ
οἱ πρὸς γῆν ἐκνενευκότες πάλαι
καὶ ξύλον βρώσει θνήξαντες
σὲ κατὰ χρέος πάντες
ἐν ὕμνοις μεγαλύνομεν.

Ὠδὴ γ'. Τὸ στερέωμα.

**Ὅ**ν περ ἄσυλον
ὡς θησαυρόν, Θεοτόκε,
ἐν μήτρᾳ σου δέδεξαι Χριστὸν δυσώπει
τοῦ πλουτίσαι τοὺς πιστῶς εὐφημοῦντάς σε.

**Σ**ὺ στερέωμα
ὤφθης τὸ μέσον ὑδάτων
τὸν ἥλιον φέρουσα δικαιοσύνης
ὃν δυσώπει φωτισθῆναι τοὺς δούλους σου.

**Π**άντων Δέσποινα
ἡ τὸν γλυκύτατον βότρυν
βλαστήσασα ἄμπελος παντὶ τῷ κόσμῳ
εὐφροσύνῃ σου φαιδρᾷ πάντας εὔφρανον.

**Ἆ**ρον, πάναγνε,
τὸν ἐκ κακίας ζυγόν μου
καὶ κούφισον πάνδεινον κλοιὸν πταισμάτων
ὅπως εὔθυμος ἀεὶ μακαρίζω σε.

Ὠδὴ δ'. Ἐκάλυψεν οὐρανούς.

**Ν**ενίκηκας ἀρεταῖς, σεμνή, τὰ σύμπαντα
τὸν οὐρανὸν μὲν καθαρμῷ,
τὴν γῆν δὲ πᾶσαν
τῷ φρικτῷ ἁγνισμῷ
ὑπερβαίνεις καὶ θαλάσσας
ἐν πλάτει·
μὴ οὖν ἐλλίπῃς, Δέσποινα,
ὑπὲρ τῶν πάντων πρεσβεύειν,
ἁγνὴ μητρόθεε.

**Ἀ**νέθαλεν ἀληθῶς ῥάβδος τὸ πρὶν Ἀαρὼν
συνανέθαλε ταύτῃ δὲ
καὶ Ἰεσσαὶ ἡ ῥάβδος
σὲ προτυποῦσα, ἁγνή,
ἡ μὲν γὰρ ἐξ ἱερέων σε
ἡ δέ σε εἶναι,
ἐκ βασιλέων ἔδειξεν·
ἡ οὖν ἐξ ἄμφω φυεῖσα
σῷζε τοὺς ἅπαντας.

**Γ**ινώσκοντες πάγκαρπον, ἄχραντε, ἄρουραν
ἐν ἀσπερμάντῳ τῇ σπορᾷ
στάχυν βλαστήσασάν σε
τὸν τρέφοντα τὰ πάντα
καὶ φύσεως ἁπάσης
τὸν πλάστην Χριστὸν
ἀρτοποιοῦσαν ἐν σπλάγχνοις
σὲ δυσωποῦμεν λιμοῦ νοητοῦ
ἡμᾶς λύτρωσαι.

**Ν**ενόησαι τῆς Τριάδος πόλις ἔμψυχος·
τοῦ ποταμοῦ γάρ, ἀγαθή,
σὲ κατευφραίνει
Πνεύματος ὁρμήματα
πατὴρ δέ σε ὡς σκῆνος
ἁγνίζει
καὶ μένει σου ὁ υἱὸς ἐν μέσῳ·
ὅθεν ἡμᾶς ἀσαλεύτους
φρούρει τῇ σκέπῃ σου.

Ὠδὴ ε'. Ὡς εἶδεν Ἡσαΐας.

**Ἐ**ν φύσει τῇ ἀτέκτῳ ὁ ἐκ πατρὸς
ἀκτίστως γεννηθεὶς υἱὸς
διὰ σοῦ ἀτρέπτως κτίζεται, πάναγνε·
ὢ θαῦμα! πῶς ἐν σῇ μήτρᾳ ἡ σοφία
οἶκον πλάττει ἑαυτῇ
ἡμᾶς δὲ συμπλάττει
καὶ εἰρήνην χαρίζεται.

**Ψ**υχήν μου τὴν ἀχρείαν τὴν ἐν νόος
ὀδοῦσιν ὄμφακος βρώσει
ἁμαρτίας ἄγαν αἱμωδιάσασαν
σαῖς πρεσβείαις, μῆτερ Θεοῦ,
πρὸς γλυκύτητα μετάγουσα ζωῆς
ἄρτῳ οὐρανίῳ
τῆς σῆς χάριτος ἐμπλησον.

**Ἃ** πρὶν ἐπεθύμουν ἄγγελοι ἰδεῖν
ὅπως φύσεως ὁ κτίστης αὐτῶν
ἐλθὼν ἐπελάβετο
αὐτὴ νῦν ἰδοῦσα,
Παρθένε, καὶ σωματώσασα Θεὸν
ἀγγέλων πρωτεύεις
καὶ ἡμῶν δόξα δέδειξαι.



**Λ**αμπρύνεται τὰ πλήθη ἁμαρτωλῶν
ἐλπίδι σῇ ῥωννύμενα· καὶ γὰρ
ἐν πᾶσι πέλεις ὡς ῥὼξ ἐν βότρυϊ·
διό περ μηδόλως ἐχθρῷ
λυμανθείημεν, ὡς ἐπήγγελται Θεός·
ἐν σοὶ δέ, Παρθένε,
τὴν εὐλογίαν εὕρομεν.

Ὠδὴ στ'. Ἐβόησέ σοι.

**Μ**αρία μήτηρ
Χριστοῦ τοῦ κτίστου
βίβλος Θεοῦ ἡ πανσφράγιστος
οὐρανῶν ἐν βίβλοις
σαῖς λιταῖς, ἁγνή, κἀμὲ γράψον.

**Ο**ἱ πίστει θείᾳ
λυχνίαν ἄλλην
λαμπαδηφόρον φρονοῦντές σε
ἐν φωτὶ ἀΰλῳ,
ἀγαθή, τῷ σῷ φαιδρυνθῶμεν.

**Σ**βέσον ὡς αὔραν
ἐπιθυμίαν
θραῦσον θυμόν, κακοὺς θῆράς μου
καὶ ψυχῆς τὸν λόγον
τριμερῶς, Παρθένε, συντήρει.

**Ἐ**ν τῇ εἰκόνι
τὸ κατ' εἰκόνα
Θεοῦ πλουτῆσαι παράσχου μοι
ἐν τῇ ὁμοιώσει
καθ' ὁμοίωσιν, ἁγνή, φρούρει.

## ΚΑΘΙΣΜΑ

### *Ἦχος γ'. Ἡ Παρθένος σήμερον.*

**Ἐ**κ θερμῆς σοι πίστεως
ἀναβοῶ, Θεοτόκε,
ἀναξίῳ στόματι
καὶ ῥυπαρᾷ τῇ καρδίᾳ
σῶσόν με
βεβυθισμένον ταῖς ἁμαρτίαις
οἴκτειρον
τὸν ἀπογνώσει θανατωθέντα
ἵνα κράζω σεσωσμένος
χαῖρε Παρθένε, χριστιανῶν τὸ καύχημα.

Ὠδὴ ζ'. Σὲ τὸν ἐν πυρί.

**Ξ**ένως ἐκτυποῖ, πανάμωμε,
τόκον τὸν σὸν ἡ κάμινος·
καὶ γὰρ ὁ νεανίας τρεῖς φλέγων τύραννος
σὺν τετάρτῳ ὑμνοῦντας
καθαρῶν ἀνακρίζει
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

**Ἄ**ραι ὁ ποιμὴν τὸ πρόβατον
θέλων ἐν σοὶ τοῦτο εὕρατο
καὶ περιθέμενος ἐξ ἀχράντων αἱμάτων σου
ἐπὶ ὤμων βαστάζει·
ὅθεν πίστει βοῶμεν
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

**Ρ**ύπος ὁ παθῶν ἀείποτε
σκοτοῖ ψυχήν μου, Δέσποινα,
ὡς καλάμην δὲ ξηρὰν καὶ πάντῃ ἄκαρπον
ἐμπιπρᾷ ἁμαρτία·
διὸ κράζων βοῶ σοι,
Θεομακάριστε ἁγνή,
ῥῦσαι καὶ σῶσόν με.

**Ρ**είθρῳ ῥυπτικῷ σου κάθαρον,
ἁγνὴ Θεογεννήτρια,
τὴν ψυχήν μου ῥυπωθεῖσαν ἁμαρτήμασι
τοῖς ἀτόποις, Παρθένε,
ἵνα πίστει σοι μέλπω
εὐλογημένη ἡ Θεὸν
σαρκὶ κυήσασα.

Ὠδὴ η'. Ἀστέκτῳ πυρί.

**Σ**τάμνον χρυσῆν καὶ λυχνίαν
τράπεζαν καὶ ῥάβδον θεῖον ὄρος καὶ νεφέλην
παλάτιον τοῦ βασιλέως καὶ θρόνον
πυρίμορφον, Θεοτόκε,
πάντες οἱ πιστοὶ ὀνομάζομεν
τὴν μετὰ τὸν τόκον παρθένον φυλαχθεῖσαν.

**Σ**ὲ κρίνον, ἁγνή, κατοπτεύσας
ὁ τὰ τοῦ ἀγροῦ κατακοσμήσας κρίνα λόγῳ
ἀκανθώδους φύσεως ἐξαίρει
καὶ στολὴν ἐκ σοῦ ἐνδύεται·
ὅθεν κράζω ὅλον με γυμνὸν ἐπένδυσον
ὅπως ἀνυμνῶ σε εἰς πάντας τοὺς αἰῶνας.

**Ἐ**κ σοῦ γεννηθεὶς ὁ τὰ πάντα
φέρων ἐν τῷ ῥήματι τῷ αὐτοῦ Θεὸς [Λόγος
διὰ σοῦ τὸν καθαρμὸν τῶν πταισμάτων
δίδωσιν· ὅθεν κράζω σοι
σῶσον ἐν κρίσει με, Δέσποινα,
ὅπως ἀνυμνῶ σε εἰς πάντας τοὺς αἰῶνας.

**Ν**οός μου τῷ νόμῳ προσβάλλων
ὁ ἀντιστρατευόμενος νόμος τῆς σαρκὸς [καταπείθει
μὴ τὰς εὐθείας ὁδοὺς
τῶν θείων θελημάτων
βηματίζειν τοῦ υἱοῦ σου· διὸ δέομαι
τῇ σῇ μεσιτείᾳ διόρθωσόν με, κόρη.

Ὠδὴ θ΄. Ἐν νόμῳ σκιᾷ.

**Ἰ**λέως τῷ σῷ προσβλέποντες
ὄμματι ψάλλομεν ἐκ ψυχῆς
ἐλέησον τοὺς πάντας διὰ σπλάγχνα
σοῦ, μήτηρ Θεοῦ,
δεῖξον τὴν θείαν σου χάριν
τοῖς τιμῶσί σε πιστῶς
ὅπως σε πάντες ἐν ὕμνοις
μελῳδοῦντες μεγαλύνωμεν.

**Ὁ**ρῶσα, ἁγνή, τὸν δοῦλόν σου
ποθοῦντά σε εἰλικρινῶς
ἐν θλίψεσι βοήθει ἐν ἀνάγκαις
φύλαττε θερμῶς
ἐν περιστάσεσι ῥύου
καὶ ἐν κινδύνοις σῶζέ με·
σὺ γὰρ τοῦ κόσμου ἡ σκέπη
καὶ τοῦ γένους ἡ βοήθεια.

**Ὑ**πέρφωτον φῶς ἀγέννητον
πατὴρ ὁ θεῖος καὶ προβολεὺς
υἱὲ πατρὸς καὶ Λόγε ὁ γεννηθεὶς
ὡς φῶς ἐκ φωτὸς
καὶ Πνεῦμα ἄκτιστον θεῖον
τὸ λάμψαν ἐκπορευτῶς
Τριὰς μονὰς ὁ Θεός μου
πάντας φρούρει τῇ δυνάμει σου.

**Ὕ**ψόθεν τὴν σὴν ἀντίληψιν,
ἁγνή, κατάπεμψον καὶ ἡμῖν,
τὴν δραστικὴν πρεσβείαν τὴν σὴν
ὄρεξον πᾶσι
δὸς τὴν τῶν ἰάσεων χάριν
καὶ τῶν θαυμάτων τὴν πληθὺν
ἵνα πάντες σε τιμῶμεν
καὶ ἀπαύστως μεγαλύνωμεν.

---

## 100

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχὶς κατ᾽ ἀβ ἀντιστρόφως πλὴν τοῦ ὑστέρων τροπαρίων.

Κῶδ. Ι 67 Λαύρας.
354 φ. 82β
Ἐθν. Βιβλ. Παρισίων.
370 φ. 58β
Ἐθν. Βιβλ. Παρισίων.

***Ἦχος γ΄. Ὠδὴ α΄. Ὁ τὰ ὕδατα πάλαι.***

**Ὡ**ς πηγὴν εὐσπλαγχνίας
καὶ συμπαθείας
γινώσκων σε τοῦ Θεοῦ τὴν μητέρα
προσελθὼν δέομαι
τῆς σῆς χρηστότητος
δοῦναί μοι κατάνυξιν
ὅπως πενθήσω καὶ κλαύσω
τὰ πολλά μου πταίσματα,
πάναγνε Δέσποινα.

**Ψ**υχικῶν μοι δακρύων
δίδου σταγόνα
τὸν βόρβορον ἀποπλύνουσα πάντα
τῶν ἐμῶν πράξεων
καὶ πονηρῶν λογισμῶν
πάσας ἐκκαθαίρουσα
τὰς ψυχικάς μου κηλῖδας
καὶ ναὸν ποιοῦσά με
τοῦ θείου Πνεύματος.



**Χ**ειμαζόμενος σάλῳ
καὶ τρικυμίαις,
πανάμωμε, τῶν ἐμῶν ἐγκλημάτων
καὶ δεινῶς πάντοτε
τοῦ πολεμήτορος
αὔραις ῥιπιζόμενος
καὶ εἰς βυθὸν ἀπωλείας
νῦν παραπεμπόμενος
βοῶ σοι σῶσόν με.

**Δ**ιὰ σπλάγχνα ἐλέους,
Δέσποινα πάντων,
ἐλέησον τὴν ἀθλίαν ψυχήν μου
καὶ πυρὸς λύτρωσαι
τοῦ αἰωνίζοντος
καὶ τῆς τῶν δαιμόνων με
ἐπιδρομῆς, Θεοτόκε,
τὸν ὑπὸ τὴν σκέπην σου
νῦν καταφεύγοντα.

Ὠδὴ γ΄. Ὁ ἐκ μὴ ὄντων.

**Φ**ωτὶ τῷ θείῳ τὸν σκοτισθέντα μου
φαύλαις ἐνθυμήσεσι [νοῦν
καταύγασον, πανύμνητε·
σὺ γὰρ φῶς ἐκύησας
τὸ ἀνατεῖλαν πατρὸς ἐξ ἀϊδίου.

**Ὑ**ποσκελίσας ὁ τῶν δικαίων ἐχθρὸς
τῆς ψυχῆς μου, Δέσποινα
ἁγνή, τὰ διαβήματα
πρὸς τὴν γῆν κατέρραξεν·
ἀλλὰ τῇ σῇ δεξιᾷ ἀνάστησόν με.

**Τ**αῖς τοῦ Τελώνου φωναῖς ὁ τάλας
χρώμενος κραυγάζω σοι [ἐγὼ
ἱλάσθητί μοι, Δέσποινα,
καὶ πταισμάτων ἄφεσιν
τῇ σῇ πρεσβείᾳ παράσχου τῷ σῷ δούλῳ.

**Ἰ**άτρευσόν μου τὰ τραύματα τῆς ψυχῆς
καὶ τὸ πολυτάραχον
τῶν λογισμῶν κλυδώνιον,
Δέσποινα, κατεύνασον
καὶ εἰρηναίαν κατάστασίν μοι δίδου.

Ὠδὴ δ΄. Ἔθου πρὸς ἡμᾶς.

**Σ**άρκα ἡδοναῖς
καὶ ταῖς ἡδυπαθείαις ἐμόλυνα
καὶ τὸ τῆς ψυχῆς μου καθαρὸν
ταῖς ῥυπαραῖς ἐννοίαις ἐσπίλωσα
καὶ τὸν νοῦν ἠμαύρωσα· μὴ οὖν πα-
Δέσποινα, τὸν δοῦλόν σου. [ρίδῃς,

**Ρ**ύστις μου γενοῦ
καὶ καταφυγὴ καὶ κραταίωμα
κέρας σωτηρίας τε, ἁγνή,
καὶ ἀντιλήπτωρ πάσης με θλίψεως
ῥυομένη πάντοτε καὶ τοὺς ἐχθρούς μου
πάντας καταισχύνουσα.

**Π**λήθει πειρασμῶν
νῦν περισχεθεὶς ὁ ταλαίπωρος
καὶ ταῖς τῶν δαιμόνων μηχαναῖς
διηνεκῶς ἀεὶ βυθιζόμενος
τῇ θερμῇ πρεσβείᾳ σου νῦν καταφεύγω
σῶσόν με τὸν δοῦλόν σου.

**Ν**ύξ με ἀφεγγὴς
τῶν παθῶν συνέχει τὸν δείλαιον
ἀλλὰ τῷ φωτί σου, ἀγαθή,
τὰ τῆς ψυχῆς μου νέφη διάλυσον
καὶ πρὸς φῶς ὁδήγησον τῶν προσταγ-
τοῦ Θεοῦ, πανάμωμε. [μάτων

Ὠδὴ ε΄. Ὡς εἶδεν Ἠσαΐας.

**Ὁ** χρόνος τῆς ζωῆς μου ὡσεὶ καπνὸς
ἐξέλιπε, πανάμωμε,
καὶ ταῖς τοῦ θανάτου πύλαις προσήγ-
καὶ φρίττω τὴν τῶν δαιμόνων [γισα
ἐπανάστασιν· τὰ ἔργα γὰρ αὐτῶν
ἔπραξα διόλου
οἰκτείρησον καὶ σῶσόν με.

**Ξ**ηράνασα, Παρθένε, τὴν τῶν κακῶν
ἄβυσσον παράσχου μοι [μου
ποταμοὺς δακρύων καὶ σβέσον ἅπασαν
παθῶν μου τὴν φλόγα, κόρη,
καὶ ἀξίωσον ῥυσθῆναί με πυρὸς
καὶ λοιπῶν βασάνων
ἐν ὥρᾳ τῆς ἐτάσεως.

**Ν**οσοῦσαν τὴν ψυχήν μου ἐξ ἁμαρτιῶν,
ἄχραντε, θεράπευσον
τῇ σῇ συμπαθείᾳ καὶ καταξίωσον
ποιεῖν με ἐν ταπεινώσει
τοῦ υἱοῦ σου τὰ προστάγματα ἀεὶ

ὅπως ἀπολαύσω
τῆς τούτου ἀγαθότητος.

**Χ**ηρεύουσαν, υἱέ μου, νυμφοστολεῖς
τὴν θείαν ἐκκλησίαν τὸ σὸν
ἐκ πλευρᾶς ἁγίας αἷμα προθέμενος·
ἐγὼ δὲ ψυχὴν δονοῦμαι
τὰς ὀδύνας σου ὁρῶσα ἐν σταυρῷ
ἡ τοῦ Λόγου μήτηρ
ὀδυρομένη ἔλεγεν.

Ὠδὴ στ΄. Ἄβυσσος ἐσχάτη.

**Μ**έγιστόν ὁ τοῦ Θεοῦ σε υἱὸς
ἁμαρτανόντων καταφύγιον ἔδειξε
σαρκωθείς, Θεόνυμφε,
ἐκ τῶν ἁγνῶν αἱμάτων σου·
ὅθεν ἵλεως
τοῖς οἰκέταις σου φάνηθι.

**Λ**άμπρυνον τῷ φέγγει σου, ἀγαθή,
τὰ σκοτισθέντα τῆς καρδίας μου ὄμματα
λογισμῶν συγχύσει
καὶ φωτὸς υἱὸν ποίησον
καὶ ἐν τόπῳ με
φωτεινῷ κατασκήνωσον.

**Κ**ύματα τῶν ἐμπαθῶν λογισμῶν
διηνεκῶς συνταράττουσιν, ἄχραντε,
πονηρῶν πνευμάτων τε
καταιγίδες βυθίζουσιν·
ἀλλὰ στήριξον
ἀληθείας ἐν πέτρᾳ με.

**Υ**πνωσα εἰς θάνατον ψυχικὸν
καὶ ἐν τάφῳ κεῖμαι τῆς ἀπογνώσεως·
ἀλλὰ δίδου χεῖρά μοι
καὶ ἀνάστησον δέομαι
πρὸς μετάνοιαν
καὶ ζωὴν ὁδηγοῦσά με.

Ὠδὴ ζ΄. Τὸ πρὶν εἰκόνι.

**Ἰ**σχὺν περίζωσον, ἁγνή,
τὴν ἐξασθενήσασαν,
ψυχήν μου ἁμαρτήμασι
καὶ βοῶντα τῷ σῷ υἱῷ με σῶσον·
τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.

**Θ**ανάτου ὥραν δεδοικὼς
διὰ τὴν ἀθάνατον
καὶ αἰωνίαν κόλασιν
σοὶ προσπίπτω διάσωσόν με, κόρη,
ἐκ παγίδος θηρευτῶν, Θεογεννῆτορ.

**Ἡ** τὸν ἀχώρητον Θεὸν
ἐν γαστρὶ χωρήσασα
πολλαῖς στενοχωρούμενον
πλημμελείαις τὸν νοῦν μου, Θεοτόκε,
ἐλευθέρωσον τῆς τούτων τυραννίδος.

**Γ**ένος βροτῶν σε δυσωπεῖ,
Θεοτόκε Δέσποινα,
ἐλέησον τοὺς δούλους σου
τοὺς ἐν πίστει τῷ σῷ υἱῷ βοῶντας
τῶν πατέρων ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Αὐτέκτῳ πυρί.

**Ζ**ηλώσας τὸν ἄσωτον ὄντως
καὶ τὸν βίον ὅλον μου τελέσας ἁμαρτίαις
νῦν κραυγάζω ἥμαρτηκά σοι·
ποίησον ὡς ἕνα με
τῶν μισθίων, κόρη, τοῦ υἱοῦ καὶ πατρός σου
ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

**Ἐ**πλήσθη κακῶν ἡ ψυχή μου
καὶ προσελογίσθην, Θεοτόκε, μετὰ πάντων
τῶν εἰς λάκκον καταβαινόντων·
ἀλλὰ σὺ ἀνάγαγε
ἐκ τοῦ βόθρου, κόρη, τῆς ταλαιπωρίας με
καὶ ἀπὸ πηλοῦ τῆς ἰλύος τῶν κακῶν μου.

**Δ**υσώπει Χριστὸν ἡ τεκοῦσα
τοῦτον ἐξ ἁγίων σου λαγόνων, Θεοτόκε,
τῶν πολλῶν μου παραπτωμάτων
δοῦναι τὴν συγχώρησιν
ἵνα μέλπω· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

**Ὅ**τε τοῦ Θεοῦ τῇ προστάξει
μέλλει ἡ ψυχή μου ἐκ τοῦ βίου ἐκδημῆσαι
τῆς παγίδος τῶν θηρευόντων
ἐξάρπασον, ἄχραντε,
σοὶ βοῶντας· πάντα τὰ ἔργα ὑμνοῦμέν σε
καὶ μακαριοῦμεν εἰς πάντας τοὺς αἰῶνας.



Ὠδὴ θ΄. Ἐν νόμῳ σκιᾷ.

**Γ**ένος βροτῶν, πανάμωμε,
τὴν σὴν ἀκαταμάχητον
πρεσβείαν νῦν πλουτῆσαν βοᾷ
ἡμέρας καὶ νυκτός·
μὴ διαλίπῃς ἀπαύστως
καθικετεύουσα
τὸν ποιητήν σου καὶ Θεὸν
οἰκτειρῆσαι τοὺς ὑμνοῦντάς σε.

**Β**ολίδες παθῶν ἀτόπων
τὴν ψυχήν μου ἐτραυμάτισαν
δαιμόνων ἐπηρείαις ἐναντίων
βέλη λογισμῶν
ἀδιαλείπτως τὸν νοῦν μου
κατατιτρώσκουσι·
διὸ θεράπευσον, κόρη,
τὰ ἀνίατά μου τραύματα.

**Ἀ**πόστησον, ἁγνὴ Θεόνυμφε,
ἀπ᾽ ἐμοῦ τῶν πολεμίων ἐχθρῶν
τὰς μάστιγας ἐν τάχει· τὰς ἐπαναστάσεις
γὰρ αὐτῶν
καὶ τὴν πολλὴν πονηρίαν
καὶ τὴν ἀπήνειαν
οὐκέτι στέγω ὁ τάλας
ἀλλὰ σπεῦσον ἐξελέσθαι με.

**Σ**ὺ τὸ ἀσθενὲς ἐπίστασαι
τοῦ ταπεινοῦ μου σώματος
τὸ ἄλγος τῆς ψυχῆς μου τῆς καρδίας
μου τὸν στεναγμὸν
καὶ τοῦ νοός μου τὴν πλάνην
καὶ τὰ ἰνδάλματα·
διὰ τῇ σῇ συμπαθείᾳ
ἑκατέρων δὸς τὴν ἴασιν.

## 101

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ[1]

οὗ ἡ ἀκροστιχίς

« *Τρίτον μέλισμα τῇ Θεοτόκῳ φέρω* ».

[ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ]

Κῶδ. 357 φ. 94
Ἐθν. Βιβλ. Παρισίων
Ι 67 Λαύρας.

***Ἦχος γ΄. Ὠδὴ α΄. Ὁ τὰ ὕδατα πάλαι.***

**Τ**ὸ κατάσκιον ὄρος
σὲ ὃ προεῖδεν
ἐν πνεύματι Ἀββακοὺμ ὁ προφήτης
δυσωπῶ, ἄχραντε,
ἐπισκιάσαι με
πάθεσι καυσούμενον
καὶ ἐκ σκιᾶς τοῦ θανάτου
τῶν παρενοχλούντων μοι
δεινῶν λυτρώσασθαι.

**Ρ**αντισμῷ θείου ῥείθρου
τοῦ κενωθέντος
ἐκ θείας πλευρᾶς τοῦ υἱοῦ σου
τοὺς ἐμοὺς ἔκπλυνον
καρδίας μώλωπας
ὅπως μεγαλύνω σε
καὶ κατὰ χρέος δοξάζω
τὴν ἀειμακάριστον
καὶ παναμώμητον.

**Ἰ**σουργὸν τῷ τεκόντι
ἔτεκες Λόγον
θεώσαντα τῶν βροτῶν τὴν οὐσίαν·
ἀλλ᾽ αὐτὸν αἴτησαι
ἠπορημένον με
καὶ ἐξασθενήσαντα

1) Εὕρηται καὶ ἐν τῇ Παρακλητικῇ τῇ Τετάρτῃ πρωῒ τοῦ Γ΄ ἤχου, ἀλλ᾽ ἀτελὴς καὶ ἀκρωτηριασμένος.

ταῖς τοῦ ἐχθροῦ μεθοδείαις
θείας παρακλήσεως
καταξιῶσαι, ἁγνή.

**Ἱ**λασμόν μοι παράσχου
τῶν ἐγκλημάτων
ταῖς θείαις σου ἱκεσίαις, Παρθένε,
δυνατὴν ἔχεις γὰρ
πρεσβείαν, Δέσποινα,
καὶ τοὺς σὲ γεραίροντας
ἀπολυτροῦσαι πταισμάτων
καὶ παθῶν καὶ θλίψεων
καὶ περιστάσεων.

Ὠδὴ γ΄. Ὁ ἐκ μὴ ὄντων.

**Τ**ὸν ἐν ἐλέει ἀφάτῳ καὶ οἰκτιρμοῖς
ὑπάρχοντα πλούσιον
ἐλεήμων ὑπάρχουσα,
παναγία, αἴτησαι
τοῦ οἰκτειρῆσαι ἡμᾶς κεκακωμένους.

**Ο**ἶκος τοῦ πάντων ὑπάρχουσα ποιητοῦ
οἰκῆσαι δυσώπησον
ἐν ἐμοὶ τὸν Παράκλητον
γεγονότι σπήλαιον
τῶν ψυχοφθόρων λῃστῶν, ἁγνὴ Παρ-
[θένε.

**Ν**εύματι πάντα τὸν φέροντα θεϊκῷ
ἀγκάλαις ὡς φέρουσα,
Θεοτόκε, ἐπίνευσον
ἐπ᾽ ἐμὲ καὶ ῥῦσαί με
τῆς πρὸς τὰ πάθη συννεύσεως ἀτόπου.

**Τ**ῆς συμπαθείας τὰ σπλάγχνα σου
ὑπάνοιξόν μοι, [δυσωπῶ,
Θεοτόκε πανάχραντε,
καὶ θερμή μοι φάνηθι
ἐν πειρασμοῖς βοηθὸς καὶ σωτηρία.

Ὠδὴ δ΄. Ἔθου πρὸς ἡμᾶς.

**Μ**ώλωπας, Χριστέ,
καὶ σφαγὴν ἑκὼν ὡς ὑπέμεινας
τὴν μωλωπισθεῖσάν μου ψυχὴν
λῃστρικαῖς δαιμόνων κακώσεσι
πρεσβείαις θεράπευσον τῆς σὲ τεκού-
μόνε πολυέλεε. [σης,

**Ἔ**ργον σῶν χειρῶν,
πλαστουργέ, ὑπάρχω καὶ ποίημα
κακίᾳ δὲ ὄφεως, Χριστέ,
ὑφ᾽ ἡδονῶν τοῦ βίου συντέτριμμαι·
διό με ἀνάπλασον τῆς σὲ τεκούσης
θείαις παρακλήσεσι.

**Λ**όγον τοῦ πατρὸς
ὑπὲρ λόγον τέτοκας λύσαντα
πάσης ἀλογίας τοὺς βροτοὺς
ὃν ἐκτενῶς δυσώπει ἀλόγοις με
πάθεσι δουλούμενον ἐλευθερῶσαι,
μόνη ἀειπάρθενε.

**Ἴ**αμα ἡμῖν
ἐκ παλάμης βρύεις ἑκάστοτε
ὅλη ἁγιάσματος σκηνὴ
ὅλη φωτὸς ὑπάρχουσα ἔμπλεως
ὅλη ἀποστάζουσα μύρον εὐωδίας,
πάναγνε Θεόνυμφε.

Ὠδὴ ε΄. Ὡς εἶδεν Ἡσαΐας.

**Σ**αρκός μου τὰς ὀδύνας καὶ τῆς ψυχῆς
τὸν πόνον μεταποίησον
καὶ τῆς ῥαθυμίας τὰ νέφη δίωξον,
Παρθένε, φωτὸς νεφέλη
καὶ ὑγείαν καὶ δεινῶν ἀπαλλαγὴν
δίδου μοι αἰτοῦντι
καὶ πόθῳ σε δοξάζοντι.

**Μ**εσῖτίν σε καὶ πρέσβυν πρὸς τὸν ἐκ
τεχθέντα νῦν προβάλλομαι [σοῦ
πάσης ἁμαρτίας ὑπάρχων ἔμπλεως
Παρθένε, ἐγγυητής μοι
καὶ βίου ἐπανόρθωσις γενοῦ
καὶ χειραγωγία
πρὸς τρίβους θείας γνώσεως.

**Ἁ**γίασον τὸν νοῦν μου καὶ τὴν ψυχήν,
Παρθένε, φωταγώγησον
καὶ τῆς θείας δόξης μέτοχον ποίησον·
ἰδοὺ γὰρ ἐπλήσθην κακῶν
καὶ παντοίαις ἐδουλώθην ἡδοναῖς
καὶ μεμολυσμένην
προσφέρω τὴν συνείδησιν.

**Ἡ** ἄμπελος ἡ θεία ἡ τὸν βότρυν
τὸν ὡραῖον ἐξανθήσασα



τὸν ψυχαῖς παρέχοντα πόσιν ἄφθονον,
Παρθένε ἁγία κόρη,
σύ με πότισον γλυκύτητα αὐτοῦ
καὶ ἡδονῶν τὴν μέθην
ἀπέλασον καὶ σῶσόν με.

Ὠδὴ στ΄. Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων.

**Τ**ὸν Φαρισαῖον ἐπηρμένῃ
διανοίᾳ ὑπερβέβηκα
σοβαρευόμενος ἀεὶ
καὶ βαράθροις συνωθούμενος
ἀμέτρων συμπτωμάτων,
μόνη ἁγνή, ταπεινωθέντα
δεινῶς οἴκτειρόν με.

**Ἡ** ὑπερθαύμαστον τὴν σύλληψιν
ἐσχηκυῖα καὶ τὴν γέννησιν
τὰ σὰ ἐλέη ἐπ᾽ ἐμοὶ
τῷ ἀθλίῳ νῦν θαυμάστωσον·
καὶ γὰρ ἐν ἀνομίαις
καὶ συλληφθεὶς καὶ γεννηθεὶς
ἡδοναῖς ἐδουλώθην.

**Θ**ρηνῶ καὶ κλαίω καὶ ὀδύρομαι
ὁπηνίκα τὸ κριτήριον
τὸ φοβερὸν ἐνθυμηθῶ·
πονηρὰ γὰρ ἔργα κέκτημαι,
ἀπείρανδρε Παρθένε,
μήτηρ Θεοῦ, ἐν ὥρᾳ
τῇ φοβερᾷ πρόστηθί μοι.

**Ν**οεῖν καὶ λέγειν οὐκ ἰσχύει
πᾶσα ἔννοια, Παρθένε ἁγνή,
τὸ πεπραγμένον ἐπὶ σοὶ
θαῦμα ξένον καὶ παράδοξον
πῶς τέτοκας καὶ μένεις
πάλιν ἁγνή! Θεὸς
ὁ γεννηθεὶς κατ᾽ οὐσίαν.

Ὠδὴ ζ΄. Τρεῖς παῖδες ἐν καμίνῳ.

**Ἐ**ξ ἔργων σωτηρία
οὐχ ὑπάρχει μοι, Δέσποινα,
ἁμαρτίας γὰρ ἁμαρτίαις προστίθημι
καὶ κακίαν κακίᾳ·
τῇ σῇ οὖν πρεσβείᾳ σου, ἁγνή,
οἴκτειρον σῶσόν με.

**Ἡ** κρίσις ἐπὶ θύραις
τὸ κριτήριον ἕτοιμον
ἑτοιμάζου, ὦ ψυχή μου, καὶ βόησον
ἐν τῷ κρίνειν σε, Λόγε,
μὴ κατακρίνῃς με
εὐχαῖς τῆς κυησάσης σε.

**Τ**ρυγήσας ἁμαρτίας
τοὺς καρποὺς τεθανάτωμαι
καὶ προσφέρων τὴν ψυχὴν ἄκαρπον
καρποφόρον με δεῖξον [κράζω σοι·
ἡ τῷ καρπῷ σου τὴν φθορὰν
ἐξαφανίσασα.

**Ὦ** ξένου μυστηρίου!
ὢ φρικτῆς ἐννοήσεως!
πῶς Θεὸς ἐπὶ γῆς ὤφθη ὡς ἄνθρωπος
πῶς ὡς οἶδεν ὡς θέλει
ὡς εὐδοκεῖ καὶ ἐνεργεῖ
καθὰ καὶ βούλεται.

Ὠδὴ η΄. Ἀστέκτῳ πυρί.

**Ὅ**λη ὡς καλὴ καὶ πλησίον
τοῦ παμβασιλέως γεγονυῖα, Θεοτόκε,
πλήρωσόν με ἀγαθῶν ἔργων
κακίᾳ συζήσαντα
καὶ ῥαθύμως πάντα τὸν βίον τελέσαντα
ὅπως σὲ δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

**Κ**ητώας γαστρὸς ὡς ἐρρύσω
πάλαι τὸν προφήτην, Θεοῦ Λόγε, παρα-
[δόξως
οὕτω ῥῦσαι καὶ τὴν ψυχήν μου
βυθῷ ὀλισθήσασαν
ἀπωλείας ἔχων, σῶτερ, δυσωποῦσάν σε
τὴν ἀπειρογάμως τεκοῦσάν σε Παρθένον.

**Ὡ**ραίαν στολὴν ἐνδυθέντα
θεογενεσίᾳ εὑρηκότες, Θεοτόκε,
οἱ κακίαν δημιουργοῦντες
ταύτης ἀπεγύμνωσαν·
ἀλλ᾽ αὐτή με θείαις στολαῖς καταφαι-
[δρυνον
διὰ μετανοίας πρεσβείαις σου, Παρθένε.

**Ὃ**ν τρέμει, ἁγνή, πᾶσα κτίσις
τοῦτον ἐν ἀγκάλαις σου συνέχεις εὐ-
[σπλαγχνίᾳ
δι᾽ ἡμᾶς σάρκα γεγονότι

τοῦτον καθικέτευε
τοῦ σωθῆναι πάντας ἡμᾶς τοὺς κραυ-
γάζοντας
σὲ ὑπερυψοῦμεν, ἁγνή, εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἐν νόμῳ σκιᾷ.

**Φ**θαρέντα τὸν νοῦν φθαρέντα
τὴν ψυχὴν καὶ τὴν συνείδησιν
κακίᾳ μολυνθέντα καὶ γυμνὸν
παντοίων ἀγαθῶν
ἀποδειχθέντα, Παρθένε
ἄφθορε ἄμωμε,
μή με παρίδῃς· ἀλλ' ἔργοις
εὐσεβείας κατακόσμησον.

**Ἐ**πλήσθην κακῶν ἐπλήσθην
λογισμῶν ἀλλοτριούντων με
ἐκ σοῦ τοῦ φιλανθρώπου διὰ τοῦτο
καὶ στένω καὶ βοῶ
μετανοοῦντά με δέξαι

καὶ μὴ ἀπώσῃ με
τῆς σὲ τεκούσης πρεσβείαις,
εὐεργέτα πολυέλεε.

**Ρ**υσθείην ταῖς σαῖς, πανάμωμε
κόρη, πρεσβείαις πάσης ὀργῆς
παθῶν θανατηφόρων χαλεπῆς
γεέννης καὶ πυρὸς
ἀπὸ ἀνθρώπων ἀδίκων
ἀπὸ ἐχθρῶν πονηρῶν
ὁ προσφυγὼν σου τῇ σκέπῃ
καὶ καλῶν σε εἰς βοήθειαν.

**Ὡ**ς μήτηρ Θεοῦ δυσώπει
τὸν ἐκ σοῦ τεχθέντα Κύριον
Θεὸν καὶ βασιλέα τοῦ ρυσθῆναι
πάσης ἀπειλῆς
καὶ πονηρᾶς συνηθείας
τὸν σὸν ἱκέτην, ἁγνή,
τὸν ἐπὶ σοὶ πεποιθότα
ἐκ γαστρὸς μητρός μου, Δέσποινα.

---

# 102

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κώδ. Θ 66
φ. 188 Λαύρας.

### **Ἦχος γ΄. Ὠδὴ α΄. Ὁ τὰ ὕδατα πάλαι.**

**Ἱ**λασμόν μοι παράσχου
τῶν ἐγκλημάτων
ταῖς θείαις σου ἱκεσίαις, Παρθένε,
δυνατὴν ἔχεις γὰρ
πρεσβείαν, πάναγνε,
καὶ τοὺς σὲ γεραίροντας
ἀπολυτροῦσαι πταισμάτων
καὶ παθῶν καὶ θλίψεων
καὶ περιστάσεων.

**Ν**άμασι πρεσβειῶν σου
τὴν ἐκτακεῖσαν
τῷ καύσωνι τῶν ἀμέτρων πταισμάτων
καὶ παθῶν αἴτησαι
τὴν ταπεινήν μου ψυχὴν
ὅπως ἀναψύξεως
θείας τυχοῦσα, Παρθένε,

ὕμνοις μεγαλύνῃ σε
ὡς προστασίαν θερμήν.

**Ὅ**λον βεβυθισμένον
ταῖς ἁμαρτίαις
καὶ ὅλον ἀπεγνωσμένον με ὄντα
σύ, ἁγνὴ Δέσποινα,
τῆς εὐσπλαγχνίας σου
τὴν χεῖρα ἐκτείνασα
πρὸς μετανοίας με ὕψος
ἕλκυσον παρέχουσα
πηγὴν δακρύων μοι.

**Π**ορνικαῖς ἀσελγείαις
καὶ μυσαραῖς
ἐργασίαις κατεμιάνας τὴν σάρκα
τὸν ναὸν ἔφθειρα



τοῦ σώματός μου αἰσχρῶς,
ναὶ καθαρωτάτη,
θείας οὐσίας τὸν νοῦν μου
ῥαντισμῷ καθάρισον
ἐσσώσου κρείττονος.

Ὠδὴ γ΄. Ὁ ἐκ μὴ ὄντων.

**Τ**ῆς εὐσπλαγχνίας τὰ σπλάγχνα σου
ἐπάνοιξόν μοι, [δυσωπῶ
Θεοτόκε πανάχραντε,
καὶ θερμή μοι φάνηθι
ἐν πειρασμοῖς βοηθὸς καὶ σωτηρία.

**Ἀ**πεγνωσμένος ἐκ πλήθους ἁμαρτιῶν
πρὸς τὴν ἀκαταίσχυντον
σὲ προστάτιν κατέφυγον
ἐναρέτου βίου μοι
χειραγωγία γενοῦ καὶ ὁδηγία.

**Δ**ιάσωσόν με, Παρθενομῆτορ ἁγνή,
τῆς τῶν παθημάτων μου
ταραχώδους συγχύσεως
τῶν κατατρυχόντων νῦν
τὴν ταπεινήν μου ψυχὴν καὶ συνθλι-
[βόντων.

**Γ**εγυμνωμένος τῆς θείας περιβολῆς
ἔρημος παρέρριμμαι
βοηθείας ὁ δείλαιος,
Θεοτόκε, σκέπασον
τὴν γύμνωσίν μου τῇ ἁγίᾳ σου σκέπῃ.

Ὠδὴ δ΄. Ἔθου πρὸς ἡμᾶς.

**Τ**ύπους καὶ οὐλὰς
τῶν ἐμῶν τραυμάτων ἀφάνισον
ὕδασι καὶ σπόγγῳ, ἀγαθή,
τῇ δυνατῇ χρωμένη πρεσβείᾳ σου
καὶ τῇ παρρησίᾳ σου τῇ πρὸς τὸν
καθαρὸν δεικνύουσα. [κτίστην

**Δ**έσποινα σεμνή,
κραταιὰ τοῦ κόσμου βοήθεια,
μή με ἀπορρίψῃς ἀπὸ σοῦ
μηδὲ κατῃσχυμμένον ἐκπέμψῃς με
ἀπὸ τοῦ προσώπου σου μηδὲ δαιμόνων
δείξῃς ἐπίχαρμα.

**Ὅ**λος γυμνωθεὶς
ἐξ ἐνθέων ἔργων ὁ ἄθλιος
καὶ κατατρωθεὶς τῶν ἡδονῶν
τοῖς ὀξυτάτοις βέλεσι, Δέσποινα,
τραυματίας γέγονα· διὸ βοῶ σοι
σῶσόν με, πανάχραντε.

**Ρ**ῆμα γοερὸν
ἐν κλαυθμῷ καὶ πένθει καὶ δάκρυσι
τεταπεινωμένης ἐκ ψυχῆς
ὥσπερ εὐώδες θυμίαμα, πανάμωμε,
τὸ σοὶ προσφερόμενον προσδεδεγμένη
ῥῦσαί με κολάσεως.

Ὠδὴ ε΄. Ὡς εἶδεν Ἠσαΐας.

**Ἡ** ἄμπελος ἡ θεία ἡ τὸν βότρυν
τὸν ὡραῖον ἐξανθήσασα
ταῖς ψυχαῖς παρέχοντα πόσιν ἔνθεον,
Παρθένε, τῆς πόσεως τῆς πικρᾶς
καὶ τῆς μέθης τῶν παθῶν καὶ ἡδονῶν
ῥῦσαι τὴν ψυχήν μου
καὶ πυρὸς αἰωνίζοντος.

**Ἰ**λύος με ἐκσπάσασα ἁμαρτιῶν,
ἄχραντε θεόνυμφε,
τὸν περιπεσόντα βορβόρῳ τῶν ἡδονῶν
καὶ ῥείθροις σῶν πρεσβειῶν
ἀποπλύνασα δεήσεων τῶν σῶν
στολὴν σωτηρίας
φωτοειδῆ ἐπένδυσον.

**Ἡ** κόσμῳ τὴν εἰρήνην καὶ σωτηρίαν
ἅπασι βραβεύουσα
ὡς θείαν εἰρήνην ἀποκυήσασα
τὴν στάσιν καὶ πόλεμον τῶν παθῶν
τῆς ψυχῆς μου καὶ τοῦ σώματος, ἁγνή,
εἰρήνευσον φόβῳ
καὶ πόθῳ τοῦ σωτῆρος Χριστοῦ.

**Ν**οῒ κεκαθαρμένῳ διὰ παντὸς
ὁρᾶν καὶ ἐνοπτρίζεσθαι
σὲ τὸ ἀγαλλίαμα τῆς καρδίας μου,
Παρθένε, ἰσχύν μοι δίδου
καὶ τῷ σῷ περιαυγάζεσθαι φωτὶ
καὶ τῆς εὐωδίας
τῆς σῆς ἀντιλαμβάνεσθαι.

Ὠδὴ στ'. Ἄβυσσος ἐσχάτη.

**Λ**ύτρωσιν παράσχου ὡς ἀγαθὴ
πλημμελημάτων τῷ σῷ δούλῳ, πανά-
τῷ τὴν σὴν ἀντίληψιν [χραντε
αἰτοῦντι μετὰ πίστεως
καὶ μελλούσης με
καταδίκης ἐξάρπασον.

**Δ**έσποινα καὶ μῆτερ τοῦ λυτρωτοῦ
σὺ πρόστηθί μοι ἐν ὥρᾳ τῆς ἐξόδου μου
λογοθετουμένου μου
περὶ τῶν πεπραγμένων μοι
ἃ παράφρονι
διανοίᾳ ἐτέλεσα.

**Ἄ**θλιος ἐδείχθην ὅλως ἐγὼ
ταῖς ἀσελγείαις ἀεὶ καταχραινόμενος
καὶ προβλέπων ἤδη μου
παρὰ πόδας τὸν θάνατον
προσεγγίζοντα
σοὶ κραυγάζω· βοήθει μοι.

**Μ**όνην σε πασῶν ἀπὸ γενεῶν
Θεὸς ὁ μόνος εἰς μονὴν ἐξελέξατο,
Θεομῆτορ· μόνη γὰρ
τὴν πασῶν ὑπερέχουσαν
ἁγιότητα
πλουτεῖς καὶ καθαρότητα.

Ὠδὴ ζ'. Ὡς πάλαι τοὺς εὐσεβεῖς.

**Σ**ὲ τὴν μητέρα τοῦ Θεοῦ
καὶ ἁγνὴν καὶ ἄμωμον
ὁ ῥυπαρὸς σῶμα καὶ ψυχὴν
καὶ μεμολυσμένος ἐν πράξεσιν αἰσχραῖς
ἱκετεύων δέομαι
θαρρῶν εἰς τὸ σὸν ἔλεος
σύ με οἴκτειρον, Δέσποινα.

**Ἡ** τῶν πταισμάτων μου πληθὺς
καὶ κακῶν ἐπίτασις
ἐξαπορεῖν πείθει με σφοδρῶς
καὶ πρὸς ἀπογνώσεως ἄγει με βυθόν,
παναγία Δέσποινα,
σῶσόν με ἀπολλύμενον
καὶ δεινῶς κινδυνεύοντα.

**Ἐ**λέησον, ἀγαθή,
τὴν ταπεινωθεῖσάν μου
ταῖς πονηραῖς πράξεσι ψυχὴν
καὶ πρὸς μετανοίας ὁδήγησον ὁδὸν
καὶ πράττειν τὸ θέλημα
τοῦ σοῦ υἱοῦ κατεύθυνον
καὶ κολάσεως λύτρωσαι.

**Ν**αμάτων ζωοποιῶν
διψῶντά με κόρεσον
ζωαρχικοῦ ὕδατος πηγή,
ὡς μὴ δεηθῶ τοῦ πυρὸς ἐν τῇ φλογὶ
δακτύλου δροσίζοντος
ἀκροβαφοῦς ἐν ὕδατι
καιομένην μου τὴν γλῶσσαν.

Ὠδὴ η'. Τὸν ἐν φλογί.

**Τ**ῶν ἡδονῶν ὁ ἰὸς τὰς αἰσθήσεις
πάσας τοῦ σώματος διελθὼν τὴν ψυχήν
ἑκάστως λυμαίνεται [μου
καὶ πρὸς θάνατον ἕλκει,
Δέσποινα τοῦ κόσμου,
γενοῦ μοι σωτηρία.

**Σ**οὶ καὶ ψυχὴν καὶ καρδίαν καὶ σῶμα
προσανατίθημι· οὐ γὰρ ἔχω ἐλπίδα ἄλλην
πλήν σου, Δέσποινα,
δι' ἧς τύχω ἐλέους·
διό μοι παράσχου
πλουσίαν σου τὴν χάριν.

**Ὁ** ὄφις μοι τὸν ἰὸν προσεμπτύσας
τῆς σαρκικῆς ἡδονῆς τὴν ἀθλίαν ψυχήν
δεινῶς ἐθανάτωσεν [μου
ἀλλὰ ζώωσον ταύτην
τοῖς ἀντιφαρμάκοις,
ἁγνή, τῆς σῆς πρεσβείας.

Ὠδὴ θ'. Σὲ τὴν ἀκατάφλεκτον.

**Ρ**ύπον ἐμπαθῶν νοημάτων
τῆς ἐμῆς διανοίας
ἐκκαθάρασα, σεμνή, τῆς ἀπαθείας
καταφαίδρυνον τὴν στολήν με ἐνδύσασα.

**Ἄ**νοιξόν μοι θείας εἰσόδους
μετανοίας, Παρθένε,
τὰς εἰσόδους τῶν παθῶν καὶ ἡδονῶν
[μου
ἀποφράττουσα καὶ ἀπωθοῦσα τῇ δυνά-
[μει σου.



**Ἄ**κουσον φωνῆς στεναγμοῦ μου
καὶ παράσχου ἱλασμὸν
καὶ σωτηρίαν τῇ ἀθλίᾳ ψυχῇ μου,
ἀπειρόγαμε Παρθένε παναμώμητε.

**Ὅ**λην ταῖς δειναῖς ἁμαρτίαις
τὴν ψυχήν μου τρωθεῖσαν
καὶ ἀνίατον ἄλγος νενοσηκυῖαν
τῇ μοτώσει τῆς σῆς μοι πρεσβείας ῥῶσιν
[δώρησαι.

---

# 103

# ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κῶδ. Θ 66
φ. 194 Λεύρας.

***Ἦχος γ'. Ὠδὴ α'. Ὁ τὰ ὕδατα πάλαι.***

**Ἁ**μαρτάνειν ἀπαύστως
οὐ παραιτοῦμαι,
σωτήρ μου, φιλαμαρτήμων ὑπάρχων
καὶ εἰδὼς κρίσεως
τὸ ἀσυγχώρητον,
Κύριε ὁ πλάσας με
καὶ ἐκ μὴ ὄντων ποιήσας,
σύ με μόνος οἴκτειρον
τῇ εὐσπλαγχνίᾳ σου.

**Ἁ**μαρτίαις βαρείαις
καὶ ἀθεμίτοις
καμπτόμενος τὸν αὐχένα διᾶραι
οὐ τολμῶ, Δέσποινα,
ἀλλ' εἰς τὴν γῆν κεκυφὼς
κράζω σοι σὺν δάκρυσι
σύ μοι βοήθησον, μόνη
τῶν χριστιανῶν ἐλπὶς
καὶ ἀντίληψις.

**Θ**εοτόκε Παρθένε
τῶν ἀπορούντων
σωτήριος πορισμός τε λύσις
ἐν δεινοῖς ὄντα με
καὶ ἀπορούμενον
λύτρωσαι τῶν θλίψεων
καὶ τῆς ἀνάγκης με ταύτης
ἐξελοῦ, Θεόνυμφε,
ὅπως δοξάζω σε.

*) **Ὁ** βρυγμὸς τῶν ὀδόντων
καὶ ὁ κρυμὸς τῶν
ταρτάρων καὶ ὁ φλογμὸς τῆς γεέννης
τὴν ἐμὴν τρύχουσι
καὶ δαπανῶσι ψυχὴν
κλαίειν με καὶ κόπτεσθαι
καὶ ὀδυνᾶσθαι καὶ στένειν
καὶ πρὸ πείρας πείθοντες
ἐξ ὧν με ῥῦσαι, ἁγνή.

Ὠδὴ γ'. Ὁ ἐκ μὴ ὄντων.

**Τ**ὴν ἀκαρπίαν ζηλώσαντα τῆς συκῆς
μὴ κόψῃς καὶ πέμψῃς με
εἰς τὴν φλόγα τὴν ἄσβεστον
ἀλλὰ μακροθύμησον, Χριστέ,
παρέχων καρπούς μοι μετανοίας.

**Ἐ**ν ἀπορίᾳ καὶ θλίψει ὀδυνηρᾷ
κατέστην ὁ δείλαιος
παρὰ πόδας τὸν θάνατον
ἐφορῶν, πανάχραντε,
σύ με ἐλέησον τῇ σῇ δυνάμει.

**Ὅ**λος ὁ βίος παραρθιωμένος δειναῖς
καὶ ἀσώτοις πράξεσι
κατήγορός μου γίνεται
καὶ τῇ ἀπογνώσει με
καταβυθίζει, ἁγνή, διάσωσόν με.

**Τ**ῆς ἀθανάτου ἀξίωσόν με ζωῆς
καὶ βασιλείας γενέσθαι
κληρονόμον, ἁγνή,
διὰ τῆς πρεσβείας σου
πυρὸς ἐξαίρουσά με τοῦ αἰωνίου.

---

*) Τὰ φέροντα ἀστερίσκον τροπάρια ἀπαντῶσι καὶ εἰς τοὺς προηγουμένους Κανόνας τοῦ Ἰωάννου Εὐχαΐτων.

Ὠδὴ δ'. Ἔθου πρὸς ἡμᾶς.

*Ἔ*θου πρὸς βροτοὺς
ἁμαρτάνοντας, Λόγε, μετάνοιαν·
ὅθεν πεποιθὼς σοι προσιῶ
καὶ ἐξαιτεῖν ζητῶ τὴν συγχώρησιν
κακῶν ὧν περ ἔπραξα· μή με ἀπώσῃ,
μόνε εὐσυμπαθέστε.

*Ῥ*ῦσαί με, ἁγνή,
κραταιὰ τοῦ κόσμου βοήθεια
ἐκ τῆς νοητῆς ἀπαγωγῆς
τῶν αἰχμαλωτιζόντων τὴν τάλαιναν
καρδίαν μου πάθεσιν ὑπερμαχοῦσα
πάντοτε τοῦ δούλου σου.

*Μ*ῆτερ τοῦ Θεοῦ
ἡ ζωὴν τεκοῦσα ἀθάνατον
καὶ ἀθανασίας τοῖς βροτοῖς
γενομένη καὶ πρόξενος
τὸν θανατωθέντα με ταῖς ἁμαρτίαις
ζώωσον, πανάχραντε.

*Σ*άρκα καὶ ψυχὴν
ἡδοναῖς ἐκτόποις ἐμόλυνα
δαίμοσιν ὑπόσπονδος φανεὶς
καὶ θύραν πᾶσιν ἀνοίξας τοῖς πάθεσιν
ἣν κλεῖσον, Δέσποινα, ἡ παραδείσου
θύραν διανοίξασα.

Ὠδὴ ε'. Πρὸς σὲ ὀρθρίζω.

*Π*ρὸς σὲ ὀρθρίζω
τὸν τοῦ παντὸς δημιουργὸν
τὸν ποιητήν μου καὶ πλάστην καὶ Θεόν·
σὺ γάρ μου φῶς καὶ ζωὴ ὑπάρχεις
ὁ ἐκ μὴ ὄντων πλάσας με.

*Τ*ὸν τῶν παθῶν μου
χειμῶνα λῦσον, ἀγαθή,
χαριζομένη γαλήνην καὶ εἰρήνην
τῇ ταπεινῇ καὶ ἀθλιωτάτῃ
ψυχῇ μου, πανάμωμε.

*Ἡ* θεία πύλη
τοῦ βασιλέως καὶ Θεοῦ
πύλας διάνοιξόν μοι τῆς μετανοίας
καὶ δώρησαι ἱλασμὸν τῶν πταισμάτων
καὶ σῶσόν με, πανάμωμε.

*Μ*ὴ ἐπιλάθῃ
τοῦ πένητός σου, ἀγαθή,
ἀλλά μοι πρόστηθι ἐν ἐκείνῳ τῷ καιρῷ
καὶ τῶν χρεῶν τῶν πολλῶν παράσχου
βεβαίαν μοι ἀθώωσιν.

Ὠδὴ ς'. Ἄβυσσος ἐσχάτη.

*Ἵ*λεως γενοῦ μοι, ὦ λυτρωτά,
καὶ ποιητά μου, ἐν ὥρᾳ τῇ τῆς κρίσεως·
πάντας γὰρ τοὺς πταίοντας ἐν γῇ
ὑπερηκόντισα
καὶ οὐκ ἔστι μοι
σωτηρίας ὑπόθεσις.

*Δ*άκρυσι προσπίπτω σοι, ἀγαθή,
καὶ ἐκβοῶ σοι· ἐλέησόν με, Δέσποινα,
τὸν πολλαῖς ὑπεύθυνον
ἁμαρτίαις καὶ πάθεσι
καὶ ὑπόδικον
τιμωρίᾳ ὑπάρχοντα.

*Ὅ*λην μου τὴν προσδοκίαν, ἁγνή,
καὶ τὴν ἐλπίδα ἐν σοὶ ἐπανατίθημι
διὰ σοῦ κομίσασθαι
τῶν ἐπταισμένων ἄφεσιν
διὰ σοῦ ζωὴν
τὴν αἰώνιον εὕροιμι.

*Θ*έλημα οὐκ ἔστιν ἄλλο Θεοῦ
ὡς τὸ μηδένα ἀπολέσθαι ἐπίπροσθεν
οὐδὲ περισπούδαστον
ὡς τὸ σωθῆναι τὸν ἄνθρωπον·
διὸ θέλησον,
Θεοτόκε, καὶ σώσεις με.

Ὠδὴ ζ'. Σὲ τὸν ἐν πυρὶ δροσίσαντα.

*Σ*ὲ τὸν σταυρωθέντα Κύριον
διὰ τὸ σῶσαι γένος βροτῶν
ἱκετεύω παρασχεῖν μοι τὸ σὸν ἔλεος
καὶ λύτρωσιν πταισμάτων
καὶ τῆς σῆς βασιλείας
καταξιῶσαί με
δι' ἄκραν ἀγαθότητα.

*Σ*ὺ τὸν ἱλασμὸν καὶ ἄφεσιν
καὶ σωτηρίαν δώρησαι
τῇ ἀθλίᾳ μου καρδίᾳ, παναμώμητε,
ἐπὶ σοὶ γὰρ προσφεύγω



καὶ σὲ καθικετεύω
τὴν δυναμένην παρασχεῖν
τὸ μέγα ἔλεος.

*Σ*ὲ καταφυγὴν καὶ στήριγμα
καὶ θεῖον ἀγαλλίαμα
κεκτημένος οὐ πτοοῦμαι τοὺς προσ-[βάλλοντας
καὶ ἀεὶ πολεμοῦντας
τὴν ἀθλίαν ψυχήν μου,
Θεογεννήτρια σεμνή
Παρθένε ἄχραντε.

*Ν*ὺξ ἁμαρτιῶν συνέχει με
νέφος παθῶν καλύπτει με
καὶ ζοφώδης ἐγκλημάτων κυκλοῖ
καὶ βαθύτατος γνόφος [θύελλα
ἀπογνώσεως κρύπτει·
τῆς μετανοίας με φωτὶ
φώτισον, Δέσποινα.

Ὠδὴ η'. Ἀσβέστῳ πυρί.

*Ἡ* κρίσις ἐγγὺς ἐπὶ θύραις
πρόσεχε, ψυχή μου, καὶ γρηγόρει μὴ νυ-[στάξῃς
μή σε ὕπνος θανατηφόρος
καταλάβῃ· ἄρδευσον
εὐποιΐας πίστει τὴν θείαν λαμπάδα σου
ὅπως συνεισέλθῃς ταῖς φρονίμοις παρ-[θένοις.

*Σ*τῆσον τὰς φορὰς τῶν δακρύων
παῦσον καὶ τὸν πόνον τῆς ψυχῆς μου, [Θεοτόκε,
καὶ παράσχου μοι εὐφροσύνην
ἐν τῷ τὰς κακίας μου
ἀπαλείφειν καὶ τὰς δεινὰς ἁμαρτίας [μου
πρὸ τοῦ ἐπιστῆναι τὴν τελευταίαν ὥραν.

*Ν*υκτὶ τῶν παθῶν συσχεθέντα
καὶ τῆς ἁμαρτίας ἐγκαθήμενον τῷ σκότει,
Θεομῆτορ, καταύγασόν με·
διὰ σοῦ γὰρ ἥλιος
θείας δόξης τοὺς πρὶν κατεφώτισεν
ἐν σκιᾷ καὶ χώρᾳ θανάτου καθημένους.

*Ὀ*ὐ χεῖρας καὶ ὄμματα μόνον
ἀλλὰ καὶ τὸν νοῦν καὶ τὴν ψυχὴν καὶ τὴν [καρδίαν
ἀνατείνω πρὸς σέ, Παρθένε,
ὅλον με καταύγασον
τῷ φωτί σου ὅλον ἀπόπλυνον δάκρυσιν
ὅλον κατανύξει θερμῇ ἀπόλουσόν με.

Ὠδὴ θ'. Ἐν νόμῳ σκιᾷ.

*Ἰ*σχύς μου ἐλπὶς καὶ ὕμνησις [1])

[1]) Ἡ ᾠδὴ αὕτη ὁμοία τῇ τοῦ γ' Κανόνος τοῦ Ἰωάννου Εὐχαΐτων, ἣν ἴδε ἔμπροσθεν.

## 104

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

οὗ ἡ ἀκροστιχίς

« *Τὴν τῶν νόσων λύτειραν αἰνῶ Παρθένον Μάρκος.* »

ΠΟΙΗΜΑ ΜΑΡΚΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΕΦΕΣΟΥ ΤΟΥ ΕΥΓΕΝΙΚΟΥ

Κῶδ. Καλύβης Ἀκακίου τοῦ νέου ἐν Καυσοκαλυβίοις καὶ Μονῆς τῶν Ἰβήρων.

***Ἦχος γ'. Ὠδὴ α'. Ὁ τὰ ὕδατα πάλαι.***

*Τ*ῆς τρυφῆς ὁ χειμάρρους
τὸ καὶ ἀλλόμενον ὕδωρ
ὁ ἀεννάως προχέων,
Ἰησοῦ, ἄρδευσον
τὸν ψυγέντα μου νοῦν
ὅπως ἐκβλαστήσωμεν
ὕμνων ἡδύπνοα ἄνθη
μέλη καταθύμια
τῇ εὐκλεεῖ σου μητρί.

**Ἡ** τοῦ κόσμου Κυρία
ἡ τῶν πιστῶν εὐφροσύνη
τῶν βασιλέων τὸ κράτος
τοῦ λαοῦ τὸ στήριγμα
τῶν ἱερέων τιμὴ
μοναστῶν τὸ καύχημα
πάντας ὁμοῦ συναθροίζει
μέλλουσα μεθίστασθαι
πρὸς οὐρανὸν ἀπὸ γῆς.

**Ν**αὸς οὖσα Κυρίου
καὶ ἱερώτατος οἶκος
τὸν ἱερὸν τοῦτον οἶκον
ποταμὸν ἄφθονον
τῶν ἰαμάτων τελεῖς
πᾶσαν καταρδεύοντα
τὴν οἰκουμένην ἐντεῦθεν
ἐπιμεριζόμενον
εἰς πλείονας ἀρχὰς νοητῶς.

**Τ**οῦ Κυρίου τὸ στόμα
τῆς ἐκλογῆς τὸ εὐῶδες
καὶ πολύτιμον σκεῦος
ὁ τῆς γῆς ἄγγελος
ἡ οὐρανόφρων ψυχὴ
Παῦλος ὁ θειότατος
τὴν τοῦ Κυρίου μητέρα
ἐγκωμίοις πρέπουσιν
ἐνθέως προσεφθέγγετο.

**Ὦ** πανύμνητε μῆτερ
ἡ τῶν ἁγίων ἁπάντων
τὸν ἁγιώτατον Λόγον
ὑπὲρ νοῦν τέξασα
τὴν εὐτελῆ προσφορὰν
ταύτην δεχομένη μου
ἐκ συμφορᾶς τῆς παρούσης
λύτρωσαι τὴν ποίμνην σου
ἵνα σε ἔτι ὑμνῶ.

Ὠδὴ γ΄. Ὁ ἐκ μὴ ὄντων.

**Ν**οὸς ἐνθέου ἀμέσοις ἐπιβολαῖς
πλουσίως δεχόμενοι
τὰς ἀκτῖνας τοῦ Πνεύματος
οἱ προφῆται πόρρωθεν
προεθεώρουν τὸν τόκον σου, Παρθένε.

**Ν**αὸν καὶ πύλην λυχνίαν καὶ κιβωτὸν
καὶ στάμνον καὶ τράπεζαν
καὶ θεόγραφον πλάκα σε
καὶ ὄρος κατάσκιον
δι' αἰνιγμάτων ἐκάλουν, Θεοτόκε.

**Ὁ** κορυφαῖος τῆς ὅλης τῶν μαθητῶν
σεπτῆς ὁμηγύρεως
οὐκ ὀθόνην ὁπτάνεται
κατιοῦσαν ἄνωθεν
τὴν δὲ ψυχὴν τῆς Δεσποίνης ἀνιοῦσαν.

**Σ**αλευομένους τοὺς δούλους σου, ἀγαθή,
πολλοῖς δεινῶν πνεύμασι
καὶ ποικίλοις παθήμασι
ἀκλονήτους ἔδρασον
ἐν ἀσαλεύτῳ τῆς σῆς ἐλπίδος πέτρᾳ.

Ὠδὴ δ΄. Ἔθου πρὸς ἡμᾶς.

**Ὤ**φθη ὁ Θεὸς
ἐν Σινᾷ τὸν νόμον τιθέμενος
δείμασι βροντῶν καὶ ἀστραπῶν
καὶ φρικαλέοις τύποις ἀπρόσιτος
διὰ σοῦ δέ, πάναγνε, πᾶσιν ἐφάνη
ἄνθρωπος γενόμενος.

**Ν**ῦν ὁ ἱερὸς
ἱεράρχης πρῶτος Ἰάκωβος
μέλους προεξάρχει ἱεροῦ
νῦν οἱ λοιποὶ ἀπόστολοι ἕπονται
νῦν πιστῶν ὁ σύλλογος νῦν αἱ γυναῖκες
συντόνως ἐξάδουσι.

**Λ**ύμης φθαρτικῆς
ἡ ζωῆς ταμίαν κυήσασα
ῥῦσαί σου τὴν ποίμνην, ἀγαθή,
τὴν εἰς τὴν σὴν θαρροῦσαν βοήθειαν
ἵνα μὴ γενώμεθα ὀλιγοστοὶ
παρὰ πάντα τὰ ἔθνη τῆς γῆς.

**Ὕ**μνοις ἱεροῖς
καὶ ᾠδαῖς ᾀσμάτων ὑμνοῦμέν σε
ἣν μόλις ἀξίως φλογεραὶ
τῶν ἀσωμάτων γλῶσσαι γεραίρουσιν
ὡς Θεὸν γεννήσασαν τὸν ἐπὶ πάντων,
κόρη πολυύμνητε.

Ὠδὴ ε΄. Ὡς εἶδεν Ἡσαΐας.

**Τ**ὸ σκήνωμα τοῦ Λόγου ἡ τῆς σοφίας [μήτηρ



ἡ πηγὴ τῆς σοφίας ἡ μήτηρ τῆς ζωῆς
μειλιχίοις λόγοις ἀνελαμβάνετο
τοὺς θείους ἱερομύστας
ἀθυμοῦντας ἐν τῷ ταύτης χωρισμῷ
τὴν ἐκδεξομένην
αὐτὴν δόξαν μηνύουσα.

**Ἐ**πήρθη ὑπεράνω τῶν οὐρανίων νόων
ἡ σὴ δόξα, σεμνή,
καὶ ἡ ἀρετή σου πάντα διέδραμε
τὸν κόσμον· τοὺς οὐρανοὺς γὰρ
τὸν καλύψαντα Θεὸν ἀρετῇ
τέτοκας τῷ κόσμῳ
ὡς ἄνθρωπον τῷ σχήματι.

**Ἰ**δὼν ὁ Ἡσαΐας σεραφικὴν
λαβίδα καθαρσίου πυρὸς
τὸν ἐκ σοῦ φανέντα Θεὸν ἐγίνωσκε
τοῦ κόσμου τὰς ἁμαρτίας
ἀφανίζοντα θεότητος πυρὶ
φλέγοντι ἀλύπως
καὶ μαλακῶς δροσίζοντι.

**Ρ**ητόρων εὐγλωττία καὶ πιθανότης
ἔντεχνος ἀργεῖ τῷ καιρῷ
τῆς φρικτῆς ἐκείνης ἀνταποδόσεως·
ἐντεῦθεν διὸ ἑτοίμους
ἑαυτοὺς ἀπεργασώμεθα πιστοὶ
πράξεσιν ἐνθέοις
τὸν κριτὴν ἱλεούμενοι.

**Ἀ**νάψας θρυαλλίδα τὴν ἑαυτοῦ
ὁ ἥλιος ἡμῖν φλογερὰν
τὴν ἰκμάδα πᾶσαν ἐναπηθάλωσεν
ἐντεῦθεν λοιμὸς
ἀνάψας δραστηρίους πυρετοὺς
διακαεῖς ἐν ἡμῖν
ἐγείρει τοῦ μέλλοντος εἰκόνα πυρός.

Ὠδὴ στ΄. Τοὺς εἰς τὰ τέλη τῶν αἰώνων.

**Ν**εανικῶς οἱ θεολόγοι
τὰς νεφέλας ἐποχούμενοι
ὡς ἐμπειρότατοι ἱππεῖς
διεδίφρευον αἰθέριοι
τὸ ἅρμα τοῦ Δεσπότου
ἀπὸ τῆς γῆς αἰρόμενον
ἐπειγόμενοι φθάσαι.

**Ἄ**γγελος θεῖος πρωτοστάτης
οὐρανόθεν ἀφικόμενος
φοίνικος κλάδον εὐθαλῆ
τοῦ θανάτου νίκης σύμβολον
σοὶ φέρων ἐγχειρίζει
τὴν ποθεινὴν μετάστασιν
ἐμφανῶς ἀπαγγέλλων.

**Ἴ**σχυσε πρὶν ἡ ἁμαρτία
παραδείσου ἀπολαύσεως
καὶ ἀνωδύνου με ζωῆς
ἀπορρίψαι ἀτιμώματα·
σὺ δέ με ἀνορθώσω,
μῆτερ ἁγνή, κυήσασα
τὸν Θεὸν ἀνωδύνως.

**Ν**εκροποιοῦ κακίας λύμην
ἑαυτοῖς προαποθέμενοι
σωματοφόρῳ λύμῃ νῦν
θείᾳ δίκῃ συνεσχέθημεν·
ἡ τέξασα τοῦ ᾅδου
τὸν νεκρωτὴν ἐλέησον
τοὺς δεινῶς νεκρωθέντας.

Ὠδὴ ζ΄. Ὡς πάλαι τοὺς εὐσεβεῖς.

**Ὡ**ς πάλαι τοὺς εὐσεβεῖς
τρεῖς παῖδας ἐδρόσισας
ἐν τῇ φλογὶ τῇ χαλδαϊκῇ
καὶ ἡμᾶς κειμένους καμίνῳ πυρετῶν
τῇ σῇ δρόσῳ ἴασαι,
παντελεῆμον Κύριε,
τῆς μητρός σου ταῖς ἁγίαις εὐχαῖς.

**Π**αρίστανται οἱ σεπτοὶ
τοῦ Λόγου διάκονοι
πρὸ ὀφθαλμῶν σου πανευλαβῶς
τῆς εὐλογημένης Θεοῦ Λόγου μητρὸς
καὶ τὸν Λόγον ἄνωθεν
σὺν ἀσωμάτοις τάξεσι
κατιόντα ἐποπτεύουσιν.

**Ἀ**κούσωμεν νοητῶς
ᾠδὴν παναρμόνιον
ᾆσμα τερπνὸν μέλος λιγυρὸν
τῶν ἐπουρανίων δυνάμεων σεπτῶς
ὑμνούντων τὴν ἄχραντον
μεθισταμένην σήμερον
πρὸς τὸν κτίστην καὶ υἱὸν αὐτῆς.

**Ρ**ητόρων καὶ σοφιστῶν
πολύφθογγα στόματα
γλῶσσαι λαμπραὶ καὶ λόγοι τεχνικοὶ
μέθοδοι καὶ κάλλη καὶ χάριτες πυκναὶ
τοῖς σοῖς ἐπιβάλλουσαι
ἐπαίνοις ἠπορήθησαν,
Θεομήτορ ἀειπάρθενε.

Ὠδὴ η΄. Ἀστέκτῳ πυρί.

**Θ**εὸς θεῶν Κύριος ὤφθη
ἐν Σιὼν ὡς πάλαι ὁ Δαυὶδ προανεφώνει·
τῷ πληρώματι γὰρ τῶν χρόνων
μόλις εἰς κατοίκησιν
εὗρε σκῆνος θεῖον σκεῦος ἁγιότητος
σκεῦος ἀφθαρσίας ὑπέρτιμον ταμεῖον.

**Ἐ**θνῶν ἀλλοφύλων ἐφόδου
μάχης ἐμφυλίου καὶ σεισμοῦ πυρὸς μα-
[χαίρας
καὶ λιμοῦ καὶ λοιμώδους νόσου
φύλαττε τὴν ποίμνην σου,
Θεοτόκε, πᾶσαν τὴν ἐλπίδα ἄνωθεν
εἰς σὲ κεκτημένην καὶ σοὶ ἀνακειμένην.

**Ν**εκρῶν καὶ τῶν ζώντων ὁ ἔχων,
Λόγε, ἐξουσίαν ὁ δυνάμενος ὀλέσαι
ἐν γεέννῃ ψυχὴν καὶ σῶμα
μή με ὥσπερ ἄκαρπον
δένδρον τέμῃς· δός μοι προθεσμίαν,
[εὔσπλαγχνε,
ταῖς τῆς παναγίας μητρός σου ἱκεσίαις.

**Ὁ** μέγας τῷ ὄντι παρθένος
εὐαγγελιστὴς καὶ Θεολόγος Ἰωάννης
τὴν Παρθένον καὶ Θεοτόκον
ἔχων εἰς τὰ ἴδια
ὡς μητέρα πᾶσαν σπουδὴν ἐπιδεί-
[κνυται
τιμῶν τὴν οὐσίαν τοῦ θεοδόχου σκήνους.

**Ν**υμφίος ὁ κάλλει ὡραῖος
παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων τὴν
[μητέρα
καὶ ἀνύμφευτον μόνην νύμφην
καταβὰς ὑπέρλαμπρος
προσκαλεῖται δεῦρο ἐλθὲ ἡ πλησίον
[μου
ἡ καλή μου νύμφη περιστερὰ τελεία.

Ὠδὴ θ΄. Ἐν Σιναίῳ τῷ ὄρει.

**Μ**ὴ τροπὴν ὑπομείνας θεότητος
τῆς ἀτρέπτου ὁ υἱὸς
τοῦ ἀνάρχου πατρὸς ἀρχὴν ἔλαβεν
ἐπ᾿ ἐσχάτων ἡμερῶν
ἐξ ἁγίας σαρκός σου
ἄνθρωπος γενόμενος
καὶ ὑπερτέραν σε
τῶν ἀγγελικῶν
διακόσμων ἀνέδειξεν.

**Ἀ**νάριθμους ὁπλίτας ἀλάστορας
ἐπιλέκτους φοβεροὺς
πεποιθότας ἐν ἵπποις καὶ ἅρμασι
καὶ μυρίαις μηχαναῖς,
κραταιὰ Θεοῦ μήτηρ,
ἔμπροσθεν τῆς ποίμνης σου
πάντας κατέστρωσας
καὶ παρὰ τὸν ᾅδην
αὐτοὺς διεσκόρπισας.

**Ρ**ητορεύων ἐν λόγοις καὶ πράγμασιν
ὁ θεόφθογγος Λουκᾶς
τοῖς μὲν λόγοις τὸ μέγα μυστήριον
ἀνεγράψατο τὸ σὸν
τοῖς δὲ χρώμασι ταύτην
τὴν θείαν εἰκόνα σου
διεμορφώσατο
χάριτος ἐκ σοῦ
πληρωθεῖσαν, ὑπέραγνε.

**Κ**ραταιὸν ἐν πολέμοις ἀνάδειξον
ἀριστέα νικητὴν
τοὺς ἐχθροὺς τοῦ σταυροῦ σου συντρί-
τὸν πιστότατον λαὸν [βοντα
συντριβέντα, οἰκτίρμον,
ἀλλὰ νῦν σὴν προβαλλόμενον
ἄμαχον δύναμιν
καὶ τὴν προστασίαν
τῆς σῆς παναχράντου μητρός.

**Ὁ** δεσπόζων τοῦ κράτους, ὡς γέγρα-
τῆς θαλάσσης, κραταιέ, [πται,
καὶ τὸν σάλον αὐτῆς συγκυκώμενον
κατευνάζων ὡς Θεὸς
σὺ τὸν κλύδωνα τοῦτον
στῆσον, πολυέλεε,
ῥῦσαι τὴν ποίμνην σου



τοῦ πικροῦ θανάτου
τῆς ἀώρου τομῆς.

**Σ**υνεχόμενοι πάντοθεν θλίψεσι
καὶ ποικίλοις πειρασμοῖς
ἐπὶ σὲ καταφεύγομεν, ἄχραντε,
τὴν ἐλπίδα τῶν πιστῶν
τὴν τοῦ γένους προστάτιν
ῥῦσαι δεόμεθα
πάσης συμφορᾶς
τοὺς σοὺς δούλους, Δέσποινα
Θεοτόκε ἁγνή.

## 105

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ ΕΓΚΩΜΙΑΣΤΙΚΟΣ 1)

οὗ ἡ ἀκροστιχίς

« ***Ἄγω τρίτον μέλισμα σοὶ Θεητόκε.*** »

ΠΟΙΗΜΑ ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ

Κώδ. 357 φ. 69
Ἐθν. Βιβλ. Παρισίων.

***Ἦχος γ΄. Ὠδὴ α΄. Ἆσμα καινόν.***

**Γ**όνυ κάμπτει ἅπασα φύσις
τῶν ἐπουρανίων, Παρθένε,
τῷ σαρκωθέντι ἐκ σοῦ
σὺν τοῖς ἐπιγείοις τε
ἀξιοπρεπῶς τὰ καταχθόνια
ὅτι δεδόξασται.

**Ὢ** συναλλαγμάτων τῶν ἐν σοί!
ἀγαθῶν γὰρ ἀφθόνων
παρεκτικὸς ὢν Θεὸς
Πνεῦμα θεῖον δοὺς ἡμῖν
σάρκα ἐκ σοῦ, κόρη, προσελάβετο
ὅτι δεδόξασται.

Ὠδὴ γ΄. Τόξον ἐθραύσας ἐχθροῦ.

**Ρ**άβδος ῥίζης Ἰεσσαὶ
προφητικῶς βλαστήσασα
ἡ Παρθένος ἄνθος σε, Χριστέ,
ἐξανέτειλεν ἡμῖν
ἅγιος εἶ, Κύριε.

**Ἵ**να θέας κοινωνοὺς
τοὺς γηγενεῖς ἐργάσῃ
ἐκ τῆς Παρθένου σάρκα τὴν ἡμῶν
σὺ ἐπεφόρεσας λαβὼν
ἅγιος εἶ, Κύριε.

Ὠδὴ δ΄. Τὸ ξένον καὶ ἀπόρρητον.

**Ὁ** στήσας ὄρη, Δέσποτα,
ζυγῷ τῆς θείας γνώσεως
λελατόμησαι ἐκ τῆς Παρθένου
λίθος χειρῶν ἄνευθεν
τῇ δυνάμει σου δόξα, φιλάνθρωπε.

**Ν**οσοῦσαν ἐθεράπευσας
ἡμῶν τὴν φύσιν, Δέσποτα,
δραστικώτατον ἐν τῇ Παρθένῳ
ταύτῃ ἑνώσας φάρμακον
τὴν σὴν ἄχραντον, Λόγε, θεότητα.

**Μ**ερίς μου εἶ ὁ Κύριος
καὶ κλῆρος ἐπιπόθητος
ὁ ἑνώσας με ἐκ τῆς Παρθένου,
Λόγε, τῇ ὑποστάσει σου
τῇ σαρκὶ χρηματίσας ὑπόστασις.

Ὠδὴ ε΄. Ἐπὶ τῆς γῆς.

**Λ**όγος Θεοῦ
ὁ υἱός σου, Παρθένε,
δημιουργὸς
Ἀδὰμ τοῦ πρωτοπλάστου
σὺ δημιούργημα

1) Εὕρηται καὶ ἐν τῇ Παρακλητικῇ, τῇ Κυριακῇ πρωῒ τοῦ γ΄ ἤχου· οἱ Εἱρμοὶ ἀποτελοῦσι μέρος τῆς ἀκροστιχίδος.

εἰ καὶ σάρκα ἔμψυχον
ἑαυτῷ ἐκ σοῦ διέπλασεν.

**Ἴ**σος πατρὶ
ὁ υἱὸς τῆς Παρθένου
Λόγος Θεοῦ
ὑπόστασις τελεία
ἐν δύο φύσεσιν
Ἰησοῦς ὁ Κύριος
Θεὸς τέλειος καὶ ἄνθρωπος.

Ὠδὴ ϛ'. Σκηνώσεως Ἰωνᾶς.

**Μ**ορφοῦται τὸ καθ' ἡμᾶς
ἐκ τῆς ἀκηράτου κόρης
ὁ σχήματι ἄμοιρος
σχήματι ὑπάρξας καὶ πράγματι
μὴ τραπεὶς τὴν θεότητα ἄνθρωπος.

**Ἀ**βύσσου ἁμαρτιῶν
καὶ τῆς καταιγίδος, πάναγνε,
τῶν παθῶν ῥῦσαί με·
πέφυκας γὰρ λιμὴν καὶ ἄβυσσος
τῶν θαυμάτων τοῖς πίστει σοι προσ-
[τρέχουσιν.

Ὠδὴ ζ'. Σοβαρὸς ὁ τύραννος.

**Ὁ** τῆς δόξης Κύριος
καὶ κρατῶν τῶν ἄνω δυνάμεων
ὁ σὺν πατρὶ καθήμενος
παρθενικαῖς ταῖς χερσὶ φερόμενος
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

**Ἰ**ταμὸς ὁ θάνατος
ἀλλὰ τοῦτόν σοι ὁμιλήσαντα
ἐκ τῆς Παρθένου ὤλεσας
θεοϋπόστατος σὰρξ γενόμενος
εὐλογητὸς εἶ, Κύριε,
ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

**Θ**εοτόκον πάντες σε
τὴν Θεὸν κυήσασαν ἔγνωμεν·
τὸν τῆς Τριάδος ἕνα γὰρ
σεσαρκωμένον, ἁγνή, γεγέννηκας·
εὐλογημένος, πάναγνε,
ὁ καρπὸς τῆς κοιλίας σου.

Ὠδὴ η'. Ἐνόλου φλόγα πυρός.

**Ἡ** τάξεις τὰς νοερὰς
οἷα μήτηρ ὑπεράρασα
καὶ πλησίον Θεοῦ χρηματίσασα
εὐλογοῦμεν, εὐλογημένη Παρθένε, τὸν
[τόκον σου
καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς
[αἰῶνας.

**Τ**ὸ κάλλος τὸ φυσικὸν
ὡραιότερον ἀνέδειξας
ἐξαστράψασα σάρκα θεότητος
εὐλογοῦμεν, εὐλογημένη Παρθένε, τὸν
[τόκον σου
καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς
[αἰῶνας.

Ὠδὴ θ'. Οἱ τῷ γλυκεῖ.

**Κ**όρος τῶν σῶν
ἐφυμνίων Παρθένε,
τοῖς εὐαγέσι πιστοῖς
ὅλως οὐ προσγίνεται·
πόθῳ γὰρ πόθον ἀεὶ θεῖον
καὶ πνευματικὸν προσλαμβάνοντες
ὡς μητέρα Θεοῦ μεγαλύνουσιν.

**Ἔ**θου ἡμῖν
ἀκαταίσχυντον πρέσβιν
τὴν σὲ τεκοῦσαν, Χριστέ,
ταύτης ταῖς ἐντεύξεσιν
ἵλεων νέμοις ἡμῖν Πνεῦμα
μεταδοτικὸν ἀγαθότητος
ἐκ πατρὸς διὰ σοῦ προερχόμενον.



# 106

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ [1]

Κῶδ. 370 φ. 42β
Ἐθν. Βιβλ. Παρισίων

*Ἦχος γ'. Ὠδὴ α'. Ἄσωμεν τῷ Κυρίῳ.*

**Ἡ** νοερὰ νεφέλη τῆς οὐρανίου αἴγλης
ἀκτῖνας ἀνατείλασα
ἡμῖν τῆς μετανοίας
τὸν ζόφον ἀπήλασε
τὸν τῆς ἁμαρτίας
καὶ ἔλαμψε πᾶσι τὸ φῶς
ἡ μόνη Θεοτόκος ἁγνὴ
καὶ σκέπη τῶν ψυχῶν ἡμῶν.

**Κ**αταφυγὴν ταχεῖαν καὶ ὀχύρωμα
τεῖχος προπύργιον
καὶ ἀσφαλῆ λιμένα
σὲ τὴν Θεομήτορα
πάντες κεκτημένοι
οἱ πελάγει τῶν δυσχερῶν
καὶ θλίψεων σαλεύοντες
κινδύνων λυτρούμεθα.

**Χ**αῖρε ἀρρήτου δόξης οἰκητήριον
χαῖρε ἐνδιαίτημα
τοῦ νοητοῦ ἡλίου
χαῖρε τὸ κειμήλιον
τὸ τῆς παρθενίας·
χαῖρε τὸ θεῖον ὄχημα
τοῦ Λόγου τῆς θεότητος·
χαῖρε τροφὲ τῆς πάντων ζωῆς.

Ὠδὴ γ'. Ἐστερεώθη ἡ καρδία μου.

**Ἡ** ἀκηλίδωτος ἀμνὰς καὶ παρθένος
τὸν ἀμνὸν τὸν αἴροντα πᾶσαν νόσον,
Θεοτόκε, κυήσασα
σῶζε τὴν ποίμνην σου.

**Σ**ὺ τὸν οὐράνιον καρποφορήσασα
[βότρυν
καὶ κρατῆρα πλήσασα τῆς μετανοίας
ἁμαρτωλοῖς τὴν συγχώρησιν
ἐγεώργησας.

**Ο**ἱ ἐν πελάγει θαλαττεύοντες ἁμαρτίας
καὶ πταισμάτων ἅλμη καταποθέντες
τῷ γλυκασμῷ σῆς πρεσβείας
συγκαταφεύγομεν.

Ὠδὴ δ'. Εἰσακήκοα τὴν ἀκοήν.

**Π**ολυέλεον
τὴν εἰς ἐμὲ δεῖξον εὐσπλαγχνίαν σου·
τοῦ γὰρ πάντων ἐλεήμονος
ἐχρημάτισας μήτηρ.

**Φ**ωταγώγησον
τὸν ἐν νυκτί με τῆς ἁμαρτίας,
ἀειπάρθενε, πλανώμενον
ὡς φωστῆρα τεκοῦσα.

**Ὑ**πὲρ δούλων σου
τὸν τῶν ἁπάντων Δεσπότην
δυσωποῦσα ἐξιλέωσαι,
προστασία τοῦ κόσμου.

Ὠδὴ ε'. Τὴν σὴν εἰρήνην.

**Ἡ** τοῦ ὑψίστου δύναμις ἐπισκιάσασα
τὴν σὴν γαστέρα, ἁγνή,
χωρίον ἔδειξε
Θεοῦ τοῦ ἀχωρήτου
καὶ μητέρα σε ζωῆς
καὶ σωτηρίας πάντων ἡμῶν.

**Π**ηγήν σε θείαν κτώμενον τῆς σωτη-
μὴ καταιγὶς πονηρὰ [ρίας μου
καταποντισάτω
μηδὲ καταπιέτω
ἁμαρτίας με βυθός,
ὑπεραγία Δέσποινα.

**Τ**ῆς παρθενίας ἄρουρα ἀγεώργητος
ἀνεδείχθης τῷ κόσμῳ, [γῆ

1) Εὕρηται καὶ ἐν τῇ Παρακλητικῇ, τῇ Παρασκευῇ πρωῒ τοῦ γ' ἤχου.

ἀειπάρθενε,
ἐξ ἧς ἀρρήτῳ λόγῳ
ἐγεννήθη γεωργὸς
ὁ πλαστουργὸς πάντων ἡμῶν.

Ὠδὴ στ'. Ἐβόησα ἐν στεναγμοῖς.

**Τ**ὰ ἔργα μου καταδίκης μοι δίκη
γεγόνασι, Δέσποτα,
ἀλλὰ σὺ τῷ ξύλῳ
τῷ τοῦ σταυροῦ προσηλωθεὶς
δικαιώσεως προεξένησας πλοῦτον.

**Κ**αθαίρεται τῇ πρεσβείᾳ σου πᾶσα
τῆς ἁμαρτίας ἡ ἀχλύς·
τὸ γὰρ φῶς ἐκλάμψαν
ἐκ σοῦ τὸ ἄχρονον Χριστὸς
διεσκέδασε τῶν πταισμάτων τὸν ζόφον.

**Σ**οὶ τὴν ἐμὴν ἀνεθέμην ἐλπίδα
καὶ ἀναμένω, ἀγαθή,
τὴν ἐκ σοῦ πρὸς τὸν ἐκ σοῦ
ἱλαστήριον χάριν δι' ἧς με
οἴκτειρον, παναγία Παρθένε.

Ὠδὴ ζ'. Τρεῖς παῖδες ἐν καμίνῳ.

**Ἐ**κ σοῦ, Παρθενομῆτορ,
ὁ ὑπέρφωτος ἥλιος
ἀνατείλας καὶ φωτίσας τὰς καρδίας
ἀναμέλπειν διδάσκει [ἡμῶν
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

**Φ**αιδρύνεται ἡ κτίσις
τῇ ἀσπόρῳ συλλήψει σου
καὶ μεγαλύνει σου τὸν τόκον καὶ δο-
εὐσεβῶς μελῳδοῦσα [ξάζει αὐτὸν
εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν πατέρων ἡμῶν.

**Ὁ** κτίστης τῶν ἁπάντων
καὶ ὑπέρθεος Κύριος
προσλαβὼν τὸ καθ' ἡμᾶς ἐκ σοῦ, παν-
καὶ θεώσας πρὸς ὕψος [ύμνητε,
συνεδριάζει τῷ πατρὶ
καὶ θείῳ Πνεύματι.

Ὠδὴ η'. Τὸν ἐν φλογί.

**Ἐ**ν τῷ σταυρῷ τὴν ἡμῶν σωτηρίαν
κατεργασάμενος ὁ υἱός σου, Παρθένε,
κραυγάζειν προτρέπεται
ἱερεῖς εὐλογεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

**Κ**αταπιεῖν ὁ ἐχθρός με πειρᾶται
ταῖς ἁμαρτίαις· ἀλλὰ σύ, Θεοτόκε,
ἐξελοῦ καὶ ῥῦσαί με
τῆς αὐτοῦ τυραννίδος
ὅπως σε δοξάζω
εἰς πάντας τοὺς αἰῶνας.

**Δ**εινή με νὺξ συγκαλύπτει πταισμάτων,
Παρθένε ἄχραντε, οὐ γὰρ ἔχω λαμπάδα
τὴν ψυχήν μου φωτίζουσαν
εὐποιΐας ἐλαίῳ
διὸ καὶ τῆς ἄνω
ἀπερρίφην παστάδος.

Ὠδὴ θ'. Σὲ τὴν ἀκατάφλεκτον.

**Χ**εῖρας ἑκουσίως ἁπλώσας
ἐν τῷ θείῳ σταυρῷ σου
τὴν ἐκταθεῖσαν ἐν Ἐδὲμ τῇ παραβάσει
ἐν ξύλῳ χεῖρα ἰάσω τοῦ προπάτορος.

**Ὅ**λην ταῖς δειναῖς ἁμαρτίαις
τὴν ψυχήν μου τρωθεῖσαν
καὶ ἀνίατον ἄλγος νενοσηκυῖαν
μοτώσει τῆς πρεσβείας σου ταύτην
ἴασαι.

**Χ**αῖρε ὁ τῆς δόξης Κυρίου
θεῖος ἔμψυχος οἶκος·
χαῖρε ὅπλον νοητὸν τῆς μετανοίας·
χαῖρε πύλη δι' ἧς ἁμαρτωλοὶ σῳζόμεθα.

---



## 107

## ΚΑΝΩΝ ΕΤΕΡΟΣ

Κώδ. 370 φ. 46α
Ἐθν. Βιβλ. Παρισίων

***Ἦχος γ'. Ὠδὴ α'. Ὁ τὰ ὕδατα πάλαι.***

**Μ**ητρικὴν παρρησίαν
πρὸς τὸν υἱόν σου
καὶ Κύριον κεκτημένη, Παρθένε,
τοὺς τὴν σὴν εὐσπλαγχνον
ἐπιζητοῦντας ῥοπὴν
δύνασαι βοήθειαν
ἐξαποστέλλειν καὶ σῴζειν·
ὅθεν ἱκετεύω σε
ῥῦσαί με πάσης φθορᾶς.

**Ἁ**μαρτίαις βαρείαις
καὶ ἀθεμίτοις
καμπτόμενος τὸν αὐχένα διᾶραι
οὐ τολμῶ, Δέσποινα,
ἀλλ' εἰς τὴν γῆν κεκυφὼς
κράζω σοι σὺν δάκρυσι·
σύ μοι βοήθησον μόνη
τῶν χριστιανῶν ἐλπὶς
καὶ ἡ ἀντίληψις.

**Ὅ**λον βεβυθισμένον
ταῖς ἁμαρτίαις
καὶ ὅλον ἀπεγνωσμένον με ὄντα
σύ, ἁγνὴ Δέσποινα,
τῆς εὐσπλαγχνίας σου
τὴν χεῖρα ἐκτείνασα
πρὸς μετανοίας με ὕψος
ἕλκυσον παρέχουσα
τὴν ἀγαλλίασιν.

**Θ**εοτόκε Παρθένε,
ἠπορημένων
ἀντίληψις καὶ πτωχῶν προστασία
τῶν γυμνῶν ἔνδυμα
καὶ τῶν πεινώντων τροφὴ
σῶσόν με πρεσβείαις σου
ἐκ πειρασμῶν καὶ κινδύνων
καὶ μελλούσης κρίσεως
καὶ καταδίκης φρικτῆς.

Ὠδὴ γ'. Ὁ ἐκ μὴ ὄντων τὰ πάντα.

**Ἐ**ν ἀπορίᾳ καὶ θλίψει ὀδυνηρᾷ
κατέστην ὁ δείλαιος
παρὰ πόδας τὸν θάνατον
ἐφορῶν, πανάχραντε,
σύ με ἐλέησον τῇ σῇ δυνάμει.

**Ὅ**λος ὁ βίος παρεφθαρμένος δειναῖς
καὶ ἀσώτοις πράξεσι
κατήγορός μοι γίνεται
καὶ τῇ ἀπογνώσει με
καταβυθίζει, ἁγνή, διάσωσόν με.

**Ἰ**δοὺ τὰ ἕλκη καὶ τραύματα τῆς ἐμῆς,
ἁγνή, καρδίας
τὰ ἐκ παθῶν φυέντα μοι
θεραπείας θείας με
αὐτὴ ἀξίωσον, Παρθενομῆτορ.

**Τ**ῆς ἀθανάτου ἀξίωσόν με ζωῆς
καὶ βασιλείας γενέσθαι
κληρονόμον, ἁγνή,
διὰ τῆς πρεσβείας σου
πυρὸς ἐξαίρουσά με τοῦ αἰωνίου.

Ὠδὴ δ'. Ἦλθον πρὸς ἡμᾶς.

**Θ**ρόνος τοῦ Θεοῦ
ἀνεδείχθης, Δέσποινα πάναγνε,
ἐν ᾧ ἀνεπαύσατο αὐτὸς
ὁ βασιλεὺς καὶ κτίστης καὶ Κύριος·
διό μοι ἀνάπαυσιν παράσχου θείαν
λυτρουμένη θλίψεων.

**Ῥ**ῦσαί με, ἁγνὴ
κραταιὰ τοῦ κόσμου βοήθεια,
ἐκ τῆς νοητῆς ἀπαγωγῆς
τῶν αἰχμαλωτιζόντων τὴν τάλαιναν

καρδίαν μου πάθεσιν ἐπερμαχοῦσα
πάντοτε τοῦ δούλου σου.

***Ἔ***θετο Χριστὸς
ὁ τεχθεὶς ἐκ σοῦ, πανυμνήτε,
κραταιὰν ἀντίληψιν πιστοῖς
σὲ Θεοτόκε μόνη μητρόθεε·
διὸ τοῖς ὑμνοῦσί σε ἐκ τῶν πταισμάτων
δώρησαι συγχώρησιν.

***Ὅ***λη ἀγαθὴ
σὺ ὑπάρχεις ὅλη φιλάγαθος
ὅλη συμπαθὴς ὅλη θερμὴ
ἐν τοῖς κινδύνοις καὶ περιστάσεσι,
Θεοτόκε ἄχραντε· διὰ με ὅλως
φρούρησον καὶ τείχισον.

Ὠδὴ ε΄. Ὡς εἶδεν Ἠσαΐας

***Ὁ*** πάντων τῶν ἀνθρώπων τῆς σωτη-
μόνος προμηθούμενος [ρίας
ἐκ σοῦ, Θεοτόκε, βροτὸς ἐγένετο
καὶ πᾶσι παρέσχετό σε
κινδυνεύουσι λιμένα ἀσφαλῆ
καὶ πύργον ἰσχύος
τοῖς εἰς σὲ καταφεύγουσιν.

***Ὡ***ς σύνδρομον τὸ κράτος καὶ τὴν ἰσχὺν
ἐχούσῃ τῇ θελήσει σου
σοὶ προσπίπτω, μόνη Θεοχαρίτωτε,
κράζω βοήθησόν μοι
ἐκ μεγέθους τε καὶ πλήθους τῶν ἐμοὶ
δεινῶν πεπραγμένων
τελείως κινδυνεύοντι.

***Ἡ*** ἄμεμπτος καὶ θεία ἡ τὸν ὡραῖον
βότρυν ἐκβλαστήσασα
ταῖς ψυχαῖς παρέχοντα πόσιν ἔνθεον,
Παρθένε, τῆς πόσεώς με
καὶ τῆς μέθης τῶν παθῶν καὶ ἡδονῶν
λύτρωσαι καὶ νῆψιν
παράσχου μοι σωτήριον.

***Ἡ*** κόσμῳ τὴν εἰρήνην καὶ σωτηρίαν
ἅπασι πρεσβεύουσα
ὡς Θεὸν εἰρήνης ἀποκυήσασα
τὴν στάσιν καὶ τὸν πόλεμον τὸν δεινὸν
τῆς ψυχῆς μου καὶ τοῦ σώματος, ἁγνή,
εἰρήνευσον φόβῳ
καὶ πόθῳ τοῦ σωτῆρος Χριστοῦ.

Ὠδὴ στ΄. Ἄβυσσος ἐσχάτη.

***Δ***έσποινα καὶ μήτηρ τοῦ ποιητοῦ
σὺ πρόστηθί μοι
ἐν ὥρᾳ τῆς ἐξόδου μου
λογοθετουμένῳ μοι
περὶ τῶν πεπραγμένων μοι
ἃ παράφρονι
διανοίᾳ ἐτέλεσα.

***Ἄ***θλιος ἐδείχθην ὅλως ἐγὼ
ταῖς ἀσελγείαις
ἀεὶ καταχραινόμενος
καὶ προβλέπων ἤδη μοι
παρὰ πόδας τὸν θάνατον
προσεγγίζοντα,
Θεοτόκε, βοήθει μοι.

***Δ***άκρυσι προσπίπτω σοι, ἀγαθή,
καὶ ἐκβοῶ σοι
ἐλέησόν με, Δέσποινα,
τὸν πολλαῖς ὑπεύθυνον
ἁμαρτίαις καὶ πάθεσι
καὶ ὑπόδικον
τιμωρίᾳ ὑπάρχοντα.

***Λ***ύτρωσιν παράσχου ὡς ἀγαθὴ
πλημμελημάτων
τῷ σῷ δούλῳ, πανάχραντε,
τῷ τὴν σὴν ἀντίληψιν
αἰτοῦντι μετὰ πίστεως
καὶ σωτήριον
κατάπαυσιν ἐν τέλει ζωῆς.

## ΚΑΘΙΣΜΑ

***Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.***

***Κ***ραταιὰ βοήθεια
τῶν θλιβομένων, Παρθένε,
φανερὰ ἀντίληψις
ἁμαρτωλῶν, Θεοτόκε,
πρόφθασον
καὶ βοηθείας ὄρεξον χεῖρα
εὔφρανον
τῶν ἐκβοώντων σοι τὰς καρδίας,
πανάγία, τῶν ἐν λύπαις
τυχεῖα σκέπη
τάχυνον σῶσον ἡμᾶς.



Ὠδὴ ζ΄. Ὡς πάλαι τοὺς εὐσεβεῖς.

***Σ***ὲ τὴν μητέρα Θεοῦ
καὶ ἁγνὴν καὶ ἄμωμον
ὁ ρυπαρὸς σῶμα καὶ ψυχὴν
καὶ μεμολυσμένος ἐν πράξεσιν αἰσχραῖς
ἱκετεύων δέομαι
θαρρῶν εἰς τὸ σὸν ἔλεος
σύ με οἴκτειρον, Δέσποινα.

***Ἡ*** τῶν πταισμάτων πληθὺς
καὶ κακῶν ἐπίτασις
ἐξαπορεῖν πείθει με σφοδρῶς
καὶ πρὸς ἀπογνώσεως ἄγει με βυθόν,
παναγία Δέσποινα,
σῶσόν με ἀπολλύμενον
καὶ δεινῶς κινδυνεύοντα.

***Φ***ωτοειδὴς κιβωτὲ
τοῦ μάννα τῆς χάριτος
τῆς θεϊκῆς, Δέσποινα ἁγνή,
σύ μου καὶ λιμὴν σωτηρίας ἀληθοῦς
καὶ σκέπη γενήθητι
ἐκ πάσης λυτρουμένη με
ἁμαρτίας πρὸς θάνατον.

Ὠδὴ η΄. Ἀστέκτῳ πυρί.

***Δ***έσποινα ἁγνὴ Θεοτόκε,
ῥῦσαί με φθορᾶς ἁμαρτημάτων καὶ δαι-
ἐπηρείας καὶ κακουργίας [μόνων
παῦσον καὶ τὸν τάραχον
τῶν παθῶν μου καὶ τῶν ἡδονῶν
[κατάπαυσον
τὴν ἄστεκτον φλόγα τῆς χάριτός σου
[δρόσῳ.

***Ἄ***λλην ἐπὶ γῆς συμμαχίαν
ἢ καὶ προστασίαν ἐν κινδύνοις οὐ γινώ-
ἢ ὑπέρμαχον ἐν ἀνάγκαις [σκω
εἰμὴ σὲ τὴν πάναγνον Θεοτόκον
ὅθεν προσπίπτω καὶ κράζω σοι
Δέσποινα τοῦ κόσμου, ἀεὶ φρουρὸς γενοῦ
[μοι.

***Ὃ***ν τρέμει, ἁγνή, πᾶσα κτίσις
τοῦτον ἐν ἀγκάλαις σου συνέχεις
ἐν εὐσπλαγχνίᾳ δι' ἡμᾶς
βρέφος ἐν σαρκὶ φανέντα
τοῦτον καθικέτευε τοῦ σωθῆναι πάν-
τοὺς πίστει κραυγάζοντας [τας
σὲ ὑπερυψοῦμεν, ἁγνή, εἰς τοὺς αἰῶ-
[νας.

Ὠδὴ θ΄. Τὴν ἐν βάτῳ καὶ πυρί.

***Ὦ*** Παρθένε ἀγαθὴ
ὦ τοῦ κόσμου ἡ χαρὰ
ὢ καταφύγιον
ὢ συντήρησις πιστῶν
καὶ λύτρωσις τῶν θλίψεων
σὺ παράστηθι ἐν ὥρᾳ μοι θανάτου
καὶ ῥῦσαι τῶν δαιμόνων
τῶν ἐπιζητούντων τοῦ καταφθεῖραί με.

***Ὡ***ς τὸν κτίστην καὶ Θεὸν
συλλαβοῦσα ἐν γαστρί,
Παρθενομήτωρ ἁγνή,
τῇ δυνάμει τῇ ἐν σοὶ
κατάβαλε δαιμόνων ὀφρῦν
καὶ ἀνύψωσον τὸ κέρας τῶν ὑμνούντων
τὸ κράτος σου τὸ θεῖον
καὶ πίστει προσκυνούντων τὸν χαρα-
[κτῆρά σου.

***Ἐ***ξ ἐχθρῶν μου δυσμενῶν
τῶν μισούντων με ἀεὶ
καὶ πολεμούντων με
ἀπολύτρωσαι, σεμνή,
τῇ θείᾳ δυναστείᾳ σου
μὴ κραταιώσιν κατ' ἐμοῦ ἐφευρόντες
τῷ αὐτοῖς κληρωθέντι
πυρὶ αἰωνίῳ συγκατασπάσασα.

***Σ***ὺ ἀγγέλων χαρμονὴ
σὺ βροτῶν ἡ καλλονὴ
σὺ πιστῶν ἡ ἐλπὶς
σὺ συντήρησις πιστῶν
σὺ σκέπη τῆς ψυχῆς ἡμῶν
σὺ καὶ γέφυρα ἡ πρὸς ζωὴν ἀγήρω
ἐνθέως ἀγαγοῦσα
τοὺς πίστει καὶ πόθῳ σε μεγαλύνοντας.

ΤΕΛΟΣ ΤΟΥ Γ΄ ΗΧΟΥ